1 *ἄργυρον MaClB* sed in hoc *ἀργύριον* suprascr m[2] 2 *ἀνθ' αὑτοῦ* scripsi e *MaVaB* *ἀντ' αὐτοῦ HVCl* Re | *δὲ* post *ἵνα Va* | *μὴ ἐνοχλοῖεν* scripsi *μὴ δὲ ὀχλοῖεν HVMaClB* *μὴ δ' ὀχλοῖεν Va* Re | *μὴ δὲ* libri | *προσίοιε H* 3 *λέγοιεν δὸς Va* | *λέγοι H* sed *ε* supra *ι*, *Cl* sed *εν* supra *οι* m[4] 4 *προσεποιούμην Va* et supra *βουλόμενος B*[2] 6 *περιὼν Va* 7 *χρυσῆν Ma* 8 *τὴν* scripsi ex *HMaClVaB* cum Iacobsio Lect Schul *τοῦ V* Re 9 *γὰρ Va* et supra *οὖν B*[2] | *τι* om *MaClB* sed in hoc inser m[2] 10 *τοῖς* et *βουλομένοις* scripsi e *MaClVaB* *τῷ* et *βουλομένῳ HV* Re | *τοῦ* scripsi e *MaClVaB* *τὸ HV* Re *ἢ τὸ* Iacobs Lect Schul 11 *τὸ* inserui e *MaClVaB* om *HV* Re 15 *ληφθὲν Va* et supra *δοθὲν B*[2] 17 *μὲν* om *Va* | *καὶ* post *ἂν Va* et *ὑμᾶς* suprascr m[2] | colon post *χρήσασθαι* libri (excepto *Va*) Re delevi cum Iacobsio Schul | *καὶ ὑμᾶς* om *Va* 19 *οὐδ' εἷς* scripsi ex *H MaClVaB* *οὐδεὶς V* Re *οἶδα εἰς* Iacobs App Pors 330 Anth Pal III 46

εἰς ἕτερον τούτων παρανομήσαντα, ἀλλὰ τοσούτῳ φοβερωτέραν ἐμαυτῷ κατέστησα τὴν εἰς ταῦτα παρανομίαν ἢ ὑμεῖς τὴν εἰς τοὺς νόμους τῆς πόλεως, ὥσθ' R IV 830 *ὑμεῖς μὲν ἀτιμίᾳ τοὺς παρανομοῦντας κολάζετε,* | *ἐγὼ δὲ θανάτου τοῦτο ἐτιμησάμην.* 12. *καὶ νῦν ἐπειδὴ καιρὸς ἧκε ζημίας ἀπαραίτητος καὶ θεὸς βίαιος ἐπιστὰς οὐκ ἐᾷ κρατεῖν με τῶν ἐμαυτοῦ λογισμῶν, ἀλλ' ὥσπερ τύραννος τοὺς νόμους λύειν βιάζεται καὶ τὸ χρυσίον ἐκ τῶν ἐμῶν χειρῶν εἰς ἑτέρους μετάγειν, ὃ τῶν πικρῶν τυραννίδων ἐστὶ τὸ βαρύτατον, ἵνα μὴ παρανομεῖν βιασθῶ, τεθνάναι μᾶλλον εἱλόμην.* 13. *πρὶν δὲ εἰς ἀνάγκην τοιαύτην ἐλθεῖν οὔποτε ὑμᾶς, ὦ φίλτατα χρήματα, ἐγκατέλιπον οὐδὲ τοὺς ἐφ' ὑμῖν νόμους παρέβην, ἀλλὰ καὶ προσέθηκα ἀεί, ὅπερ ἅτερος νόμος κελεύει, καὶ ἀφειλόμην οὐδέποτε θατέρου νόμου τοὐπίταγμα. ὅθεν δὲ προσετίθουν καὶ πῶς ταῦτα ἐφύλαττον, ποθεῖτε ἴσως μαθεῖν καὶ τελείαν τὴν διδασκαλίαν λαβεῖν. ἀκούετε δή, καὶ γὰρ ἐμαυτῷ χαριζοίμην ἂν μετάγων τὴν ψυχὴν ἀπὸ τῶν δακνόντων αὐτὴν ἐπὶ τὰ ἡδονὴν ἀεὶ παρεσχηκότα.*

14. *Πρόσοδοι τοίνυν ἐμαὶ πρῶτον μὲν αἱ κοιναί, οἷον εὖ ποιῶν ὁ νομοθέτης καὶ τὴν αὐτὴν ἐμοὶ γνώ-*

---

1 *ἕτερόν με* Iacobs | *τοσοῦτον Va* 2 *ἐμαυτῷ φοβερωτέραν Va* 3 *ἢ B* sed *καὶ* suprascr m² 6 *βιαίως*? 10 *τὸ* om *Ma* 13 *νόμους* post *τοὺς Va, ἐμοὺς* Re delevi cum Iacobsio Schul | *νόμους* om *Va* 14 *ἕτερος Va* et supra *ἅτερος B²* 15 *καὶ ἀφειλόμην* scripsi e *MaClB* sed in hoc *ἀφελὼν* supra *ἀφειλόμην* m² *ἀφειλόμην δ' HV* Re *ἀφελὼν Va* | *τοὐπίταγμα* scripsi e *MaClB* coll p. 49, 13; t. IV 210, 12 *τὸ ἐπίταγμα HVVa* Re 16 *δὲ* scripsi e *MaClB* *καὶ HVVa* Re | *προσετίθην* Marc XI 6 fortasse recte, ut V 470, 16 | *ὅπως Va* et supra *πῶς B²* 17 *ποθοῦντες MaCl* 19 *τὴν MaCl* *τὰ τὴν B* 21 *πρόσοδοι τοίνυν ἐμαὶ* inser *B²* 22 *καὶ τὴν αὐτὴν ἐμοὶ Va* sed

μην ἔχων οὐδὲν ὧν προσέταττεν ᾤετο χωρὶς κέρδους τῶν ποιούντων γενήσεσθαι, οὐκ ἐκκλησίαν, οὐ δικαστήριον, οὐ βουλήν, οὐ πανήγυριν, ἀλλὰ μάτην ἀνεῷχθαι τὰ δικαστήρια, μάτην τὴν ἐκκλησίαν, μάτην τἄλλα συνέδρια μὴ τῶν πληρούντων αὐτὰ κἂν τῷ βαλαντίῳ τι κατατιθεμένων. 15. διὸ κἂν θεωρῇ, φησί, τὼ δύ' ὀβολὼ λαμβανέτω, ἵνα μὴ οἴκοθεν θέαν πριάμενος πλέον δάκνηται ζημιούμενος ἢ θεώμενος τέρπεται, κἂν δικάζῃ, ὁ μισθὸς ἔστω τῷ μέλλοντι τῆς τῶν δικαζομένων κραυγῆς καὶ ἀναισχυντίας ἀνέξεσθαι. καὶ καθάπαξ, ὅπου μέλλει τὴν πόλιν εἰσιὼν ὠφελεῖν, κερδαινέτω παρὰ τῆς πόλεως. δίκαιον, ὦ θεοί, τὸ κέρδος καὶ σοφοῦ νομοθέτου τοὐπίταγμα μὴ κεναῖς χερσὶν ἀπελθεῖν τὸν τὴν ἡμέραν ὅλην ὑπὲρ τῶν κοινῶν κατατρίψαντα.

16. *Ταύταις* οὖν ταῖς προσόδοις οὐ παρέργως προσέσχον, ὦ βουλή, ἀλλ' ὁσάκις θεωρικοῦ διανομὴν ἢ

---

5 cf. t. VI 521, 2 7 cf. t. III 182, 1 | cf. p. 50, 3 et 11; arg. Dem. Ol. I § 4. Dem. cor. p. 234, 24. Arist. ran. 141. Poll. VIII 113 9 cf. ad p. 81, 7

γρ καὶ τὴν ἐμοὶ in marg m^2 | *ἐμὴν V* | *γνώμην ἔχων* scripsi ex *HMaClVaB* *ἔχων γνώμην V* Re

4 *μάτην τὴν ἐκκλησίαν* om *Ma* 5 *τἄλλα H* *τ' ἄλλα B* *τὰ ἄλλα Va* | *ὄντων* inter *πληρούντων* et *αὐτὰ* inser *VaB*^{2}

6 *τι* inser *B*^{2} *τί HMaClVa* | *κατατιθεμένων* scripsi ex *HVClVaB* cum Iacobsio Schul et Sinteni *τιθεμένων Ma* *κατατιθέμενον* Re | *δι' ὃ V* Re 7 *δύω Va* 8 *τέρπηται* in ras *Va*^{2} 9 *μὴ* ante *δικάζῃ Ma* sed del m^3 10 *δικαζόντων B*

11 *ὅπου* scripsi *ὅποι* libri Re | *εἰσιὼν* om *Va* | *τίς* ante *ὠφελεῖν* inser *Va*^{2}*B*^{2} 12 *περὶ Va* | *δίκην MaCl* sed in hoc *ην* in *αιον* corr m^4 13 *τοὐπίταγμα* scripsi e *MaClVaB* coll p. 48, 15 *τὸ ἐπίταγμα HV* Re 16 *Ταύταις* scripsi ex *HMaClVaB* cum Sinteni *ταῦτ' V* Re | *παρέργως* scripsi ex *HVaB* cum Iacobsio Philostr im 613 Schul *παρέργους VMaCl* Re | *προσεῖχον B*

πόλις ἐποίει, ὁ μὲν γείτων ἐκάθευδεν ἂν καὶ ὑετὸν ἢ κρύος ἀντὶ τῆς ἀργίας ἐμποδὼν εἶναι φήσας ὑπερεφρόνει τοῖν δυοῖν ὀβολοῖν καὶ σεμνότερος ἦν τῶν νόμων, ἐμοὶ δὲ οὐδὲ ὕπνος ἐπῄει οὐδ' ἦν τὰ ἐκ τοῦ R IV 831 οὐρανοῦ δεινὰ | φοβερώτερα τοῦ μὴ λαβεῖν, ἀλλὰ μέσων νυκτῶν ἀναστὰς ἐφεστήκειν ἂν τῷ διανέμοντι καὶ κατὰ σχολὴν τἀργύριον καταριθμηθείς, ὅπερ οὐκ ἂν ὑπῆρξε μετὰ πολλοὺς ἐληλυθότι, ἀλλὰ προέρριψεν ἂν ἐν τῷ ὄχλῳ τὸ ἥμισυ, ἀπῄειν οἴκαδε τὸ πᾶν ἔχων καὶ πρίν τινα κινηθῆναι τῆς εὐνῆς ἡ κιβωτὸς εἶχε τὼ δύ' ὀβολώ. θέαν δ' οὐκ ἂν ἔτ' ἐπριάμην, ἀλλ' ἐρρῶσθαι φράσας τῷ ἀρχιτέκτονι καὶ τῷ σεμνῶς καθῆσθαι θεώμενος ἑστὼς ἐθεώμην παρενείρας που τοῖς μετοίκοις ἐμαυτὸν ἢ τοῖς ξένοις. καὶ οὕτως ἡ τέρψις ἦν οὐκ ἐλάττων καὶ τἀργύριον πλέον. 17. ταύτην γε οὖν τὴν πρόσοδον οὕτω συνελεξάμην καὶ ἔτ' ἀκριβέστερον τὰς λοιπάς, τὸν δικαστικὸν μισθόν, τὸν τῆς ἐκκλησίας καὶ ὃν νῦν ὑμεῖς, ὦ μακάριοι, λήψεσθε. οὐ γάρ ἔστιν, οὐκ ἔστιν ὅτε δικάζειν κληρουμένων τῶν φυλετῶν ἀπελείφθην ἐγὼ ἐν μὲν τῷ πολλάκις κληροῦσθαι πολ-

---

11 cf. ad t. VI 410, 1   18 cf. p. 52, 1; 57, 4

---

2 φήσας *Va* sed φ in ras m^2 4 οὐδ' *B*   6 μέσον *Va* | ἐφειστήκειν *ClVa*   7 κατὰ σχολὴν scripsi ex *HVaB* cum Cobeto Misc 143 Coll 303 κατασχολὴν *VMaCl* Re | ἀπαριθμηθεὶς *Va* et in lac *B* καταριθμήσας Cobetus   8 κατὰ *Va* sed μετὰ suprascr m^2 | πολλοὺς *VaB* sed ῶν suprascr Va^2B^2 | προέρριψεν scripsi προσέρριψεν libri Re παρερρύησεν Iacobs Schul   10 τῆς εὐνῆς inserui e *VaB* sed in hoc inser m^2 om *HV MaCl* Re | ἡ κιβωτὸς εἶχε scripsi coll p. 27, 12 sq. αὐτὸς εἶχον *MaClVaB* τις εἶχε *HV* Re ἡ κίστη εἶχε Iacobs Lect Schul   11 δ' inser Va^2 12 τῷ (2)] τὸ *HVVa* sed in hoc ὸ in ῷ corr   14 ἦν non ante οὐκ, sed post ἐλάττων *Ma*   15 γε scripsi τε libri Re   17 τὸν (1) om *Va*

λάκις δικάσειν οἰόμενος, ἐν δὲ τῷ πολλάκις δικάζειν πολλάκις ἂν λαβεῖν ὀβολούς, τοὺς δ' ὀβολοὺς τούτους συνεχῶς διδομένους γίγνεσθαι δραχμὰς καὶ τὰς δραχμὰς φυλαττομένας γίγνεσθαι μνᾶς, ὥσθ' ὃ μικρὸν ὑμεῖς καθ' ἕκαστον οἴεσθε, τοῦτ' ἐμοὶ συγκεφαλαιούμενον γίγνεται μέγα καὶ οὗ τοῖς ἄλλοις ἀναίσθητος ἡ ὠφέλεια, τούτου μοι γέμει βαλάντιον. 18. γέμει δὲ πλείονα κἀκ τῆς ἐκκλησίας τρίτον διδούσης ἑκάστου μηνός, ἵνα τὰς συγκλήτους ἀφῶ. ἐν δὲ τοῖς μεγάλοις καὶ κατεπείγουσι πράγμασιν, ὅτε δὴ καὶ πλέον τοῦ συνήθους λαμβάνουσιν οἱ πρῶτοι παραγενόμενοι, οὐ πρύτανις ἔφθασεν, ὦ βουλή, οὐ πρόεδρος, οὐχ ὁ τὰς κλεῖς ἔχων τῆς πυκὸς ἐπιστάτης. οἶδα πολλάκις, νὴ τοὺς θεούς, καὶ πρὸ τῶν τοξοτῶν ἀφικόμενος, καὶ λαβὼν ἂν τὸν τοῦ τάχους μισθὸν προσελάμβανον αὖθις τὸν τῆς ἐκκλησίας καὶ οὕτως ἐπληροῦτο τὸ τοῦ ἔπους τὸ ἔνθα κ' ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς.

5 Diod. I 49 8 schol. ad Arist. Ach. 19. Dem. cor. p. 249, 14 c. schol.; Timocr. § 21 p. 706, 19 9 schol. ad Arist. l. l. Aeschin. fals. leg. § 72 p. 37, 27. Dem. cor. § 73 p. 249, 14 cum schol. 17 Od. κ 84

2 ἂν om *Va* | ἀναλαβεῖν *VaB* 3 γίνεσθαι *VaB* Re | καὶ τὰς δραχμὰς inserui e libris δραχμὰς Iacobs Ach T 863 Schul om Re 4 γίνεσθαι *ClVaB* 5 καθ' ἕκαστον scripsi e *MaB* sed in hoc ην supra ον m² καθ' ἑκάστην *HCl* καθεκάστην *VVa* Re 6 γίνεται *Va* | οὐ *Va* sed in οὗ corr m² 7 ἐμοὶ *Va* 9 ἵνα τὰς συγκλήτους ἀφῶ scripsi e *Va* et γρ in marg *B* ἀνὰ τὰς συγκλήτους ἀπέχω *HVMaClB* Re 10 πράγμασιν, ὅτε δὴ scripsi ὅτε δὴ quod ante οὐ l. 11 exhibent libri Re huc transponens πράγμασι libri Re πράγμασιν οἷς vel ὅτε Iacobs Lect Schul 11 πρῶτοι scripsi e *Va* πρῶτον *HVMaClB* Re 12 ἔφθανεν *Ma* 13 πυκὸς *H* νυκτὸς *Va* 14 καὶ (1) inserui e *VaB* om *HVMaCl* Re 15 προσέλαβον *Va* 16 ἐπληροῦτο scripsi ex *HMaClVaB* ἐπληροῦντο *V* Re ἐπλήρουν Iacobs Schul 17 κ' ἄυπνος scripsi κἄυπνος libri Re

19. πρόσθετε τούτοις, ὦ βουλευταί, τὰ παρὰ τῶν γάμους μνωμένων, τὰ παρ᾽ ἑκάστου τῶν γαμούντων, τὰ παρὰ τῶν ἀρχὰς εἰληφότων, ὅσα διαιτήσας ἔλαβον, ὅσα συνθήκαις παραγενόμενος, ὅσα τοῖς πωλοῦσιν, ὅσα τοῖς ὠνουμένοις, ὅσα τοῖς διαθήκας γράφουσι, κιχρῶν τὴν χεῖρα πανταχοῦ καὶ παρέχων ἰσχὺν τοῖς ἐκείνων R IV 832 γράμμασι διὰ τῶν ἐμαυτοῦ. | εἰ γοῦν καταμάθοι τις τἀν τῇ πόλει γραμματεῖα οὐχ ἑνὸς ἔτους οὐδὲ δυοῖν, ἀλλὰ τόσων καὶ τόσων, τὰ πλεῖστα ἂν εὕροι τῇ ἐμῇ χειρὶ βεβαιούμενα. ὧν τὸ κέρδος ὅστις φυλάττοι καθάπερ κἀγώ, οὐδένα ἂν εὕροι τῶν εὐφορωτάτων ἀγρῶν τοσαύτην ἀποφέροντα πρόσοδον. 20. ἀλλὰ γὰρ ἀγροῦ μνημονεύσας ἐπιθυμῶ τὰς ἐκεῖθεν προσόδους διεξελθεῖν καὶ προσέτι ⟨τὰς⟩ συνοικιῶν καὶ ὅσας τὰ ἐργαστήρια δίδωσι. τοιαῦτα γὰρ τἀμὰ κτήματα οὐ τέρψιν διδόντα τοῖς ὀφθαλμοῖς, ἀλλ᾽ ἀργύριον τῇ χειρί. κἂν εἰς ἀγρὸν ἔλθῃ τις ἐμόν, οὐ δένδρα ὄψεται

2 Luc. Pseudol. § 28

1 τὰ scripsi e *VaB* cum Iacobsio Lect Schul τὰς *HVMa* sed in hoc ς del, *Cl* Re | καὶ ante γάμους *Va* 3 ὅσα scripsi οἷα libri Re 4 ὅσα συνθήκαις παραγενόμενος om *Va* | συνθήκαις scripsi e *B* cum Iacobsio Lect Schul et Sinteni συνθήκας *HVMaCl* Re 8 τίς *HClVa* | τἀν τῇ scripsi e *Cl* sed ex αὐτῇ corr m[4], *B* cum Iacobsio App Pors Adv 283 Lect Schul ἀντῇ *Va* αὐτῇ *HVMa* Re τὰ ἐν τῇ Sintenis 9 δυεῖν *Va* | εὕροι scripsi e *MaClVaB* cum Iacobsio Schul et Boissonadio Anecd. II 171 εὕρῃ *HV* Re 10 τῇ ἐμῇ scripsi e *MaClVaB* τῇ μῇ *HV* τῇ ᾽μῇ Re | βεβεβαιωμένα? 11 ἐγὼ[κά] *Ma* ἐγὼ *Va* | ἀφορωτάτων *Va* 12 ἀγρῶν scripsi e *Va* cum Iacobsio Schul Boissonadio l. l. Sinteni ἀνδρῶν *HVMaClB* Re 14 τὰς inserui auctore Iacobsio Lect Schul om libri Re | ὅσα *Va* ὅσοις *MaClB* sed in hoc α supra οι 15 διδόασι *Va* et supra δίδωσι *B*[2] | ταῦτα *MaClB* sed in hoc τοιαῦτα suprascr m[2] 17 ἔλθῃ scripsi ex *HMaClB* cum Boissonadio l. l. ἔλθοι *VVa* Re | τίς *HMaClB*

μακρὰ καὶ ἄκαρπα στοιχηδὸν ἑστῶτα καὶ τὸν ἥλιον ἀποκλείοντα τοῖς βαδίζουσιν, οὐ λουτρὰ δὶς μὲν ἢ τρὶς τὸν δεσπότην λούσοντα, τὸν δὲ ἄλλον χρόνον ἐννήχειν ἑστῶτα τοῖς τῶν ἀγροίκων παιδίοις, οὐδὲ οἰκήσεις ἀρκούσας μὲν ὄχλῳ πολλῷ, μὴ δ' ἕνα ἄνθρωπον ὑποδεχομένας καὶ γῆν πολλὴν μὲν ἐπεχούσας, σκιαζούσας δὲ πλείονα, ἣν ἂν εἴ τις κατέσπειρε κέρδος ἦν οὐκ ὀλίγον. 21. *οὐχ οὕτω γὰρ ἠλιθίως ἐμοὶ τὰ τῶν ἀγρῶν διατέτακται, ἀλλ' ἅ τις ἂν ἀμείψειεν ἀργυρίου, πρὸς ταῦτα ἀνεῖται ἡ γῆ, πυρούς, κριθάς, οἶνον, ἐλαίας, ἰσχάδας. ἃ κἂν ταῖς ἀρούραις ὄντα μόνον οὐκ ἀριθμήσας τοῖς φύλαξι παραδίδωμι καὶ τεθέντων εἴσω μὴ ὅτι ἄνθρωπος, ἀλλ' οὐδ' ἂν μῦς ἢ ὄρνεον λάβοι. δῶρον μὲν γὰρ ἂν αἰτῇ τις καὶ σκώπτῃ μὴ διδόντα, ἔσκωψε μέν, οὐκ ἔλαβε δέ· πωλῶ δὲ οὐχ ὅτε ὑμεῖς, ῥίψαι γὰρ ἄμεινον, ἀλλ' ὅτε σίτου μέδιμνος καὶ οἴνου κεράμιον τῶν φιλτάτων ὑμῖν τιμιώτερα καὶ οὐχ ὅσου*

---

1 *ἄκαρπα* reposui e libris cum Iacobsio Add 133 Anth Pal III 479 Schul Steph. Thes. s. v. Boissonadio l. l. *εὔκαρπα* Re *εὐπάταγα* Sintenis | *καὶ* inserui e *VaB* om *HVMa Cl* Re 2 *καθίζουσιν Va* et supra *βαδίζουσιν* B^2 *βαδίζουσι* Re 3 *λούοντα Va* et supra *λούσοντα* B^2 | *ἐννήχειν* scripsi *ἐνηχεῖν* libri Re 4 *αὐτῶν MaCl* sed *αὐ* del Ma^3Cl^1 5 *μὴ δ' ἕνα* scripsi *καὶ μὴ δὲ HVMaClB* sed in hoc *δὲ* in *δένα* corr m^2 *καὶ μηδένα Va* et coni Iacobs Schul *μὴ δὲ* Iacobs Lect | *ἀνθρώπων Va* 7 *ἣν ἂν εἴ τις κατέσπειρε κέρδος ἦν* scripsi *ἣν ἄν τις εἰ κατέσπειρε, κέρδος ἦν* libri sed *ἂν* post *ἦν* add *B*, Re *ἄν τις εὖ κατασπείρῃ* Iacobs Not. crit. in Lib. apol. Socr. 37, *εἴ τις εὖ κατέσπειρε* Lect, *εἴ τις κατέσπειρε* Schul | *ἂν* ante *ἦν* inserendum coni Iacobs Schul 8 *οὕτως HVMaClVa* Re 9 *ἀλλ' ἅ τις* scripsi e *Cl* sed ex *ἀλλὰ τίς* corr m^4, *B* cum Sinteni *ἀλλὰ τίς HVMaVa* Re *ἀλλὰ οἷς ἂν ἀμείψειεν* Iacobs Schul | *ἀμείψηται Va* | *ἀργυρίου* (ω supra) *Va* 11 *κατ' ἀρούρας Va* 14 *τίς HClVaB* 16 num *ῥῖψαι*? at cf. t. II 307,9; IV 239,2; 475,8 | *ἄλλ' Va* 17 *κεράμειον B* | punctum post *τιμιώτερα* delevi | *οὐχ ὅσου* scripsi *οὐπόσου* libri Re

δεῖ πρίασθαι, ἀλλὰ πρίασθαι μόνον πᾶς τις ἂν εὔξαιτο. 22. ἔρχομαι δὲ εἰς ἀγρὸν οὐκ οἰκετῶν πολλῶν ἑπομένων, οὐχ ἵππων, οὐχ ἡμιόνων, οὐδὲ γὰρ κέκτημαι τὴν ἀρχήν, ἀλλὰ καὶ τοὺς ἔχοντας ἐλεῶ καὶ σιδηρᾶν ἡγοῦμαι ψυχὴν ἔχειν, εἰ μὴ γίνονται αὖοι τοσούτων ἀλφίτων καὶ κριθῶν ἀναλισκομένων, ἀλλ' ἔμοιγε ὁ Κέρδων ἕπεται μόνος, ᾧ καὶ πρὸς τοὔνομα χαίρω καὶ ὅτι χρείαν ὄνου πληροῖ τὰ στρώματα φέρων, ἐλθὼν δὲ οὐ δέομαι πλατυτάτης οἰκήσεως, ἀλλ' εἴς του τῶν γεωργῶν ἑνὸς εἰσοικίζομαι τῷ ἐκείνου σκιμποδίῳ καὶ τρα-
R IV 833 πεζίῳ χρώμενος, ἐσθίων ὅσα κἀκεῖνος, | κυάμους, κρόμμυα, τῶν ἀγρίων λαχάνων. 23. εἰ δὲ ὄρνιν σφάξειεν ἢ ᾠὰ παραθείη, οὐκ ἐμοὶ λογίζεται, οὐ γὰρ ἂν ἀφαίμην, ἀλλὰ ξένια δίδωσιν. ἃ δ' ἀποφέρειν μοι τέτακται καὶ οὗτος καὶ οἱ λοιποὶ γεωργοί, πρὸς ἀργύριον ἀκριβῶς τιμησάμενος δραχμὰς οὐκ ὀλίγας ἐκλέγω. δελφάκιον δὲ καὶ ἄρνα καὶ ἔριφον εἰ καὶ δωροῖντό

---

3 cf. p. 16, 12 5 Luc. Tox. 16 6 cf. p. 70, 2. Dem. Nicostr. p. 1252, 28. Herond. 6, 62. Petr. 60

---

1 πρίασθαι (1 et 2) scripsi e *VaB* πριᾶσθαι *HVMaCl* Re | ὅπως *Va* | τίς *HCl* 3 τηναρχήν *B* 5 εἰ — αὖοι in lac 15 litt *B*² | εἰ om *MaCl* | γίνωνται *HMaCl* | αὖ οἱ *MaCl* 6 κριθῶν καὶ ἀλφίτων *Va* | ἀλισκομένων *B* | ὁ κέρδων in lac 7 litt *B*² | Κέρδων scripsi coll p. 70, 2 et Dem. l. l. κέρδων libri Re 7 ᾧ scripsi e *MaClVaB* cum Iacobsio Schul ὧν *HV Mon* οὗ Re 9 εἴς του scripsi e *B* cum Iacobsio Schul et Cobeto Coll 303 εἰς τοῦ *HVMaCl* Re εἰς *Va* | τῶν om *Va* | οἶκον ante γεωργῶν *Va* et inser *B*² 10 ἑνὸς delendum censuit Cobetus at cf. p. 32, 14 | οἰκίζομαι *Va* | κείνου *H* | σκίμποδι *Va* | τραπεζίῳ scripsi e *MaClVaB* τραπέζω *H* τραπέζῃ *V* Re
12 θύσειεν *Va* et supra σφάξειεν *B*² 14 ἃ *HMa* | δὲ *B* sed οὐδεὶς in marg οὐδεὶς *Va* 15 οὗτος *B* sed οὕτω suprascr m² οὕτω *Va* οὗτοι *MaCl* | ἃ ante πρὸς *Va* et inser *B*² 17 εἰ — 55, 1 γαστρὶ inserui e libris om Re | καὶ inser *B* | δωροῖν τόμοι *HMaClVaB*

μοι, οὐ πείθουσι δοῦναι τῇ γαστρὶ καταθύσαντα, ἀλλ' ἐπαινέσας [ἂν] καὶ λαβὼν τρέφειν κελεύω κἂν τοῖς τοῦ δεσπότου καταριθμεῖν, εἶτ' αὐξηθέντων ἀπαιτῶ τὰ ἔκγονα καὶ ποιῶ ταῦτα ἀργύριον. 24. *σῦκα δὲ καὶ βότρυες καὶ μῆλα καὶ ἄπιοι ἐμοῦ μὲν τοὺς ὀφθαλμοὺς καὶ τὴν ῥῖνα εὐφραίνουσιν, ἐσθίει δὲ ὁ διδοὺς ὀβολούς. ὅσα δ' ὡς ἄχρηστά μοι παραμένει, τοῖς οἰκέταις δίδωμι καὶ τῆς τροφῆς ὑφαιρῶ. ἐγὼ καὶ τὰ φύλλα τῶν δένδρων οὐκ ἐῶ τοὺς ἀνέμους ἐπὶ πέδον βάλλειν καὶ καταχεῖν, ἀλλ', εἰσὶ γὰρ οἳ καὶ τούτων δέονται πρὸς νόσου παραμυθίαν, ἀπεμπολῶ κερματίου, καὶ διὰ χρόνου καὶ οἱ κιττοὶ ἐν ταῖς τῶν θεῶν ἑορταῖς πληροῦσί μοι βαλάντιον ὅλον.*

25. *Τὸ δὲ μέγιστον τῶν κερδῶν, ὅσον ποιῶ χρόνον ἐν ἀγρῷ, ποιῶ δὲ ἀμέλει συχνόν, τρέφομαι τοῖς τῶν*

---

5 cf. p. 13, 4 9 Il. ζ 146 sq. 10 Luc. Hermot. 79
14 Dem. fals. leg. p. 392, 18. Nicarch. Anth. Pal. XI 330, 3

---

1 *καταθύσαντα* scripsi e libris *θύσαντα* Re 2 *ἂν* libri Re cancellavi 3 *συναριθμεῖν Va* et supra *καταριθμεῖν* B^2 | *εἶτα Va* 4 *δὲ* inser *B* om *MaCl* 5 *βότρυες* scripsi e *Va B* coll p. 13, 4; III 486, 5 *βότρυς HVMaCl* Re | *ἄπια καὶ μῆλα Va* | *ἄποιοι H ἄπιες MaClB* sed in hoc *α* supra *ες* | *μὲν* om *Va* 6 *ὀβολόν Va* 7 *δὲ B* | *ἄχρηστά μοι* scripsi cum Iacobsio Lect Schul et Sinteni *ἄχρηστα μὴ* libri Re | *παραμένη B παραμείνη Va* 8 *τῆς* om *Va* | *ὑφαιρῶ. ἐγὼ* scripsi cum Iacobsio Schul et Sinteni *ὑφαιρῶ ἐγώ* libri Re | *τὰ* om *Ma* | *δὲ* post *φύλλα Va* 9 *τοῦ δένδρου Va* | *ἐπὶ πέδον βάλλειν* scripsi coll Il ζ 147 *φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει* cum Iacobsio Add 264 qui postea (Lect Schul) improbavit et *κλέπτειν* coniecit *ἐπὶ πλέον* (*ἐπιπλέον Cl*) *βλέπειν* (inser *Ma* om *Va*) libri Re 10 *καὶ* om *Va* | *καταχεῖν* scripsi coll Luc. l. l. cum Iacobsio Add (*καταχέειν*) Lect Schul *κατέχειν* libri Re | *εἰ Ma* sed in *οἳ* corr m², *Cl* 11 *θεραπείαν Ma* | *κερματίου* reposui e libris *κερμάτιον* Re *καὶ κερμάτιον καὶ τοῦτο διὰ χρόνου* (*et inde quoque aliquid lucelli mihi comparo*) Iacobs Lect Schul 12 *οἱ* om *Va* | *τῶν* inserui e *VaB* om *HVMaCl* Re

γεωργῶν ἀναλώμασι καὶ τότε με μόνον ἡ γαστὴρ οὐ πορθεῖ. ὢν δὲ ἐν ἄστει, φεῦ, δασμὸν αὐτῇ παρέχω τὰς τροφάς. οὐδὲ γὰρ ἀνέχεται παραινοῦντος πολλάκις ἀρκεῖσθαι τῷ ἀέρι καὶ μὴ εἶναι χείρω τῶν τεττίγων οἳ τῇ δρόσῳ τρέφονται μόνῃ, ἀλλὰ δεῖται ἄρτου, φακῆς, κρομμύων, ταρίχους, ἂν οὕτω τύχῃ, πολλάκις δὲ καὶ σερίδων, ἵν' εἴη τὸ τάριχος ἥδιον. καὶ νῦν μὲν ἐπριάμην ἄν, νῦν δ' ἐπιπλήξας αὐτῇ ἀπῆλθον ἔχων τἀργύριον. οὐ γὰρ ἠνεσχόμην ἀριθμούμενον ὁρῶν καὶ τὸν μὲν φύλλα διδόναι, ἐμὲ δὲ κερμάτιον. 26. *μίαν οἶδα τῇ γαστρὶ χάριν καί, νὴ τοὺς θεούς, οὐ μικράν. ἐν τοῖς τῶν καλούντων δείπνοις ἐμφορεῖται πλειόνων καὶ τήν τε ἡμέραν ἐκείνην οὐκ ἐδεήθη τροφῆς καὶ τῆς ὑστεραίας μέχρις ἑσπέρας, τὴν δ' ἑσπέραν ταύτην ἁλῶν καὶ ἄρτου βραχέος ἐμφαγὼν ἐκαθεύδησα καὶ οὕτω δύο ἡμερῶν ἐταμιευσάμην μίαν ἑστίασιν φίλου. πολλάκις δ' ἄν, ὦ βουλή, καὶ τῶν κρεῶν μοῖραν οὐκ ὀλίγην λαβὼν καὶ ἄρτων πλειόνων ἔδωκα τῷ παιδὶ*

5 cf. ad p. 85, 6   6 cf. p. 15, 3

1 *με* om *Va* *μοι* Iacobs Lect *μὲν* Sintenis 2 *πορθεῖ* scripsi cum Iacobsio Schul et Steph. Thes. s. v. p. 1485, 3 *ποθεῖ* libri Re | *ὢν* scripsi *ἦν* *HVMaClB* Re *εἰ* *Va* | *ὦ* post *ἄστει* *Va* et inser *B*² | *φεῦ, δασμὸν* scripsi ex *HMaClB* sed in hoc *ὦ* supra *φεῦ* m², cum Iacobsio Schul *φευδασμὸν* *V* *δασμὸν* *Va* *φειδασμὸν* Re 3 *τρυφάς* *Va* | *οὐ* *Va* 4 *χείρων* Sintenis 6 *τύχω* *Va* 7 *δὲ* inserui e *MaClVaB* om *HV* Re | *ἵνα* *Va* | *ἢ* *Ma* 8 *δὲ* *HV* Re | *ἀπῆλθεν* *H* 10 *τὴν* *Va* 12 *ἐμφορεῖται* scripsi ex *HVClB* *ἐμφορᾶται* *MaVa* Re 15 *βραχέος* reposui e libris *βραχέως* Re | *ἐμφαγὼν* scripsi e *VaB* cum Iacobsio Schul et Sinteni *ἐκφαγὼν* *Ma* Re *ἐκφυγὼν* *HVCl* *ἐκφυγὼν* (α supra υ) Mon 16 *μίαν ἑστίασιν* scripsi *μίαν ἑστίαν* *Va* *ἑστίασιν* *HVMaClB* sed in hoc γρ *μίαν ἑστίαν* suprascr m², Re 18 *ἄρτον* *B*

καὶ εἶπον μὲν φαγεῖν, ἔνευσα δὲ τηρεῖν | κἆτ' R IV 834 *ἐτρύφων πολλῶν ἑξῆς ἡμερῶν μηδὲν ζημιούμενος.*

27. *Καί μοι δοκῶ, νῦν γὰρ ᾐσθόμην, ἐκ τῶν τοιούτων, ὦ βουλευταί, δείπνων διεφθάρθαι τὸν νοῦν καὶ τρυφᾶν ἐκ τῶν ἀλλοτρίων μαθὼν ἔλαθον εἰς πάθος ἐμπεσὼν ἐκ κόρου τικτόμενον. ἐκεῖθεν ἡμᾶς, ἐκεῖθεν ὁ Ἔρως ἐνήδρευσε μαλακωτέραν ποιῶν τὴν ψυχὴν καὶ συνεθίσας ὄψων πρῶτον ἐρᾶν. οἶδα γοῦν τοὺς ὀφθαλμοὺς τοῖς κατ' ἀγορὰν ὠνίοις ἐπιβαλὼν καὶ μηκέτ' εὐχερῶς ἀπαγαγών, ἀλλ' ἔπαθόν τι πρὸς αὐτὰ πάθος ἀσύνηθες. ἐπῄνεσά τε αὐτὰ καὶ ἡδέως ἂν ἔφην φαγεῖν καὶ τὸ βαλάντιον λύειν ἕτοιμος ἐγενόμην, ἐν δὲ τῷ λύειν πολλάκις μὲν ἀνανήψας ἐπέπληξα ἐμαυτῷ τί τοῦτο, εἰπών, ὦ κακόδαιμον; οὐ μενεῖς ἐπὶ τῆς συνήθους διαίτης; οὐ διαρραγήσῃ πρότερον ἢ ταυτὶ προτιμήσεις τοῦ κερματίου; πολλάκις δὲ καὶ ἡττήθην, ὁμολογῶ.* 28. *καὶ κρεῶν μὲν ἢ ᾠῶν ἢ τούτων τινὸς τῶν πολυτελῶν οὐδ' οὕτως ἂν*

---

7 Soph. Ant. 784 13 cf. t. IV 590, 5 R

---

1 *φυγεῖν Cl* | *ἐνένευσα Va* et supra *ἔνευσα B*[2] *ἐκέλευσα Ma* | *κἆτ' ἐτρύφων* scripsi cum Iacobsio App Pors 330 Anth Pal III 693 (*κἆτα ἐτρύφων*) *κατατρυφῶν HV* Re *κατατρυφῶ MaCl καὶ κατατρυφῶ VaB* 2 *μηδὲν*] *οὐ μικρὸν* Iacobs App, *μέγα* Anth Schul 3 *κἂν μὴ δοκῶ·* (*καὶ μὴ δοκῶν·* Anth Schul) *νῦν μὲν γὰρ* Iacobs App Anth Schul 4 *βουλευτικὴ MaCl* 8 *πρῶτον ὄψων MaVa* 10 *ἀλλὰ παθὼν VaB* 11 *οὐ σύνηθες Va* | *ἐπηνέσατε Cl* | *αὐτὰ* reposui e libris cum Iacobsio Lect *αὐτῷ* Re e quo *τι αὐτῶν* Iacobs Add 107 Schul 15 *ῥαγήσῃ Va* 16 *ἢ* scripsi e *VaB* cum Iacobsio Lect Schul et Sinteni *εἰ HVMa* sed in hoc in *ἢ* corr m[4], *Cl* Re | *ταυτὶ* scripsi e *Va* *ταύτῃ HVMaCl* sed in hoc ´ in ˜ corr m[4] *ταῦτα B* *ταύτην* Re Iacobs | *προτιμήσεις* scripsi *προτιμήσαις HVMaClVa* Re *προτιμήσας B* sed *προ* inser 17 *κριῶν Cl* | *μὲν* inser *B* om *MaCl* 18 *ἢ* in ras *B* *καὶ MaCl* | *τινὸς* scripsi ex *HMaClB*

ἐπριάμην, οὐδ' οὕτως, εἰ μυρίοι με ἐκέντουν Ἔρωτες, εἰωθὼς δὲ ἐνίοτε τοῦ Βυζαντίου ταρίχους ἐσθίειν, ἴστε δὲ ὡς καὶ χρηστὸν ὄψον οἱ σκόμβροι καὶ εὔωνον, τοῦ Γαδειρικοῦ ποτ' ἂν ἐπεθύμησα καὶ στένων μέν, ἐπριάμην δ' ἂν ὅμως, εἶτ' ἐλθὼν οἴκαδε οὐκ ὀπτήσας συνέφαγον ἄρτῳ ξηρῷ, ὅ μοι δεῖπνον ἀεὶ τὸ ἥδιστον ἦν, ἀλλ' ἐπέσταξα ἂν ἐλαίου καὶ ὄξους ἐπέχεον καὶ ῥαφανίδας συνέφαγον, ὧν καὶ ἓν ἤρκει πρότερον δεῖπνον ποιῆσαι πολυτελές. 29. ἄλλοτε γαστρός, ὦ βουλή, βοὸς ἐπεθύμησα, ἄλλοτ' αἰγείων χορδῶν καὶ οὐκ ἐπεθύμησα μόνον, ἀλλ' οἶμαι, νὴ τοὺς θεούς, καὶ ἠγορακέναι, ὥστ' ἐκ ταύτης τῆς τρυφῆς ὁ κακοδαίμων ἀκόλαστος ἐγενόμην καὶ γυναικὸς κάλλος ἰδὼν ὁμοίως ἐθαύμασα καὶ ἅψασθαι καὶ περιβαλεῖν καὶ ὡς ἐμαυτὸν ἀγαγεῖν παραπλησίως ηὐξάμην. τίς δ' οὐκ ἂν καὶ ἄλλος, ὦ βουλευταί, κάλλος οὕτως ἄμαχον θεασάμενος; 30. τὸ μὲν πρόσωπον αὐτῆς οἷον ἐν χρυσῷ καταλάμπεται, ἀργύρου δὲ μαρμαρυγὰς ἐκπέμπει τὰ ὄμματα,

---

2 sq. Nicostr. vel Philet. Ἀντ. III 279, 1 M (II 220, 4 K)

---

cum Sinteni τινὲς *V* Re om *Va* τι Iacobs Lect, τῶν ὀρνέων vel τῶν ἰχθύων τινὰς Schul

1 οὐδ' scripsi οὐχ libri Re | οὕτω *MaVaB* | ἐμάνην post οὕτως excidisse coni Iacobs Lect Schul | εἰ om *ClVaB* | με *Va* sed ε ex οι corr m² μοι *MaClB* 3 καὶ (1) om *Va* | εὐώνιον *Ma Cl* 4 παταρικοῦ *Va* et supra γαδειρικοῦ *B*² | ποτ' scripsi e *Va* πότ' *B* τότ' *HVMaCl* Re 5 δ' ἂν] δ' ἦν *B* sed η ex ον corr δὲ Iacobs Add 82 | ὀπτήσας οὐκ transposuit Iacobs Add Anth Pal III 201 Schul 6 συνέφαγον ἄρτῳ ξηρῷ scripsi ἔφαγον ἄρτω ξηρῶ libri ἔφαγον ἄρτον ξηρόν Re Iacobs Add Anth ἔφαγον ἄρτων ξηρῶν Iacobs Schul | δείπνων *MaCl* | τὸ del Iacobs Add 7 καὶ ante ἐλαίου *Va* καὶ ἐλαίου post ὄξους *HV* Re, ὀλίγον *MaClB*, καὶ ἐλαίας Iacobs delevi | ἐπέχεον scripsi e *Va* ἐνέχεον *MaClB* ἐνέτυχον *HV* Re ἄν, εἰ ἔτυχον Iacobs 11 ἀλλὰ *HVClB* Re | voce τοὺς inc *Cr* fol 53ᵛ 12 ὥετ' *MaCl* sed in hoc ε in σ corr m⁴ 18 ἀργυρίου *MaClB*

ἡλικία δὲ καὶ ἦθος καὶ περιβολὴ καὶ στάσις ἀτεχνῶς οἷα τῶν χρυσῶν ἀγαλμάτων τῶν ἐν τοῖς ἱεροῖς, ὁ δ' ἔξωθεν κόσμος, βαβαί, πόσος καὶ ὅπως ἐράσμιος | R IV 835 διπλασιάζων τὸ κάλλος τῇ γυναικί. πλήρης μὲν ἡ κεφαλὴ χρυσοῦ, πλήρης δὲ ἡ δέρη, ἐλλόβια, βουβάλια, ἀμφιδέαι. ζώνιον ⟨καὶ⟩ ἐσθὴς ἐρίου μὲν ὀλίγου, χρυσίου δὲ πολλοῦ.

31. *Καὶ* ἔμοιγε τὸ πρῶτον ταῦτα κατέσχεν ἐπὶ πλείονα χρόνον τὰ ὄμματα, εἶθ' εἵλκυσε τὸ πρόσωπον ἐφ' αὐτό. κἀκ τοῦ προσώπου πληγή τις ἐπὶ τὴν καρδίαν ἀφίκετο ὀξυτέρα μὲν τῆς ἐκ βέλους, ἴση δὲ μικρὸν εἰπεῖν τῇ διὰ ξίφους ἢ δόρατος. ἀλλ' οὕτως οἶδα πληγεὶς ἀδοκήτῳ ποτὲ ζημίᾳ περιπεσών. τὰ γοῦν ἐκ τῶν

---

5 Arist. Thesm. alt. fr. II 1078, 6 M (I 474, 320, 6 K). Nicostr. fr. III 289, 7 M (II 228, 33 K). Diphil. *Παλλ.* IV 402, 56 M (III 560, 59 K) 11 cf. t. VI 647, 15 sq. 11 sq. cf. ad t. IV 399, 1

---

1 ἦθος scripsi e *ClVaB* πλῆθος *HVMa* Re scriptura in *Cr* parum perspicua στῆθος Iacobs Lect Schul μέγεθος Sintenis 2 οἷα *CrH* 5 δέρρη *VaB* | ἐλλοβίων *VaB* sed in hoc οβίων ex όβιουν corr m² | βουβαλίων *Va* βού cum ras 2 litt *Ma* βούκατα *Cl* in lac 8 litt om *B* 6 ἀμφιδέαι. ζώνιον scripsi ἀμφὶ δὲ ζώνιον *HVMaCl* Re ἀμφιζωνίου *VaB* sed in hoc in lac 10 litt scriptura in *Cr* parum perspicua cf. p. 63, 11 ἀμφίδεα vel ἀμφιδέα Iacobs App Pors Adv 331 Lect Schul cf. t. III 131, 1 ubi tamen coll t. IV 645, 1 R ἀμφιδέραια librorum retinendum duco | καὶ inserui om libri Re | εὐθὺς *Ma* | μὲν ἐρίου *Va* | χρυσοῦ *Va* 7 punctum posui colon *MaVa* comma reliqui libri Re 8 ἔμοιγε scripsi e *VaB* ἐμοῦγε *HVMaCl* scriptura in *Cr* parum certa ὁμοῦγε Re πολλοῦ καὶ ὅλουγε Sintenis | colon post πρῶτον Re delevi cum Iacobsio Schul et Sinteni | ταύτην. *MaCl* 9 εἵλκυσε scripsi e *VaB* cum Iacobsio ἕλκυσε *HVCl* Re ἕλκυσαν *Ma* scriptura in *Cr* parum certa 10 ὑφ' *Ma* | κἀκ — 11 ἀφίκετο additis post προσώπου verbis τῆς ἑταίρας αὐτίκα ad versus comoediae Atticae revocavit Kockius Com. Att. fr. III 673, 1548 12 τῇ scripsi e *Va* τῆς *HVMaClB* Re scriptura in *Cr* parum certa | ἀλλ' om *Va* | οὕτως *Va* sed ς add m²

πληγῶν πάθη οὐδ' ἀκαρῆ διενήνοχεν. 32. ἀλλ' ὥσπερ τότε, καὶ νῦν ἡμιθνὴς ἐγενόμην, ὠχρός, ἄφωνος. ἴλιγγος ἐν τῇ κεφαλῇ, σκότος περὶ τὰ ὄμματα. οἱ δὲ πόδες οἷ μὲν ἐβουλόμην οὐ προῇσαν, τῶν δὲ τῆς ἑταίρας ἰχνῶν ἐξεδέδεντο. καὶ παρειπόμην τῶν μὲν ἐν ποσὶν οὐδὲν καθορῶν, εἰς δὲ αὐτὴν ὅπως τῷ τε χρυσίῳ καὶ τῷ κάλλει κεκόσμητο κεχηνώς, ἕως οἴκαδε ἐλθοῦσα τοὺς μὲν παρῆκεν ἔσω τῶν ἐραστῶν, ἐμὲ δὲ ἀπέκλεισεν. 33. ἦν μὲν οὖν καὶ τοῦτο μυρίων, ὦ βουλή, θανάτων ἄξιον, καὶ πᾶς ἄν μοι κἀνταῦθα δικαίως ἐπιπλήξειεν· οὐκ ἀπάγξῃ, δυστυχής; οὐκ εἰς κρημνόν τινα ὤσεις σαυτόν; ἀλλ' ἐρῶν ἔρωτα οὕτως ἀνδρικὸν καὶ γενναῖον ᾧ συνετράφης, ᾧ συνηυξήθης, ᾧ συνήκμασας, ἐπεισφέρεις ἕτερον αὐτῷ τὸν τῶν μειρακίων καὶ μόλις πρὸς ἐκεῖνον ἀρκῶν μερίσας τὸν χρόνον τὸν ἥμισυν τῷ δευτέρῳ τούτῳ προσέθηκας καὶ φοιτᾷς ἐπὶ

1 Arist. av. 1649; vesp. 541. Com. anon. fr. IV 600, 4 M (III 513, 580. 581 K) 2 cf. p. 94, 7

2 ἡμιθανὴς *MaClB* sed in hoc θνὴς supra θανὴς m[2] | ἴλιγκος *B* 3 περὶ scripsi e *MaClVaB* cum Sinteni et Cobeto Coll 303 παρὰ *HV* Re scriptura in *Cr* parum certa | δὲ inserui ex *HMaClVaB* om *V* Re spatium in *Cr* certum, scriptura non item 4 οἷ *Cl* sed in ἡ corr m[4] οὗ *Va* | προῇσαν scripsi cum Cobeto Misc 155 Coll 303 προῆσαν *CrHVMaCl* sed in hoc ῆ in ήε corr m[4] προήεσαν *B* sed προύβαινον suprascr m[2] προὔβαινον *Va* προσῆσαν Re 6 τῷ τε scripsi e *Va* τὲ τῷ *HVMa* Re τὲ τῶν *ClB* sed in hoc τῶ τε in marg m[2] scriptura in *Cr* parum certa | χρυσίων *ClB* sed in hoc χρυσίω in marg 9 ὦ βουλὴ καὶ τοῦτο μυρίων *VaB* | ὦ βουλὴ μυρίων *Ma* 10 δικαίως ἐνταῦθα *VaB* 11 ἐπάγξῃ *Ma* ἀπάξῃ *Cl*
12 οἴσεις *Ma* | ἑαυτόν *VaB* αὐτόν *Ma* αὑτὸν *Cl* 16 ἥμισυν scripsi e *Va* ἥμισυ *HVMaClB* Re scriptura in *Cr* parum certa 17 τῶν *ClB* sed in hoc ν eras | δευτέρων τούτων *MaClB* sed in hoc ambo ν eras | προσέθηκας scripsi e libris sed

θύρας ὅθεν κεναῖς ἐπανήξεις χερσίν, ὃ μήπω πεποίηκας πρότερον.

34. Ἦν μὲν οὖν καὶ διὰ ταῦτα τεθνάναι μοι καλόν, ὅπερ ἔφην, τί γὰρ ἔδει με ζῆν, ὦ βουλευταί, πράγματι παρακαθήμενον κέρδος οὐ φέροντι; τὰ δ' ἐφεξῆς οὐδὲ βουλομένῳ μοι ζῆν συγχωρήσειεν ἄν. ὡς γὰρ δὴ καιρὸν ἔσχε ποτὲ διαλεχθῆναι κἀμοὶ πολλάκις τὸν οὐδὸν τῶν θυρῶν κατατρίψαντι καὶ ἐπῆλθον οἴκαδε ὡς αὐτήν, κιχλισμὸς ἦν πρῶτον τῶν θεραπαινίδων πολύς. 35. καὶ ἡ μὲν θοἰμάτιον ἔσκωπτε καὶ τὸ χιτώνιον ὅτι τοῦ Κρόνου πρεσβύτερα, ὅτι πλείους ἔχοι τὰς ὀπὰς τῶν στημόνων, αἱ δὲ ἠρίθμουν τὰ προσερραμμένα τοῖς ὑποδήμασί μου καττύματα καὶ πόσας

---

8 sq. cf. Lys. or. 1 § 22 p. 93, 45   11 cf. t. III 439, 3. Arist. nub. 929; 398 cum nota Kockii; av. 469. Plat. conv. p. 195 B. Poll. II 16. Fr. com. IV 680, 311 b M (III 563, 895 K)

---

scriptura in *Cr* parum certa προσέφηκας *Mon* unde προσεφῆκας enucleavit Iacobs Schul προσπέφυκας Re | φοιτᾶς *Cl* sed οι ex υ corr m[4]

1 θύραις *Va* | καὶ ante κεναῖς *HVMaClB* scriptura in *Cr* parum certa 3 διαταῦτα *H* | τὰ τοιαῦτα *MaB* τοῦ τοιαῦτα *Cl* | μοι καλὸν τεθνάναι *Va* 4 μοι *V* | καὶ ante ζῆν *Va* | βουλὴ *Va* 6 με *B* 7 δὴ inserui e *VaB* om *HVMaCl* scriptura in *Cr* parum certa | comma post διαλεχθῆναι Re delevi cum Iacobsio Schul 8 ἐπῆλθον scripsi ἀπῆλθον libri Re παρῆλθον Iacobs Lect Schul 9 verba κιχλισμὸς — 62, 4 ἐγένου ad versus comoediae Atticae πρῶτον κιχλισμὸς τῶν θεραπαινίδων πολύς | . . . εἰς θοιμάτιον ἔσκωπτε καὶ τὸ χιτώνιον | ὡς τοῦ Κρόνου πρεσβύτερα, | πλείους ἔχοντα τὰς ὀπὰς τῶν στημόνων. | αἱ δ' ἠρίθμουν δὴ πάντα τὰ προσερραμμένα | τοῖς ὑποδήμασίν μου καττύματα | μία δὲ προσελθοῦσα | πόσον οὐκ ἐλούσω, χρόνον; . . ἐμοὶ μὲν γάρ, δοκεῖς | νὴ τὴν Ἀφροδίτην, εὐθύς, ἐξ ὅτου 'γένου Kockius Com. Att. fr. III 673 | πρῶτα *VaB*

10 ἔσκωπτεν *MaCl* ἐνέσκωπτε *VaB* 11 ὅτι reposui e libris cum Iacobsio Anth Pal III 198 Schul τι Re ὄντα Cobet Coll 303 | καὶ ante ὅτι *Va* | ἔχει *MaVaB* 12 τὰ scripsi δὴ libri Re δὴ τὰ Iacobs Anth Schul

R IV 836 *πενταετηρίδας ἐξήρκεσεν ἐπυνθάνοντο καὶ | πόσας ἔτ' ἐξαρκέσει. μία δὲ προσελθοῦσα πόσον οὐκ ἐλούσω, φησί, χρόνον, ὦ βέλτιστε; ἐμοὶ μὲν γάρ, νὴ τὴν Ἀφροδίτην, δοκεῖς ἐξ ὅτουπερ ἐγένου. καὶ πρὸς μὲν τὸ μύρον ἔοικας ὥσπερ οἱ κάνθαροι διαφθείρεσθαι. οὐ γὰρ ἂν ὡς ἡμᾶς εἰσιὼν ὠδώδεις οὕτω κακόν.* 36. *ταῦτα δὲ ἐγὼ μὲν ἐπριόμην ἀκούων, ἡ δὲ τέως μὲν ἐμειδία μάλα ἡδύ, τέλος δὲ σιωπᾶν αὐταῖς ἐπιτάξασα προσέβλεψέ τέ με θαυμάσιον οἷον καὶ τὸ χρυσοῦν διανοίξασα στόμα τί δεῦρο ἥκεις; ἐπύθετο. μή του τῶν ἐρώντων μου μειρακίων παιδαγωγὸς ἢ τροφεὺς ὢν ἀπαγορεύσων ἥκεις μηκέτ' αὐτὸ δέχεσθαι τοῦ λοιποῦ;* 37. *οὐκ ἔγωγε, εἶπον, ὦ καλλίστη γυναικῶν, ἀλλ' ἐραστὴς ὢν καὶ αὐτός. τίνος; εἶπεν. ἢ ταυτησὶ τῆς*

---

3 sq. Men. *Ἐπιτρ.* 263; *Περικ.* 413 4 Arist. Plut. 85 7 Men. IV 303, 326 M (III 236, 902 K) 10 Soph. fr. 11 Nauck[2] 15 sq. Caecil. Chrys. fr. com. Rom. ed. Ribbeck[2] p. 39, 22

---

1 *ἐξήρκεσαν VaB* 3 *μὲν* om *Ma* 4 *ἐξ ὅτουπερ ἐγένου* scripsi cum Iacobsio Add 188 App Pors 331 Lect Schul Sinteni Cobeto Coll 303 *ἐξότου παρεγένου* libri sed scriptura in *Cr* parum certa, Re | *καὶ πρὸς μὲν* scripsi e *VaB* *πρὸς μὲν γὰρ HVMaCl* Re scriptura in *Cr* parum certa 6 *εἰς Va* | *ὠδώδεις* scripsi ex *HVMaCl* *ὀδώδεις VaB* Re scriptura in *Cr* parum certa 7 *κακόν* scripsi cum Iacobsio App Pors 331 Anth Pal III 76 Schul Cobeto *κακοῦ HVVa* Re scriptura in *Cr* parum certa *κακῶς MaClB* sed in hoc *οῦ* supra *ῶς* m[2] | *ἐπριάμην B* 8 *ἐγέλα Va* et supra *ἐμειδία B*[2] | *μᾶλλόν Ma* 9 *προσέβλεψέ* — 10 *στόμα* om *VaB* 10 *οἷον* om *Ma* 11 *μή του τῶν* scripsi e *CrHVMa* cum Iacobsio Ach T 775 Schul *μέ του τῶν Cl* *μή που τῶν VaB* Iacobs App Pors 331 Anth Pal III 101 *μὴ τούτων* Re *μὴ τούτων* ⟨*τῶν*⟩ Sintenis 12 *τροφεὺς* scripsi e *ClVaB* coll t. III 408, 10; V 471, 14 *τροφὸς CrHVMa* Re 13 *τουλοιποῦ Va* sed e *τοῦ λοιποῦ* corr m[2], *B*

Χρυσίον; ἐπεστράφην πρὸς τοὔνομα καὶ ποίου, φημί, λέγεις χρυσίου; ταύτης, εἶπε, τῆς χρυσῆς θεραπαίνης. ἰδὼν δὲ ἐγὼ παιδισκάριον οὐκ ἀηδὲς καλὴ μέν, εἶπον, καὶ Χρυσίον καὶ μάλιστα διὰ τοὔνομα, ἐγὼ δὲ οὐ ταύτης, ἀλλὰ τοῦ σοῦ κάλλους ἐρῶ. εὖ γε ποιῶν, εἶπεν, ὦ τάν. 38. *καὶ ἅμα ἀφεῖσα ἐμὲ ἐπυνθάνετο μεγάλῃ τῇ φωνῇ εἰ τὸν εὐνοῦχον ἔπεμψεν ὁ ξεναγὸς Θρασυλέων ὅν μοι σὺν τῷδε τῷ ὅρμῳ δεδώρηται, δείξασα κόσμον κομψοῦ πάνυ χρυσίου, εἰ τὴν αὐλητρίδα Πολέμων ὁ τοῦδε ἀντεραστής, τὸ μὲν γὰρ ζώνιον τόδε ταῖς ἑαυτοῦ χερσὶ φιλήσας ἅμα ἐπέζωσεν, εἰ τὸ μειράκιον ὁ Μοσχίων* ⟨*καὶ*⟩ *τὰς εἴκοσι μνᾶς ἃς τὸν*

---

8 Iul. Mis. p. 349 C. Men. *Θρασ.* fr. IV 13, 9 sq. M (III 69, 240 sq. K). Turpil. Thras. fr. com. Rom. ed. Ribbeck[2] p. 109
10 Men. *Περικειρ* 52 sq. 13 Men. *Σαμ.* 21 sq. 102 sq. 254 sq. 271 sq.; *Περικειρ.* 276 sq.; *Ὑποβ.* com. IV 211, 1 M (III 142, 494 K). Choric. apol. mim. ed. Graux Rev. de phil. 1877 p. 228, 10 sq.

---

1 *Χρυσίον* scripsi cum Iacobsio Schul coll Caecil. fr. l. l. *χρυσίου* libri sed in *χρυσείου* corr *B*, Re 2 *χρυσῆς B* sed *γρ ἐμῆς* suprascr *ἐμῆς Va* 4 *ἀλλὰ* ante *καλὴ VaB*[2] | *Χρυσίον* scripsi *χρυσίον BVa* Re *χρύσιον HVMaCl* scriptura in *Cr* incerta
5 *δὲ οὐ Cl* sed e *δε τοῦ* corr m[4] | *οὐ*] *οὐ τοῦ B* | *τοῦ* om *V* | *σοῦ* inserui e libris om Re 6 *εἶ V* (*Mon*) *MaCl* sed in hoc *πεν* add m[4] scriptura in *Cr* parum certa | *τᾶν B* 7 *τῇ* inserui e *VaB* sed in hoc inser m[2] om *HVMaCl* Re scriptura in *Cr* incerta 8 *Θρασυλέων* scripsi *θρασυλέων* libri Re | *ὅν* scripsi ex *HVa* *ὅς VMaClB* Re Iacobs Schul scriptura in *Cr* parum certa | *μοι* scripsi e libris sed scriptura in *Cr* parum certa *με* Re Iacobs 9 *τῷ* om *Va* *τὸν MaB* | *ὅρμον MaB* | *δεδώρηται* scripsi ex *HMaClVaB* cum Iacobsio *δεδέρηται V* scriptura in *Cr* incerta *τεθήραται* Re 10 *Πολέμων* scripsi *πολέμων* libri Re | *τούτου VaB* 11 voce *ζώνιον* des *Cr* fol 53[r] quae sequuntur usque ad p. 72, 5 *ὡς ἀληθῶς* perierunt
12 *ἐπέθηκεν Va* (*ζωσεν*) 13 *μοσχίων Cl* sed *ω* ex *ο* corr m[4] | *καὶ* inserui om libri Re | *τὰς* om *Va* | *μνᾶς* in ras *B*

Δᾶον ἥξειν ἔφη κομίζοντα. αὔριον δέ, εἶπεν, ὦ φίλτατε, καὶ περὶ σοῦ πευσόμεθα εἰ ὁ νέος ἐραστὴς ὁ καλὸς ἃ χθὲς ὑπέσχετο πέπομφεν. ὑποσχήσῃ γὰρ δηλονότι καὶ ὑπερβαλῇ μάλιστα μὲν καὶ τοὺς ἄλλους ἐραστάς, εἰ δὲ μή, τὸν Μοσχίωνα.

39. *Τί με οἴεσθε, ὦ βουλευταί, πάσχειν ταῦτα ἀκούοντα; λίθοις βάλλεσθαι κατὰ τῆς κεφαλῆς ἐδόκουν, ξίφει κατὰ τῆς καρδίας. μόλις ἐπέσχον ἐμαυτὸν μὴ πεσεῖν. ἡ δὲ πρὶν ἐκ τούτων ἀνενεγκεῖν τῶν πληγῶν ἑτέρας ἐπῆγε χαλεπωτέρας. τέως γάρ, ἔφη, δείπνου δεῖ τήμερον καὶ τοῦτο σὺ παρασκεύασον, ἵν' ἅμα μοι καὶ συνδειπνῇς ἐγγὺς κατακείμενος, τὸ δὲ δεῖπνον ἔστω μὴ πάνυ πολυτελές.* 40. *κἀγὼ μὲν ἐλαίας που καὶ τυρὸν ἀκούσεσθαι προσεδόκων ἤ,* R IV 837 *νὴ Δία γε, λάχανα καὶ ᾠά, ἃ καὶ | γαμοῦσιν ἀνθρώποις ἀρκεῖ, καὶ πρὸς ταῦτα ἀπεκναιόμην οὐχ ὡς παρέξων, ἀλλ' ὡς τῷ λόγῳ τέως ἀνιασόμενος. ἡ*

---

1 Men. IV 333 M (III 946 K); *Ἐπιτρ.* fr. 1 sq.; *Περικ.* 71 sq.; 217 sq. 292 sq.; *Ἡρ.* 1 sq.; *Γεωργ.* 32 sq. Com. fr. IV 600 M (III 460, 287 K). Choric. Spart. § 31 Arch. Jahrb. IX 180, 7
9 Soph. El. 517

---

1 *Δᾶον* scripsi *δᾶον Ma* Re *δάον HVCl δαναὸν VaB* sed in hoc in ras 4 *ὑπεροχήσῃ Ma* 7 *με Cl* sed e *δε* corr m^4 om *Ma* 8 *ἀκούσαντα Va* 9 *μου* post *καρδίας MaCl B* 10 *περιπεσεῖν* Sintenis 13 *συνδειπνῇς* scripsi e *VaB* cum Sinteni *συνδειπνῇ HVMaCl* Re 15 *ἐλαίας* scripsi e *Ma ClVaB ἐλάας HV* Re cf. t. II 178, 8; IV 633, 14; 635, 11; 664, 18 R | *ποῦ MaCl* 16 *γε* om *VaB* | *καὶ*(1)] *ἢ VaB* 17 *οὐχ* inserui e libris cum Iacobsio Schul om Re | *οὐχῆ B* sed *ὡς* supra *ῆ* 18 *ἡ MaCl* | *ἄλλως VaB* Iacobs Lect | *ἡ MaCl* sed in hoc ˜ add m^4 *ἢ B* sed *ὡς ἐν* suprascr m^2 | *ἐν* ante *τῷ Va* | *ἀνιασάμενος* Iacobs Lect

δὲ κατέλεγε τράπεζαν ἣν φρίττω, νὴ τοὺς θεούς, καὶ ὀνομάσαι βουλόμενος, Θάσιον οἶνον, ὄρνις, ἰχθῦς, πλακοῦντας, ἄλλ' ἄττα ὧν οὐδὲ τὰ ὀνόματα ἠπιστάμην. πρίω δέ, φησί, καὶ ἄνθη καὶ στεφάνους καὶ μύρον. ὄζειν γὰρ δεῖ παρ' ἡμῖν καὶ τὸ οἰκίδιον μύρου. 41. ἐξέκραγον ἐνθάδ' οὐκέτ' ἀνασχόμενος· μὴ γὰρ βασιλέα τὸν μέγαν ἐραστὴν ἔχεις, ὦ γύναι; μὴ γὰρ ἐκ γῆς καὶ θαλάττης προσόδους ἐκλέγοντα; καίτοι κἀκεῖνος πτωχὸς ἂν γένοιτο οὐ πολλοῦ, εἴ τις αὐτοῦ μνᾶς εἴκοσι εἰς δεῖπνον τοιοῦτον ἀφέλοιτο. ἐμὲ δὲ πρὶν πτωχόν, νεκρὸν ἂν ποιήσαι καὶ μία ληφθεῖσα δραχμή. τοιοῦτος οὑμὸς τρόπος. 42. ἀκούω δὲ ὑμᾶς, ὦ βελτίστη, σφόδρα ἁρμόζεσθαι πρὸς τοὺς τρόπους τῶν ἐραστῶν. ἅρμοσαι δὴ πρὸς τὸν ἐμόν. λαμβάνειν εἴωθεν, οὐχὶ διδόναι, καὶ μάλιστα μέν, ὦ φιλ-

---

2 cf. t. V 24, 5 | cf. p. 13, 7; t. II 38, 11 4 Arist. Ach. 34 6 cf. t. V 444, 5 13 cf. p. 67, 6

---

1 ἣν scripsi e *V* (*Mon*) *Va* cum Iacobsio Lect Schul ἦν *HMaClB* Re 2 ἰχθὺς *H* 3 ἄλλ' ἄττα scripsi ex *H* cum Iacobsio Add 7 Lect Schul coll t. III 170, 1; IV 252, 8; V 74, 14 ἀλλάττα *MaClVa* sed in hoc τ(1) eras ἄλλαττα *V* ἀλλάττα *B* ἀλλ' ἅττα Re 4 πριῶ *VaB* 5 δὴ *H* | καὶ non ante τὸ sed ante παρ' *ClB* 6 ἐνθάδε *ClB* ἐνθένδε *Va* ἐνταῦθα *Ma* | οὐκέτι *Ma* οὐκ ἔτι *Cl* μηδὲν *VaB* 8 ἢ *B* | θαλάσσης *V* Re 10 αὐτὸν Iacobs Lect Schul at cf. t. V 56, 15 | εἰς scripsi καὶ libri Re κατὰ Sintenis 12 καὶ μία ποιήσῃ *Va* ποιήσαι scripsi ποιήσῃ libri Re 13 ἀκούω — 66, 2 μηδέν ad versus comoediae Atticae ὑμεῖς γὰρ ἁρμόττεσθέ πως πρὸς τοὺς τρόπους | τοὺς τῶν ἐραστῶν· ἅρμοσαι δὴ καὶ σύ γε | πρὸς τὸν τρόπον τὸν ἡμέτερον, ὃς λαμβάνειν | εἴωθεν, οὐ διδόναι τι, καὶ μάλιστα μέν, | ὦ φιλτάτη, δός. οὐ γὰρ ἁρμόσαιό γ' ἂν | ἄμεινον ἄλλως· εἰ δὲ μή, μὴ γοῦν μ' ἀπαί|τει μηδέν revocabat Kockius Com. Att. fr. III 674 15 ἐραστῶν *Va* sed ἐρα in ras m² | δεῖ *B*

τάτῃ, [καὶ] δός, οὐ γὰρ ⟨ἂν⟩ ἄμεινον ἄλλως ἁρμόσαιο, εἰ δὲ μή, μή με ἀπαίτει μηδέν. ἄλλως τε, ἔφην, οὐδ' ἀκερδὴς ὁ ἐμὸς ἔρως σοι γέγονεν, ἀλλὰ μαρτυρίαν ἤνεγκέ σοι τοῦ κάλλους μεγάλην. 43. τοῦτό σε τῶν ἄλλων ἑταιρῶν ἐνδοξοτέραν πεποίηκεν. ἡ γὰρ πόλις ὅλη τοὐμὸν αἰσθομένη πάθος ἐν στόμασιν ἔχει καὶ φοιτᾷ πανταχοῦ λόγος· τίς ἡ τὸν σκληρὸν τουτονὶ κατακηλήσασα; ποῖον οὕτω κάλλος ἄμαχον ὃ τοῦτον κατηγωνίσατο; τίνα ἴσην ἔκρινε τῷ χρυσίῳ; εἶθ' οἱ μὲν ἐρῶντες καὶ πρότερον προσλαμβάνουσι πόθον, οἱ δ' οὔποτε θεασάμενοι μεταθέουσιν ὀψόμενοι καὶ ἰδόντες ἐρῶσι καὶ ἐρῶντες διδόασιν, ὥσθ' ὅσα παρὰ τῶν δι' ἐμὲ προσιόντων λαμβάνεις ἐμὲ διδόναι σοι νόμιζε καὶ προῖκα σύνεσο. 44. ταῦτα ἐμοῦ λέγοντος, ὦ βουλή, καὶ τῶν χειρῶν ἁπτομένου καὶ μονονοὺ δακρύοντος οὐ

---

1 *καὶ* libri Re cancellavi | *ἂν* inserui cum Sinteni om libri Re 2 *ἀπαιτήσῃς Va* 5 *ἐνδοξότατον ἐποίησεν Va* 6 *ὅλη πόλις τοὐμοῦ αἰσθομένη πάθους Va* 7 *ἔχει καὶ φοιτᾷ πανταχοῦ λόγος* scripsi e *Va* cum Sinteni *ἔχειν καὶ φοιτᾶν πανταχοῦ λόγον HVMaClB* sed in hoc *λόγον* in *λόγος* corr, Re *ἔοικε* vel *εἰκὸς* post *λόγον* excidisse coni Iacobs Lect Schul 8 *κατακηλήσασα* scripsi cum Lobeckio ad Soph. Ai. 1179 p. 400 Boissonadio Anecd. II 273; IV 226; Steph. Thes. s. v. Cobeto Misc 155 *κατακλήσασα Va* *κατακλείσασα HVMaClB* Re *κατακλάσασα* Iacobs Add 277 Lect Schul Sintenis 9 *οὕτω* reposui e libris *ὃν τὸ* Re 10 *τῷ χρυσίῳ* scripsi secundum usum Libanii *τοῦ χρυσίου* libri Re cf. Thom. M. s. v. *ὅμοιον* p. 269, 17 R 11 *προσλαμβάνουσι B* sed *σ*(1) inser 12 *πόθον* scripsi e *VaB* *πόθου HVMaCl* Re | *οἵ H* | *θεασάμενοι* scripsi e *B* cum Iacobsio Lect Schul *θεασόμενοι HVMaClVa* Re 14 *ἴσα Cl* | *περὶ Cl* sed in *παρὰ* corr m⁴, *Va* 16 *σύνεσο* scripsi ex *HMaClVaB* cum Iacobsio Lect Schul coll t. V 378, 14 *σύνετο V* Re 17 *μονονοὺ* scripsi e *MaVa* *μόνον οὐ HVClB* Re | *καὶ MaCl* sed in hoc in *οὐ* corr m⁴ *καὶ οὐ B*

μᾶλλον ἤκουεν ἢ λύρας ἀκούσειεν ὄνος, ἀλλ' ᾖδέ τινα ᾠδὴν ἁπτομένην ἐμοῦ, τέλος δὲ ἀφῆκε φωνὴν ἣ με εὐθὺς ἐπὶ τὸ κώνειον ἤγαγε· νῦν μὲν γάρ, ὦ οὗτος, εἶπεν, ἐντετύχηκάς μοι μηδὲν δεδωκώς, ἄλλοτε δὲ οὐδὲ ὄψει ἢ τὸν κόλπον τοῦτον ἐμπλήσας χρυσίου. τοιοῦτος οὑμὸς τρόπος. οὐκ ἂν χαρισαίμην τινὶ μὴ λαβοῦσα.

45. *Μετὰ δὴ ταύτην, ὦ | βουλή, τὴν φωνὴν* R IV 838 *τὴν οὕτως ἀπηνῆ τὴν ἀπὸ Σκυθῶν ὡς ἀληθῶς τί δρᾶσαί με χρῆν ἕτερον ἢ τεθνάναι; οὐ γὰρ δὴ τὰ συνήθη ταῦτα ἐροῦσιν οἱ ῥήτορες, ὡς μικρὸν τὸ πάθος καὶ οὐκ ἄξιον τοῦ κωνείου. ἀλλ' ἴστε δὴ πάντες ὡς καὶ καθ' αὑτὸν ὁ ἔρως οὐκ ἀνεκτόν, ἀλλὰ τοὺς μὲν ξίφει, τοὺς δὲ ἀγχόνῃ, τοὺς δ' ἄλλῳ τῳ διεχρήσατο καὶ αὖ προσδοκία μόνη ζημίας πολλοὺς ἔωσεν εἰς κρημνόν. καὶ ἔγωγε τοῦτο μυριάκις παθεῖν ἐκινδύνευσα.* 46. *εἰ τοίνυν μία τῶν ἐμῶν συμφορῶν ἑτέροις οὐ φορητή, πῶς ἐμὲ ζῆν ἀξιοῦσι ταῖς δύο βαλλόμενον καὶ ὥσπερ ἐν κλύδωνι πρὸς ταύτην ἐξ ἐκείνης ὠθούμενον; νῦν μὲν γὰρ ἐκστήσας ὁ ἔρως μέ τῶν φρενῶν*

---

1 Men. com. IV 225 M (III 151, 527 K) cf. Salzmann, Sprichwörter bei Libanios p. 76 3 Arist. vesp. 1364 6 cf. p. 65,13
9 cf. t. V 469, 5; VI 25, 1. Salzmann l. l. p. 44 20 Eur. Bacch. 850

---

1 *ᾔδεν HVMaCl* Re 3 *τὸ* om *Va* | *ἤγαγεν MaCl* 6 *οὑμὸς HV ὁ ἐμὸς B ἐμὸς MaClVa* 8 *δὲ MaB* 10 *δρᾶσαι HVMaClVa* Re | *ἐχρῆν VaB* 11 *ῥήτορες* scripsi e *Va* coll p. 9, 15; 70, 13 cum Iacobsio App Pors 331 Lect Schul *γείτονες HVMaClB* sed in hoc *ῥήτορες* suprascr m², Re | *πένθος MaCl*
13 *καὶ* om *MaClB* | *ἀνεκτὸς MaClB* 14 *δ'* Re | *τούς Ma* | *δὲ Va* | *κατεχρήσατο Va* 15 *ἔωσεν* scripsi e *Va* *ὦσεν HVMaClB* Re 17 *ἑτέροις* inserui e *VaB* sed in hoc in lac 3 litt m² om *HVMaCl* Re 18 *ἐμὲ*] *ἐ Cl καὶ MaB* 20 *με ὁ ἔρως B*

καὶ ὅλον ἀναρτήσας τῆς ἐρωμένης ἐπὶ τὸ κιβώτιον ἄγει καὶ ἀνοίγειν κελεύει καὶ κενώσαντα φέρειν τῇ πάντα εὐτυχεῖ γυναικί, νῦν δὲ ἀνοίγοντα τρόμος λαμβάνει τοῦ τε ἄλλου σώματος καὶ μάλιστα τῆς χειρός, ἡ δὲ βάλανος οὐχ ὑπείκει μοι πρότερον ἡ φιλτάτη μόνον οὐκ ἀφ' αὑτῆς ἀνοιγομένη, εἴ ποτε ἐμβαλέσθαι χρυσίον ἐδέησεν. ὀψὲ δὲ μόλις ἀνοίξαντος μάχη τοῖν δυοῖν ἐρώτοιν γίνεται καρτερὰ καὶ ὁ μὲν κλείειν, ὁ δ' ἀνοίγειν κελεύει. καὶ τοῦτο πολλάκις ἑκάτερος, ἀεὶ δ' ἐπικρατεῖ καλῶς ποιῶν ὁ τοῦ κιβωτίου καὶ θᾶττον τοῦ αἵματος ἢ χρυσίου μοι μεταδοῦναί τινι συγχωρεῖ. 47. ἐπιρράξας οὖν τὸ πῶμα τῷ κιβωτίῳ καὶ κλείσας ἀσφαλῶς ἀποτρέχω. εἶτ' οὐκ ἔχω τίς γένωμαι, ἀλλ' ἀλύων ἄνω καὶ κάτω περίειμι τὴν ἀγοράν, τὸ ἄστυ πᾶν, τὴν οἰκίαν, καὶ οὔτ' ἐπὶ τῆς κλίνης ἀνέχομαι μένειν οὔτε φέρουσιν ἑστῶτος οἱ πόδες. καὶ καθιζήσας μὲν ἀναπηδῶ πάλιν, ἀναπηδήσας δὲ θέω μέχρι τῶν θυρῶν, εἶθ' ὑποστρέφω πατάξας τὰς θύρας. 48. ὕπνου καιρὸς καὶ πρὶν μύσαι τὰ ὄμματα διεγείρο-

13 Ach. Tat. V 21, 5

2 *ἀνοίγειν Va* sed *οι* ex *ω* corr m[2] 5 *ἡ δὲ* scripsi *ἥτε* libri Re | *ἡ* inser *B*[2] om *MaCl* 6 *αὐτῆς H* 7 *καὶ* post *δὲ B* 8 *καὶ* ante *ὁ* (2) *VaB* | *ὃ H* 9 *ἐκέλευε VaB* | *ἑκατέρας HVClB* sed in hoc *ἐκαρτέρησα* suprascr m[2] *ἐκαρτέρησα Va* *ἑκατέρως* Iacobs Schul 10 *θᾶττον B* sed *μᾶλλον* suprascr m[2] *μᾶλλον Va* 11 *μοι* om *Va* 12 *ἐπιράξας Cl* | *πῶμα* reposui e libris cum Iacobsio App Pors 331 Anth Pal III 649 Schul Sinteni Cobeto Coll 303 *σῶμα* Re | *τὸ B* 13 *ἐπιτρέχω MaCl* 15 *οὔτ'* scripsi e *Va* *οὐκ HVMaClB* Re 16 *ἑστῶτος* scripsi ex *HVMaClB* *ἑστῶτες Va* Re 17 *καθιζήσας B* sed *καθίσας* suprascr m[2] *καθίσας Va* | punctum post *ἀναπηδῶ* Re delevi cum Iacobsio Schul 19 *μύσαι B* sed *ω* supra *αι* *μῦσαι Ma* *μύσω Va*

μαι θορύβου μεστός. ἠγρύπνουν μὲν γὰρ ἀεὶ καὶ τὸν ἄλλον ἅπαντα χρόνον, ἀλλ' ἐπὶ λογισμῶν ἦν στρεφόντων μου τὴν ψυχήν· πόσον ἐνοικίον κατέβαλε τῆς συνοικίας ὁ ναύκληρος; πόσων ἔτι μηνῶν χρεωστεῖ; πόσος ὁ τῶν ἐργαστηρίων μισθός; εἰ συνήχθη μοι τῆς ἐσχατιᾶς ἁπάσης ἡ πρόσοδος; πόσα μοι βαλάντια γέμει, πόσα κιβώτια; ποῦ τὸ χρυσίον; ποῦ | τὸ ἀργύριον; καὶ πῶς ἂν R IV 839 *ταῦτα πλείονα γένοιτο;* 49. *νῦν δέ εἰμι μὲν κἀν τούτοις, οὐδὲ γὰρ θάνατος ἄν με ταύτης ἀφέλοιτο τῆς φροντίδος, πολλάκις δὲ μεταξὺ τούτων ἐπὶ τὴν ἐρωμένην ἀφέλκομαι καὶ στένω πάλιν καὶ κόπτω τὴν κεφαλὴν κἀκ τῆς κλίνης ἀναπηδῶ συνεχῶς καὶ παῖδα καλῶ μηδὲν δεόμενος καὶ προσελθόντα μηδὲν προστάξας ἀπέπεμψα. καὶ νυκτὸς μὲν οὔσης τὴν ἡμέραν ποθῶ, ἐν ἡμέρᾳ δὲ ἡ νὺξ αὖθις αἱρετωτέρα. ἕν, ὡς ἐν τοσούτοις κακοῖς, ἀγαθὸν ἔχω· μισῶ τὴν τροφὴν καὶ ἢ παντελῶς οὐ προσίεμαι ἢ σφόδρα ὀλίγην καὶ*

2 Plat. rep. I p. 330 D

1 *γὰρ* om *Va* 2 *ἅπαντα* reposui e libris *πάντα* Re | *τρεφόντων HVMaClVa* 3 *μου* om *Va* | *ἐνοικίον* reposui e libris *ἐνοικίον* Re | *κατέβαλλε Va* sed *λλε* in ras m[2] 9 *μὲν* inser *B*[2] | *κἀν* scripsi ex *H* *κἂν* reliqui libri Re *καὶ νῦν ἐν* Iacobs App Pors 331 Ach T 763 Lect 10 *γὰρ* om *Va* | *με* om *B* 11 *δὲ* reposui e libris cum Iacobsio Lect Schul *δέ πρὸς με* Re | *ἐπὶ B* *πρὸς Va* *παίω* Iacobs App Pors Ach T | *ἐρωμένην* — 12 *τὴν* inserui e libris om *Mon* Re 16 *ἐν ἡμέρᾳ*] *ἡμέρας Va* | *δὲ* inserui e libris cum Iacobsio Schul Sinteni om (*Mon*) Re | *ἕν* reposui e libris cum Iacobsio Schul *ἦν* Re *ὡς ἓν ἐν* Iacobs Add 21 App Pors 331 Anth Pal III 708 17 *κακοῖς* inser *Va*[2] | *ἀγαθῶν κακὸν Va* sed *λὸν* supra *κὸν* m[2] | *ἔχω* reposui e libris cum Sinteni *ἔχων* Re Iacobs Schul

ταύτην οὐκ ἐγὼ πριάμενος, ἀλλ' ἐλεοῦσά με ἡ γραῦς ἢ ὁ Κέρδων οὐκ οἶδ' ὅθεν λαβόντες προσφέρουσι.

50. Τίς οὖν ὁ τὸν οὕτως ἔχοντα ζῆν ἀξιῶν; ἢ τίνα τρόπον; φρασάτω καὶ ζήσομαι. δόντα, φησί. διαφθείρεις με, ὦ ἄνθρωπε, πρὸ τοῦ κωνείου καὶ οὐδ' ἄχρι τῆς ψήφου τῶν βουλευτῶν βιῶναί μοι συγχωρεῖς. οἷα γάρ, ὦ θεοί, παραινεῖς. ἀποσυλῆσαι μὲν ἐμαυτόν, ἐνθεῖναι δὲ ἑτέραις χερσὶ τἀμά. 51. ἐγὼ δέ σε ᾤμην [καὶ] μάλιστα μὲν καὶ τὴν βουλὴν πεῖσαι ψηφίσασθαι μὴ λαμβάνειν παρ' ἐμοῦ μισθὸν τὴν ἑταίραν ὡς μὴ δυναμένου μου διδόναι, εἰ δὲ μή, παρ' ἐκείνην αὐτὸν ἀφικόμενον, — φοβοῦνται δὲ ὑμᾶς μόνους αἱ ἑταῖραι τοὺς ῥήτορας ὡς καὶ κατηγοροῦντας ῥᾳδίως αὐτῶν καὶ λοιδορουμένους ἐν οἷς συγγράφετε λόγοις — εἰπεῖν πρὸς αὐτὴν ἐπάραντα τὴν φωνήν· τί τοῦτο; πολίτην ἄνθρωπον, ἀστὸν ἐξ ἀμφοῖν, προσ-

2 cf. p. 54, 6 15 Dem. fals. leg. p. 449, 13 16 Xen. comm. III 7, 9

1 οὐκ ἐγὼ om *Va* sed οὐ in marg m² | με om *Ma* 2 ὁ inser *Va*² | ὁ κέρδων in lac 7 litt inser *B* | προσφέρουσιν *B* προφέρουσι *MaCl* 3 καὶ *VaB* 4 τίνι τρόπῳ *Va* | δόντα scripsi e *MaClVaB* sed in hoc in lac 5 litt inser, cum Iacobsio Lect ζῶντα *HV* Re δαπανῶντα Iacobs Schul | lacunam post φησί statuit Sintenis | φησί in lac 4 litt inser *B* 5 με om *MaClVaB* | με post ἄνθρωπε *ClB*, μὴ *Va* sed ε supra ἡ m² | οὐδ' scripsi e *Va* οὐκ *HVMaClB* Re 8 δ' *Va* | ἑτέραις — 9 μὲν inserui e libris om *Mon* Re | χερσὶν *Cl* | τὰ ἐμὰ *Va* 9 καὶ om *Va* cancellavi | num πείσειν? 11 δοῦναι *Va* | αὐτὸν ἀφικόμενον *B* sed ὸν ex ὸς corr m² et ον(2) in ras m² 12 αἱ scripsi cum Iacobsio App Pors 331 Lect Schul Sinteni ἀεὶ libri sed om *Va*, Re ἀεὶ αἱ Iacobs Add 48 13 καὶ om *Ma* | ῥᾳδίως inserui e *VaB* sed in hoc inser m² om *HVMaCl* Re 15 τοῦτον *HVVa* Sintenis τοῦ *MaCl* | signum interrogationis inserui om libri Re 16 καὶ ante προσέχοντα *B*

ἔχοντα ἑαυτῷ, πόνῳ πολλῷ χρυσίον ὀλίγον κτησάμενον καὶ μὴ δυνάμενον τοῦτο ῥιπτεῖν ἐξαγαγεῖν ἑαυτὸν ἠνάγκασας ἐκ τοῦ βίου καὶ πολίτου χρηστοῦ τὴν πόλιν ἀποστερεῖς; 52. *εἰ δὲ καὶ προσέθηκας ὡς ἤκουσεν ἡ βουλὴ τὸ πρᾶγμα καὶ σφόδρα ἀγανακτεῖ καὶ πέμπειν ἐπ' αὐτὴν ἑτοίμη τοὺς Σκύθας, κἂν προσέθηκεν, εὖ οἶδ' ὅτι χρήματα, ἵνα μηκέτ' αὐτὴν ἐνοχλῶ τοῦ λοιποῦ. οὗ γενομένου ἐγὼ μὲν ἂν μακάριος ἦν ἐκ τῶν φιλτάτων χειρῶν χρυσίον δεχόμενος, σοὶ δὲ μισθὸν μὲν οὐκ ἂν ἔδωκα τοῦ χρυσίου, εὐεργέτην δ' ἂν εἰς τὸν ἅπαντα χρόνον ἀνέγραψα. εἰ δὲ τοῦτο μὲν οὐ ποιεῖς, ἐχθρὰ δὲ ἀφίης ῥήματα καὶ τοῖς τῆς ἑταίρας ταὐτά, οὐ δέομαι συμβούλου κενοῦντός μοι τὸ κιβώτιον. ἃ γὰρ ἐμαυτῷ συνεβούλευσα, πολλῷ τῶν σῶν αἱρετώτερα, ἀπελθεῖν ἐκ τοῦ βίου πρίν τινα | ἰδεῖν τῶν ἐμῶν κυριεύοντα.* R IV 840

53. *Ποῦ ποτ' οὖν ὁ δώσων τὸ κώνειον; σὺ μέν, ὦ βέλτιστε, φιάλην ἀργυρᾶν ἢ χρυσῆν πληρώσας, ἵν' ἥδιον πίω, περίμενε· ἐγὼ δέ, ὅπερ εἰώθασιν οἱ πρὸς θάνατον τοιοῦτον ἰόντες, ὃ φίλτατον ἔχουσι, τοῦτο*

2 cf. t. II 255, 14   11 sq. Plat. Gorg. p. 506 C

1 *ἑαυτῶν MaCl* | *κτησάμενον Ma* sed *ν*(2) corr m[2] *κτησάμενος Cl*   3 *ἐκ τοῦ βίου ἠνάγκασας ἑαυτὸν Va* sed *ἑαυτὸν* in *αὐτὸν* corr m[2], *B*   6 *ἀγανακτεῖ* scripsi e *VaB* *ἀγανακτεῖν HVMa* sed in hoc *ν*(2) del et in *τις* corr m[2], *Cl* Re | *αὐτῇ Va* | *ἑτοίμη* reposui e libris *ἑτοίμην* Re   7 *κἂν* scripsi *καὶ* libri Re | *ἂν* post *προσέθηκεν* Iacobs Lect Schul Sintenis 8 *μηκέτι MaClB* | *αὐτοὺς VaB* sed in hoc *ὺς* ex *ὸν* corr | *γενομένου* reposui e libris cum Iacobsio App Pors 331 Lect Schul *πενομένου* Re   9 *μοι* post *φιλτάτων Va* et inser *B*[2] 11 *ἀνέγραψα* scripsi ex *HMaClVaB* *ἔγραψα V* Re   12 *ἀφιεῖς VaB*   13 *τοῖς* om *VaB* | *ταῦτα Cl*   19 *ἥδιον πίω* scripsi ex *HMaClVaB* *ἡδιοπίω V* Re *ἡδίω πίω* Iacobs Add 188 App Pors 331 Lect Schul | *δ' Va*   20 *τοῦτον Va* | *οἱ ὄντες Ma* sed in *ἰόντες* corr m[2], *Cl*

ἀσπάζονται, ἀσπάσομαι οἴκαδε εἰσελθὼν ἅ μοι παίδων ἦν καὶ γυναικὸς προτιμότερα καὶ θρηνήσω πρῶτον μὲν ἐμαυτὸν ὅσων καὶ οἵων ἀγαθῶν αὐτίκα στερήσομαι, ἔπειτα δὲ κἀκεῖνα οἷον κηδεμόνα ἀπώλεσε καὶ ὅτι καθάπερ ὡς ἀληθῶς ὀρφανὰ μικρὸν ὕστερον οἱ τυχόντες αὐτὰ διαρπάσουσιν. 54. *οὐ γὰρ δή τις ὑμῶν οὕτω φιλάνθρωπος, ὦ βουλή, ὡς συγκατορύξαι μοι τὴν οὐσίαν καὶ πρὸ τοῦ χώματος ταύτην ἐπισωρεῦσαι τῷ σώματι. ἐγενόμην ἂν εἷς τῶν θησαυρὸν φυλαττόντων καὶ οὐχ, ὥσπερ ἐκείνων τινὲς πλὴν ἐμοῦ τοῦ κἂν τούτῳ δυστυχοῦς πολλοῖς ἤδη προήκαντο, ἀλλ' ἄβατον ἂν τὸ χωρίον ἀνθρώποις ἐποίησα πόρρωθεν εἴργων μὴ προσιέναι, οἷα καὶ ἄλλα κατὰ τὴν χώραν ἐστὶ τυχόν που κἀκεῖ φιλοχρύσων δαιμόνων ἐπικαθημένων χρυσίῳ, καὶ οὕτως ἂν ἐπλούτουν ἀθάνατα. εἰ δ' ἀληθές ἐστιν ὅ φασιν οἱ σοφοὶ καὶ αὖθίς γε εἰς ἀνθρώπου σῶμα ἐρχόμεθα, ἕτοιμον ἕξω πλοῦτον τὸν ἐμαυτοῦ λαβὼν θησαυρόν.*

---

9 sq. Luc. Tim. § 42 sq. 14 Plaut. Aul. 6 sq. Luc. Tim. § 39—41

ζο
1 *ἀσπάσομαι B ἀσπάζομαι Va* 2 *πρῶτον VaB* 3 *μὲν* om *B* 4 *ἡγεμόνα Va* | *ἀπώλεσα Ma* sed *α* in *αν* corr m², *Cl ἀπώλεσαν B* | *καὶ* inser *B*² om *MaCl* 5 *ὡσαληθῶς B* | voce *ὀρφανὰ* inc *Cr* fol 52ᵛ 6 *δὴ τίς HCl* 7 *συγκατορύξαι B* sed in lac 10 litt *συγκηρύξαι CrHVMaCl* | *μοι* scripsi e *Va B* sed in hoc in lac 3 litt *μου HVMaCl* Re 8 *τὸ χρυσίον Va* et supra *τὴν οὐσίαν B*² | *χύματος CrHVMaCl* | *τοῦτο Va* et supra *ταύτην B*² 9 *θησαυρῶν Cl θησαυροὺς Va* et supra *θησαυρὸν B*² | *ἑαυτῷ μέντοι* post *φυλαττόντων Va* et inser *B*² 10 *τοῦ* inserui e libris cum Iacobsio Schul om Re 11 *δυστυχῆ Cl* 12 *ἔργων Ma* sed *ε* in *ει* corr m², *Cl* 13 *ἄλλοις Ma* | *ἐστὶν HVMaCl* Re 14 *τυχών Va* 15 *χρυσίων MaCl* | *ὡς Ma* 16 *γε* om *Va* 17 *ἕξω* Re 18 *λαβὼν Ma* sed *ω* in *ο* corr m² *λαυὸν Cl*

XXXIII.

Declamatio inscripta *Φιλαργύρου παῖς ἀριστεύσας ᾔτησεν εἰς τὴν δωρεὰν θαλλοῦ στέφανον καὶ ἀποκηρύσσεται*, qua avarus filium quia coronam oleaginam virtutis praemium petiverat abdicat[1]), mirum quantum facundiae Libanianae admiratoribus placuit. Itaque non 'corporis' finibus coercita mansit, sed in complures eclogas transiit et permagnus numerus est codicum quibus ad hanc aetatem pervenit. Sunt autem hi 43.

Incipio a 'corporalibus'.

1. Hierosolymitanus S. Sepulcri 107 (= H) saec. XIV fol. 70. Vide t. V p. 150 sq. Contuli.

2. Vaticanus gr. 940 (= V) saec. XIII/XIV fol. 57ᵛ. Correctus est manibus secunda et tertia quae est recentissima. Vide t. V p. 152 sq. Contuli.

Ex hoc vel fratre eius gemello descripti sunt duo codices:

3. Matritensis N-130 saec. XIV fol. 5ᵛ. Vide t. I p. 428 sq. et

4. Monacensis gr. 96 saec. XVI fol. 1. Collatus est a Reiskia in usum mariti qui eum Bavaricum secundum appellatum nota B insignivit. Vide t. V p. 364 sq.

5. Chisianus R VI 43 (= C) saec. XIII/XIV fol. 10. Correctus atque scholiis ornatus est manu recenti (*f*). Vide t. I p. 10 sq. Contuli.

---

1) Ansam declamationis Aeschinis de corona oleagina locus (Ctes. § 187) Libanio dedisse videtur. In persona vero avari describenda multa cum 'characterismis' tum comoediae Atticae debet. Cf. t. VI p. 494 not. 2. Unde etiam singulares quaedam cum Aristophanis Nubibus similitudines explicantur. Choricium permultis locis declamationis avari filium abdicantis a me edita Mus. Rhen. XLIX 504 sq. eum secutum esse Georgius Pietsch, De Choricio Patrocli declamationis auctore, Vratisl. 1910 (Bresl. Phil. Abhandl. fasc. 42) p. 81 sq. demonstravit. Paucis locis idem evenisse in responsoria filii ibidem p. 483 sq. a me edita Carolus Rother dissertatione de Choricii studiis Libanianis scripta propediem evincet.

6. Laurentianus LVII 21 saec. XIV/XV fol. 41[v]. Vide t. V p. 158 sq.

7. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 335[v]. Vide t. I p. 30 sq. Contulit meum in usum Pius Franchi de Cavaleriis.

Corpus mutilatum reddunt codices:

8. Parisinus gr. 3019 saec. XIV/XV fol. 116. Vide t. IV p. 306 sq. et qui inter se consentiunt

9. Athous Iberon 193 saec. XIV/XV fol. 63[v]. Vide t. II p. 227 et

10. Cremonensis 12228 saec. XV fol. 108[v]. Vide t. II p. 186 sq. et

11. Ambrosianus P 116 sup. (638 in catalogo Martinii et Bassii) saec. XV fol. 174. Vide t. V p. 223.

Transeo ad 'eclogarios'.

12. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 74. Correctus est a librario ipso (*m*) et manu recenti (*y*). Vide t. V p. 168 sq.

13. Laurentianus LIX 30 saec. XV fol. 273[v]. Vide t. I p. 417 sq.

1 ὑγίειαν *La* | γὰρ *La* 2 νῦν *B* 3 ὑγίειαν *La* | οἱ om *Va* 4 τρόπον om *HV* | ἰατρικὴν *La* 7 δὲ scripsi e *VM VaLaB* et γρ in marg Mor δὲ ἤδη *H* δ' ἤδη edd 10 οὗτος ἔφη in marg *Va*[2] | ἔφη non post οὗτος, sed post πάτερ *B* 12 ὡς om *B* | ὑγίειαν *La* 15 διαταραχθεὶς *B* 16 τούτου] τοιούτοις *B* 17 εἶπον ante θεοὶ *B* 18 „*num* ἂν ἄνευ εὐχῶν ἀπωλλύμην *an* ἂν εὐχῆς ἀποτυχὼν *vel* ἂν εὐχῶν οὐ τυχὼν ἀπωλλύμην“ Re ἄμεινον γὰρ ἂν ἄνευ τῶν εὐχῶν ἀπωλλύμην Iacobs Lect 19 ἀνενεγκὼν scripsi ex *HVVaLa* ut e Par 3017 scribendum coni Boissonadius Eunap. II 342 ἐνενεγκὼν *B* ἐνεγκὼν *M* sed ἀν ante ἐ inser et ὑπομείνας suprascr et γρ ἀνενεγκὼν αὐτὸν ἐπανακληθεὶς in marg *y*, edd 20 ἐπ' *Va* | ἑαυτῷ *HV* et e Par 3017 Boissonade l. l. ἐμαυτοῦ Cobet Misc 146

παῖ; πόθεν οἱ μῦθοι; οἱ ἱερεῖς δὲ τίνες; οὐδὲν γὰρ παρ' οὐδενὸς κεκομίσμεθα οὐδ' ἔχει τις καθ' ἡμῶν συμβόλαιον οὐδὲ ἕν. εἰ δ' ἀπονοίᾳ σφαλεὶς ἐπηγγείλω τῷ θεῷ τὸ τάλαντον, οὐδὲν ἐμοὶ τούτου μέτεστιν. οὐδὲν παρὰ τὴν νόσον ηὐξάμην ἐγὼ οὐδ' ὑπεσχόμην τῷ θεῷ οὐδὲ πρὸς τὴν ὑγείαν αὐτὸν παρεκάλεσα, ἀλλ' ἁπλῶς κατ' ἐμαυτὸν ἐκείμην τῷ τῆς ἐνδείας ὑγιάνας τρόπῳ.

28. Ἐγὼ μὲν οὕτω πως ἀποσείεσθαι τοὺς ἱερέας ἐδόκουν διὰ τῶν πρὸς τοῦτον ῥημάτων, οἱ δὲ ἰταμώτερον ἐχώρουν. καί πού τις αὐτῶν ἀνεβόησεν· ἱερόσυλε καὶ μαστιγία, οὐ καταβαλεῖς τὰ τοῦ θεοῦ; οὐκ ἀποδώσεις τὸ τάλαντον; | πλέον, ὦ ἄν- R IV 663
δρες, τῆς ζημίας ἐφοβήθην τὰ ῥήματα καὶ κατέβαλον, ὦ θεοί, ὀδυρόμενος, στένων, πολλάκις τὸ τάλαντον περιπτυσσόμενος, μόλις ἀριθμῶν, ὀκνῶν ἀποδοῦναι. τὸ σκότος μετὰ τὴν καταβολὴν ἑώρων. νὺξ ἦν ἐν ἡμέρᾳ μοι μέσῃ. ὁ γὰρ τοῦ ταλάντου ζόφος ἐνίκα τὸ φῶς τοῦ ἡλίου. 29. εἰ μὲν οὖν ταῦτα παρ' αὐτὴν ἐπυθόμην τὴν νόσον, τάχ' ἂν ἀποκαρτερήσας ᾠχόμην. ἄνθρωπος ὑπ' ἀγρυπνίαις πολλαῖς, φροντίσιν ἀπείροις καὶ πόνοις πλείοσι καὶ μερίμναις καὶ μόχθοις καὶ

---

1 *οἱ* (2) inserui ex *HV* om *MVaLaB* edd 2 *οὐδ'* — 3 *οὐδὲ ἕν* praemissis verbis *συμβόλαιον τὸ συμβιβαστικὸν γράμμα. Λιβάνιος* citat Lopad. lex. Vind. p. 167, 9 ed. Nauck || *οὐδὲ B* edd | *τίς HLa* Lopad 3 *οὐδὲ ἕν* scripsi e *LaB* coll p. 132, 8 *οὐδέν HVMVa* Lopad edd | *ἀπονοίᾳ* scripsi *ὑπονοία HVVa La* *ὑπονοίας M* *ὑπ' ἀπονοίας B* edd sed *γρ ὑπονοίᾳ* in marg Mor *ὑπ' ἀνοίας* Cobet Coll 299 5 *περὶ VaLa* 6 *γρ ἐγὼ τῷ* in marg Mor 7 *τὴν* om *B* 14 *κατέβαλλον Va* sed λ(1) eras 17 *καταβολὴν Va* sed *ταβολὴν* in ras m² 19 *τοῦ* om *La* | *ταῦτα* scripsi ex *HLa* *πάντα VMVaB* edd | *ἐπειθόμην HV* 20 *τάχα HVVaLa* edd | *ἀποκαρτερήσας* scripsi auctoribus Re et Cobeto Misc 158 *καρτερήσας* libri edd

πολλῷ πόνῳ συναγαγὼν τὸ τάλαντον ἀθρόως ἀφῄρημαι ὑπὸ τοῦ θεοῦ, μᾶλλον δὲ τοῦ τὸν ἐμὸν βίον ἐξ εὐχῆς προδεδωκότος. εἶτ' ἐπὶ τούτοις ἀγανακτεῖ ὡς οὐ δεόντως ἐκβάλλεται.

30. *Οὐ γὰρ ἐπὶ κύβους οὐδὲ μέθην ἀνηλωκέναι τί φησιν. οἶδα. οὐ γέγονας περὶ κύβους ἐκμανής, οὐ περὶ μέθην ἠσχόλησαι, οὐ πρὸς ἑταίρας βλέπεις. ἀγαπᾷς τῶν αἰσχρῶν οὐδὲ ἕν. μισεῖς εὐωχίας, οὐ πλησιάζεις κώμοις. εἴθε μοι μηδὲ περὶ τοὺς θεοὺς ἐμεμήνεις. οὐκ ἂν δυστυχὴς ἐγενόμην ὁ δείλαιος, οὐκ ἂν τὴν πενίαν ταύτην ἐστέναξα.* 31. *πόσον δέ σοι καὶ πρὸς εὐωχίαν ἤρκεσεν; ὀλίγον ἀπὸ τοῦ ταλάντου μέρος, τὸ δὲ λοιπὸν ἦν ἡμῖν ἐλεύθερον. οἶδα πολλοὺς περὶ μέθην ὀλίγα ἀνηλωκότας. πολλοῖς ἤδη καὶ κύβος ἤνεγκε κέρδος. πόσοι δὲ δι' εὐωχίαν εὐτυχέστεροι; εἴθε μοι τούτων τις ἐγένου. τάχα ἂν ηὔξητο τὸ διὰ σέ μοι λεληστευμένον τάλαντον. οὐδὲν ἂν τούτων ὠδυρόμην. νυνὶ δέ μοι τὸ πᾶν ἀπόλωλε. καὶ ἐπι-*

---

1 cf. Greg. Cypr. antil. § 58 p. 172, 10 sq. 5 cf. p. 97, 1; t. V 111, 11. Greg. Cypr. antil. § 26 p. 153, 26 sq.; § 35 p. 159, 6 sq. § 65 p. 175, 21 13 Dem. Lacr. p. 930, 4 et 13

---

1 *συναγαγὼν* scripsi auctore Re *συνάγων* libri edd | *ὅπερ* ante *ἀθρόως* *B* | *ἀφῄρημαι* scripsi ex *HV* *ἀφῄρηται* *MVaLaB* edd 5 *οὐ* scripsi ex *HVLa* *οὐδὲ* *MVaB* edd | *οὐδὲ* scripsi ex *HVVaLaB* *οὐδ' ἐπὶ* *M* edd 6 *οὐ* scripsi *οὔτε* *HVM VaLa* edd *ὡς οὔτε* *B* | *γείτονας* *Va* | *κύβους* scripsi *κώμους* libri sed *κύβους* suprascr *B*, edd 7 *οὐ* (1) scripsi ex *HVLa* *οὐδὲ* *MVaB* edd 9 *κώμοις* scripsi e *B* et *γρ* in marg Mor *κύβοις* *HVMLa* edd *καὶ κύβοις* *Va* | *μοι* inserui e *VLaB* et Par 3017 (Boissonad. Pachym. p. 144 not. 6) om *HMVa* edd | *μὴ δὲ* *HVaLaB* 12 *μοι* *Va* 14 *παρὰ* *La* | *οὐκ ἐξ εὐχῆς ἐπιδεδωκότας* post *ἀνηλωκότας* *La* 15 *εὐτυχίαν* *B* 16 *τίς* *HVaLa* | *ηὔξητο* — 17 *ἂν* om *La* | *ηὔξητό μοι διὰ σὲ λεληστευμένον τὸ τάλαντον* *B* 17 *λεληστευμένον* om *Va* | voce *οὐδὲν* rursus inc. *Cr* fol. 72ᵛ 18 *ἀπολώλει* *B*

δοὺς τῷ θεῷ τὸ τάλαντον τοῦτο ἐμὲ μὲν τοῦ βίου, σὲ δὲ τῆς οἰκίας ἀπείργεις.

32. *Μὴ οὖν ὡς οὐδὲν εἰς μέθην ἀνήλωταί σοι, ταῦτα νῦν πρόφερε. οὐδὲ γὰρ περὶ τούτου δικάσειν οὗτοι συνεληλύθασιν, οὐδὲ τοῦτο ἔστιν ὃ ἐγκαλοῦμεν ἡμεῖς, ἀλλ' ἢ δεῖξον ὅτι μοι τὰ κατὰ | τὸν οἶκον* R IV 664 *ἔρρωται ἢ δίκην ὕπεχε. οὐδὲ γὰρ περὶ τούτων αἰτιῶμαι τήμερον. εἴθε κατ' ἐμοῦ μᾶλλον, ὦ παῖ, τὰς χεῖρας ὤρεξας. ἤνεγκα ἂν τὴν παρὰ σοῦ πληγήν. νυνὶ δὲ πάντας ὁμοῦ νενίκηκας τοὺς ὑπὸ τῶν πατέρων κριθέντας πρότερον.* 33. *οὐδεὶς οὕτω πατραλοίας εὕρηται. οὐ γὰρ εἰς τὸ σῶμα τὴν πληγὴν ἐδεξάμην, εἰς αὐτὴν τὴν καρδίαν τὸ βέλος ἔχω. τοὺς μὲν γὰρ ἄλλους ὅσοι τῶν παίδων ἐπάταξαν κατ' ἐκεῖνον τὸν χρόνον ἐλύπουν καθ' ὃν ἐτόλμων, ἐγὼ δὲ τοσαυτάκις βάλλομαι ὁσάκις ἐνθυμηθῶ τὸ τάλαντον.* 34. *εἶτ' ἔτι μνημονεύεις κύβων ἢ μέθης ἢ τρυφῆς οὕτω τὸν πατέρα διαθείς; ἐγὼ μὲν γὰρ ἤδη καὶ τεθνηκέναι δοκῶ, καὶ γὰρ ὑπὸ τῆς ἀνίας οἴχομαι, ὑμεῖς δὲ ταὐτὰ τούτῳ εἰ νῦν ἀποδέξεσθε, βαρύτεροί μοι τῆς ζημίας γενήσεσθε. ὑφ' ὑμῶν γὰρ μᾶλλον ἢ τούτου κείσομαι.*

---

1 *σὲ* scripsi ex *HVVaLa* et *γρ* in marg Mor *σαυτὸν MB* edd 2 *ἀπείργει HVLa* 3 *μὴ οὖν ὡς* in ras *Va*² 4 *οὐ B* 7 *ἔρρωνται B* | *ὑπέχει La* 8 *σήμερον La* 9 *περὶ σοῦ Va* *παροῦσαν La* 10 *τῶν* om *M* 12 *μὴ B* *καὶ Va* | *αὐτὴν* om *La* 13 *γὰρ* inserui e *LaB* om *HVMVa* edd scriptura in *Cr* incerta 16 *εἴτ' V* | *κύβον Va* 17 *ἐγὼ* — 19 *οἴχομαι* ad versus comoediae Atticae *ἐγὼ μὲν ἤδη καὶ τεθνηκέναι δοκῶ* | *ὑπὸ τῆς τ' ἀνίας οἴχομαι* revocabat Kockius Com. Att. fr. III 663 18 *γὰρ* inserui e *CrHVVaLa* om *MB* edd | *γὰρ* inserui e *CrHVLa* om *MVaB* edd 19 *ταῦτα M* sed in *ταὐτὰ* corr *y*, *La* Ferr et *γρ* in marg Mor | *„malim τούτου* hanc huius mei filii orationem" Re | *εἰ* om *La* | *ἀποδέξασθε La* *ὑποδέξασθε Va* sed *σθ* in ras m² 20 *βαρύτερόν* Ferr | *μοι La* sed *ι* ex *υ* corr ras

35. *Ναί, φησίν, ὑπὲρ γὰρ σοῦ τοῦτο πεποίηκα. τῆς γὰρ παρὰ τοῦ θεοῦ σωτηρίας μόνης ἐχρήζομεν. τί οὖν; οὐκ ἦσαν εὐχῆς ἕτεροι τρόποι; οὐκ ἦν λιβανωτὸς ἄφθονος; χαίρουσι καὶ δάφναις οἱ θεοὶ καὶ θαλλοῖς ἐλαίας. πολλάκις ἤδη τινὲς τῶν παλαιῶν καὶ δρυῶν κόμαις ἀπήρχοντο. πολλοὶ καὶ στεφάνοις τὸν θεὸν γεραίρουσιν, ὕμνοις ἕτεροι. τούτων οὐδὲν ἐνενόησας οὐδὲ θαλλοὺς ἐνεθυμήθης καὶ στέμματα.* 36. *μέχρις ἀλεκτρυόνος τὴν εὐχὴν στῆσαι ἔδει. βαρὺ μὲν γὰρ καὶ φορτικὸν καὶ τοῦτο. πλὴν οἶσα ἂν ἀνεκτῶς. εἰ γὰρ μὴ τὸ τάλαντον ὅλον, μέρος δὲ τῆς οὐσίας ἀνέθηκας, οὐκ ἂν ἀπεκήρυξα. σὺ δ' οὐδὲ τὰς γραφὰς ἐνενόησας. μετὰ τὴν νόσον πολλάκις ἄνθρωποι τῆς*

---

1 cf. Greg. Cypr. antil. § 17 et 35 6 Od. *μ* 357 9 Plat. Phaed. p. 118 A

---

1 *ἀντίστασις My* 6 *ἀπήρχοντο*] *ἀπαρχὰς καὶ θυσίας ἐποίουν* suprascr *My* 10 *οἶσα*] *ὑπέμεινα* suprascr *My* *οἴχεται ὁ τοῦ κυρίου μαλακοῦ* (?) *κανὼν ἐνταῦθα φάσκοντος τὰ τοιαῦτα ἀορίστους οὐκ ἔχειν* in marg *Va*² 12 *γραφὰς*] *ἤτοι ζωγραφίας* suprascr *Va*²

---

1 *γὰρ* om *MVa* Ferr | *πεποίηκα* scripsi e *CrHVLaB* *ἐποίησα MVa* edd 2 *περὶ Va* 5 *θαλοῖς Va* | punctum post *ἐλαίας* posui, post *πολλάκις* libri edd | *ἤδη* — 6 *ἀπήρχοντο* praemissis verbis *ἀπήρχοντο ἀντὶ τοῦ ἀπαρχὰς ἐποίουν. Λιβάνιος* citat Andr. Lopad. lex. Vind. p. 5, 3 ed. Nauck 6 *δρυῶν* in *δρῦν* corr *Va* | *καὶ κόμη* Lopad unde *κόμης* effecit Nauck | *καὶ στεφάνοις πολλοὶ La* | *γὰρ* post *πολλοὶ* edd sed om *γρ* in marg Mor delevi 8 colon post *ἐνενόησας HVaLa* Ferr signum interrogationis *VMB* Mor Re scriptura in *Cr* incerta delevi 9 *στῆναι B* Re 10 *ἔφην* post *τοῦτο B* | *οἷς τάγε CrHV* sed in hoc *τ* eras, Par 3017, unde *οἰστά γε* effecit Boissonadius Pachym. p. 79 not 3 *οἰσά γε VaLa* et *γρ* in marg Mor *οἶδα γε B* *ἤνεγκά γ'* vel *ἴσως ἦν ἀνεκτόν* coni Mor Not f VII 4 *ἦσθα ἂν ἀνεκτός* coni Re *τοῦτο ἐπῄνεις ἄν, ἀλλ' ἀνεκτῶς* Iacobs App Pors 328 Lect | *ἂν* om *CrHV VaLaB* et *γρ* in marg Mor | *ἀνεκτὸς V* sed *ὸς* in ras *ἀνεκτῇ La*

εὐποιίας ἀμειβόμενοι τὸν | θεὸν εἰκόνι τὸν Ἀσκλη- R IV 665
πιὸν ὡς εὐεργέτην γράφουσι. πόσην ἂν ἡ γραφὴ βλάβην ἤνεγκε; πόσος δ' ἂν ὁ τοῦ ζωγράφου μισθὸς ἐγένετο; ἑκὼν ἂν ἐπὶ τούτοις κατέβαλον. 37. σὺ δέ μοι παριδὼν ἅπαντα ἐπ' ἐκεῖνο τρέπῃ ὡς, εἰ μὴ διὰ τὸν Ἀσκληπιόν, ᾠχόμην. εἶτ' οὐκ ἦν ἀποθανεῖν ἄμεινον ἢ ζῆν ἐν τούτῳ τῷ σχήματι; μὴ γὰρ εὐηργέτημαί τι; σεσύλημαι. μὴ γὰρ ὑγεία μοι ταῦτα καὶ βίος; αὐτὸς ὡς εἰπεῖν ἐν ὀφθαλμοῖς ὁ θάνατος. νυνὶ δὲ τὴν μὲν ὑγείαν μοι λέγεις, τὴν πενίαν δὲ σιωπᾷς. καὶ τὸ φυγεῖν μὲν τὴν νόσον προφέρεις, τὸ δὲ μεῖζον κρύπτεις δυστύχημα. 38. οὐκ ἀνέχομαι ζῆν ἐλεούμενος, μισῶ τὴν ὑγείαν πενόμενος. τί μοι τὸ μεῖζον ἀφεὶς καταλέγειν δυστύχημα μικρὸν εὐποιίας προφέρεις ὄνομα, μᾶλλον δέ, κινεῖς πρὸς ἀγανάκτησιν; τίς ἰᾶται συλῶν τὸν κάμνοντα; τίς εὖ ποιεῖσθαι βούλεται μείζονα τῆς δωρεᾶς ἀδικούμενος; ἀπόδος ἡμῖν τὸ τάλαντον καὶ τὴν ὑγείαν οὐ μέμφομαι. 39. εἰ δὲ ἐπὶ τούτοις ὁ Ἀσκληπιὸς ἀγανακτεῖ, αὐτό μοι μόνον ἀποδιδοὺς τὸ τάλαντον φερέτω καὶ μετὰ τοῦ πλούτου τὴν νόσον. ἕτοιμος ἀναλαμβάνειν μετὰ τοῦ ταλάντου τὸν κίνδυνον, καὶ πρόσθοιτό τι πλέον, εἰ βούλοιτο, τῇ νόσῳ, μόνον

3 πόσον *V* Ferr Mor 4 ἂν om *B* | κατέβαλλον *HV* sed in hoc λ(2) eras, *La* 6 οὐκ ἦν] ἀκούειν *H* sed α et ου in ras, *V* 7 εὐεργέτημαι *VLaB* Re scriptura in *Cr* incerta 8 ὑγίεια *La* | μοι om *B* 10 μὲν inserui e *CrHVVa* sed in hoc inser m², *LaB* om *M* edd | ὑγίειάν *La* 11 μὲν om *Cr VLa* 13 ὑγίειαν *La* 15 με *La* 16 εὐποιεῖσθαι *CrVaB* | μείζονα scripsi e *CrHVLa* μείζω *MVaB* edd 17 τῷ ante τῆς *Va* 18 ὑγίειαν *La* | δ' *La* 19 ἀποδοὺς *M* 21 κινδύνου τὸ τάλαντον *B* 22 πρόσθοιτό τι scripsi πρόσθοιτο τί *CrHVLa* sed in hoc σ eras πρόσθοιτό μοι *Va* sed οι in ει et μοι in τι corr m² . προσθείτω τί *B* προσθείτω μοι *M* edd

ἡμῖν ἐπανελθέτω τὸ τάλαντον. 40. εἶτ', ὦ κατάρατε καὶ ὑπὲρ τὸ δέον φιλότιμε, ἐγὼ μόνος ἐδυστύχουν ἀφόρητα, ἵνα μοι δυστυχέστερον τῆς νόσου τὴν ὑγείαν ἀντέδωκας; πόσους ἐκ χαλεπωτέρων οἶδα σωθέντας; πόσοι δὲ ἤδη τελευτῆς ἐγγὺς γενόμενοι πάλιν προσωμίλησαν τῷ βίῳ; ἆρα τούτους ἡμῖν πάντας ὁ Ἀσκληπιὸς ἀνέστησε; 41. πόθεν οὖν τῷ πλήθει τῶν ἰατρῶν στενοχωρούμεθα; τί δὲ μάτην οὗτοι κατὰ τὴν πόλιν στρέφονται; πόθεν δὲ πλουτεῖν νομίζουσιν; ἢ πόθεν τὸ κέρδος αὐτοῖς; οὐκ ἀφ' ὧν παραμυθοῦνται τοὺς
R IV 666 κάμνοντας; οὐκοῦν τὰ κατ' αὐτοὺς οἴχεται, εἰ | μόνος ὁ Ἀσκληπιὸς χρήματα λήψεται;

42. Ἀλλ' ἐπὶ μεγάλοις, φησίν, ὁ Ἀσκληπιὸς ἰᾶται καὶ δεῖ μεγάλας τὰς ἐπαγγελίας ἐπ' αὐτῷ ποιεῖσθαι. τοῦτο νῦν πρῶτον ἀκήκοα. ἐγὼ μὲν γὰρ αὐτὸν καὶ παρέχειν ἑτέροις ὑπελάμβανον. οὐκοῦν οὐδὲν ἡμῶν οἱ θεοὶ βελτίους. εἶτα καὶ πόσον ἐχρῆν ἐπαγγείλασθαι; μὴ γὰρ ἀθανασίαν ἡμῖν δεδώρηται; μὴ γὰρ συνῆψέ με φυγόντα τὴν νόσον τοῖς κρείττοσι; πάλιν ἡμῖν ὁ θάνατος ἐλπίζεται. προσδοκῶ καὶ δευτέραν νόσον ἄνθρωπος ὤν. οὐκοῦν πάλιν καὶ ἐφ' ἑτέρῳ δεῖ στένειν ταλάντῳ; 43. εἰ δ' ἐπιλείψει με ταῖς νόσοις τὰ τάλαντα, πόθεν ἡ σωτηρία λοιπόν; ἢ καὶ τὰς ἀπὸ

---

1 ὦ — 4 ἀντέδωκας praemissis verbis ἵνα ἀντὶ τοῦ καὶ διὰ τοῦτο, ὅπερ καὶ μετὰ παρεληλυθότος συντάσσεται. Λιβάνιος citat Andr. Lopad. lex. Vind. p. 105, 8 ed. Nauck 3 ἵνα] καί B | „malim δυστυχεστέραν" Re | ὑγίειαν La 5 δὲ om La 9 τρέφονται La 11 οὐκ οὖν La 12 χρήματα — 13 Ἀσκληπιὸς om La 13 ὁ ἀσκληπιὸς φησὶν B 14 δ cum ras 2 litt B 16 οὐδὲ M 17 εἶτα ⟨τί⟩ καὶ πόσον coni Iacobs Lect 19 μοὶ MVa sed οι in ε corr My Va², et γρ in marg Mor 21 πάλιν καὶ ἐφ' ἑτέρῳ δεῖ scripsi e CrHVLa καὶ ἐφ' ἑτέρῳ πάλιν δεῖ MVa edd καὶ ἐφ' ἑτέρῳ δεῖ πάλιν B

τῶν συγγενῶν ἀναθήσεις οὐσίας; πόσου τὴν ὑγείαν ὑπολαμβάνεις ἀξίαν; ἐγὼ μὲν γὰρ αὐτὴν οὐδὲ δραχμῆς ἂν ἐπριάμην, σὲ δὲ καὶ δευτέραν ἐχρῆν ἐπιθεῖναι καί, εἴγ' ἔτι μεῖζον ἐβούλου μανῆναι, μνᾶν ὅλην. πόσα σοι βούλει ταλάντου πρίωμαι σώματα; 44. *πολέμους ἀναδέχονταί τινες ὑπὲρ ἑτέρων ⟨καὶ⟩ παρατάττονται μόλις, ἵνα δραχμὴν κομίσωνται. τί δὲ οἱ τὴν θάλατταν πλέοντες; οὐ μικροῦ κέρδους ἕνεκεν μεγάλους ἀναμετροῦνται κινδύνους; εἰσὶ δὲ οἳ καὶ τροφῆς ἕνεκα μόνης, ἵνα τὴν ἀπὸ τῆς γαστρὸς ἀνάγκην παραμυθήσωνται, ἐπαφῆκαν αὑτοὺς ἀλλοτρίοις ἐγκλήμασιν. ἀλλὰ τί ταῦτα; μάτην γὰρ νῦν φθέγγομαι πρὸς ἄνδρα οὐδὲν ἕτερον τῶν κατὰ τὸν βίον ἢ τὴν ἀπὸ τῆς φιλοτιμίας μανίαν ἐπιστάμενον.*

45. *Ἀλλ' ἔτι σοι, φησί, περίεστι χρήματα καὶ μετὰ τὸ τάλαντον. εἶτα τί σοι τούτων μέλει; ἢ ποῖος οὗτος ἀπολογίας τρόπος; ἢ δάκνει σε τὸ λειπό-*

---

1 *πόσου* — 3 *ἐπριάμην* ad versus comoediae Atticae *πόσου σὺ τὴν ὑγίειαν ἀξίαν ὑπολαμβάνεις; | ἐγὼ γὰρ αὐτὴν οὐδ' ἂν ἐπριάμην δραχμῆς* revocabat Kockius Com. Att. fr. III 663 | *ὑγίειαν La* 4 *εἴ γ' ἔτι* scripsi e *M* sed in hoc in ras *y* *εἴ γέ τι B* *εἴτ' ἔτι CrHVVaLa* Re *εἴ τέ τι* Ferr Mor | *ἐβούλου Va* sed *γρ ἐβουλόμην* in marg m² *ἐβουλόμην CrHV* sed in hoc *μην* in ras m², *La* | *ἀπώλεσα* post *ὅλην B* | *σοι M* sed *οι* in ras *y* 5 *πριῶμαι La* 6 colon post *τινες* libri edd delevi | *καὶ* inserui om libri edd 7 *οἱ* — 9 *κινδύνους* praemissis verbis *ἀναμετροῦνται ἀντὶ τοῦ ὑφίστανται. Λιβάνιος* citat Andr. Lopad. lex. Vind. p. 5, 6 ed. Nauck 7 *πλέοντες* scripsi auctore Cobeto Coll 299 *τολμῶντες* libri Lopad edd 8 *οὐ* scripsi e Lopad cum Nauckio *εἰ La* *οἱ* reliqui libri edd | *ἕνεκα* (sscr. *εν*) *B* *εἵνεκα Va* Lopad | *μεγάλους* om Lopad 9 signum interrogationis posui cum Nauckio punctum libri edd | *ἕνεκα* scripsi e *CrHVaLa* *ἕνεκεν VMB* edd 10 *καὶ* ante *τὴν V* | *τῆς* om *M* 11 *αὐτοὺς CrHVVa* sed in hoc ‘ ante ’ m², *La* edd 12 *νυνὶ La* 16 *μέλλει Va* sed *λ*(1) eras 17 *καὶ* ante *τὸ M* edd delevi

μενον, ὅτι μὴ καὶ τοῦτο τῷ ταλάντῳ προσέθηκας; μὴ γὰρ ἐφ' ἑνὶ ταλάντῳ μόνον λελύπημαι; μὴ γάρ μοι περὶ τοῦτο μόνον τὴν ζημίαν ἔστησας; ἐγένετ' ἂν ἤδη μοι διπλοῦν τῇ τοῦ τόκου προσθήκῃ καὶ πάλιν μεῖζον
R IV 667 | εἰς ὕστερον. συναύξεσθαι γὰρ τῷ χρόνῳ χρήματα πέφυκεν. 46. ὁρᾷς τῆς ἀδικίας τὸ μέγεθος; μέχρι τελευτῆς ἔχω τὴν βλάβην. ἐγὼ δ' εἰς τοσοῦτον ἤδη προέρχομαι ὡς μηδὲ τῶν θεῶν αὐτῶν ἀπέχεσθαι. εἰ γὰρ αὐτοῖς ὁ πλοῦτος περισπούδαστον καὶ διὰ τοῦτον εὐδαίμονες εἶναί τινες νομίζονται, πόσῳ μᾶλλον ἡμᾶς προσήκει δάκνεσθαι καὶ μισεῖν τοὺς κἂν πρὸς ὀλίγον τι βλάπτοντας; 47. πόσα τεμένη κατὰ τὴν πόλιν ὑπάρχειν οἴεσθε ἢ πόσα τῶν θεῶν ἱερά; πολλά. τί οὖν; ποῦ συντρέχουσιν ἅπαντες ἐν νόσῳ; ποῦ δὲ μᾶλλον παρεῖναι τοὺς θεοὺς ὑπολαμβάνουσιν; ὅπου πλείονα καὶ τὰ ἀναθήματα βλέπουσιν. ἐν μὲν γὰρ τοῖς ἄλλοις οἴκοις ἔνθα μηδέν ἐστιν ἰδεῖν πλούτου σύμβολον οὐδένα τῶν θεῶν χρηματίζειν πειθό-

9 cf. p. 109, 1

18 χρηματίζειν] φαίνεσθαι suprascr *My*

2 μόνῳ *B* et γρ in marg Mor | λελύπημαι — 3 μόνον inserui e *LaB* om *CrHVMVa* edd 3 τούτου *La* | τὴν ζημίαν μόνην (sed η in ο corr m²) ἀνέστησας *Va* 5 εἰς ὕστερον scripsi e *CrHVa* et γρ in marg Mor ἐς ὕστερον *B* εἰσύστερον *VLa* ἐσύστερον *M* edd | συναύξεσθαι reposui e libris συναυξάνεσθαι edd et Kockius Com. Att. fr. III 663 qui haec verba ad versus comoediae Atticae συναυξάνεσθαι τῷ χρόνῳ τὰ χρήματα πέφυκεν revocabat 7 δὲ *La* 8 προέρχομαι scripsi ut coni Re προσέρχομαι libri edd | μὴ δὲ *HVaB* | αὐτὸν *M* sed ὁ in ῶ corr *y* | ἀπέχεσθαι *Va* sed ευ supra ε(1) m² ἀπεύχεσθαι *CrHV* 9 διατοῦτον *B* 11 κἂν in καὶ corr ras *Va* 12 τι βλάπτοντας scripsi e *V* τί βλάπτοντας *H* βλάπτοντας τί *VaB* βλάπτοντας *MLa* edd scriptura in *Cr* incerta 13 τί οὖν inserui e *La* om reliqui libri sed scriptura in *Cr* incerta, edd 14 „*malim* ποῦ δὲ συντρέχουσιν;" Re 17 ἔστιν *Va* sed ἔ in ras m² 18 τὸν θεὸν *CrHV*

μεθα· ἔνθα δὲ πολλὰ τεκμήρια πλούτου καὶ περίεργος ἐσθὴς καὶ φιάλαι καὶ θυμιατήρια καὶ χρυσῷ στίλβων ὄροφος, ἐκεῖ, κἂν ἀπῶσιν οἱ θεοί, ὡς πρὸς παρόντας εὐχόμεθα καὶ φαινομένους καὶ λαλεῖν δοκοῦντας. ἔστι μὲν γὰρ ὁ πλοῦτος καὶ ἄλλως καλόν, πολλὴν δὲ τοῖς κεκτημένοις αὐτὸν εὐδαιμονίαν χαρίζεται. 48. *φέρε γάρ, εἰ ⟨δίκην⟩ ἦσαν δύο πρὸς ἀλλήλους ἔχοντες στρατηγοί τινες ἢ ῥήτορες καὶ ὁ μὲν ἄγαν ἦν πένης, ὁ δὲ πλούσιος, τίς ἀπῆλθε τὸ πλέον ἔχων; τίνι δὲ πλέονες μαρτυρεῖν ἐθέλουσι; ποῦ δὲ οἱ πάντες προστρέχουσι; τίνα δὲ μᾶλλον ἐπαινοῦσι λέγοντα; μετὰ τίνος δὲ τὸ δίκαιον φαίνεται; ὁ μὲν εὐκτήμων νενίκηκε κρίσιν πολλάκις ἄδικον, ἀπῆλθε δὲ μετὰ τῆς δίκης ὁ | πέ-* R IV 668
νης, καὶ κατεγνωσμένος ἂν τύχῃ. τοσούτων τοίνυν ἐκ τοῦ πλούτου γινομένων τοῖς ἀνθρώποις καλῶν ἐγὼ μετὰ τῶν χρημάτων καὶ τὴν παρρησίαν ἀπολώλεκα.

49. *Ἀλλ', ὦ Δήλιε καὶ Παιὰν Ἄπολλον, ἤδη γὰρ καὶ κατὰ σοῦ λέγειν ἄρχομαι, τί φιλοκερδῆ τῷ γένει τὸν Ἀσκληπιὸν ἔφηνας; οὐδὲν τοῦ πατρὸς μεμί-*

---

4 sq. cf. p. 10, 2 sq.; 107, 10 sq.

---

2 *χρυσὸς La* 4 *εὐδοκοῦντας B* 5 *μὲν* om *B* | *ἄλλος Va* 6 *γάρ, εἰ ⟨δίκην⟩ ἦσαν* scripsi *γὰρ εἰ ἦσαν B* *εἰ γὰρ εἴησαν* reliqui libri sed scriptura in *Cr* incerta, edd 7 *εἴησαν δύο πρὸς* Mor sed *γρ εἴησαν πρὸς* in marg | „*post δύο deest δίκην aut ἐχθρῶς aut simile quid*" Re 8 *ἦν ἄγαν La* 9 *πλείονες Va* *πλέον B* 10 *οἱ* om *VaB* 11 *δὲ* om *HV La* scriptura in *Cr* incerta 13 *καὶ* Re | *δίκης* scripsi e *La* et *γρ* in marg Mor ut coni Re *νίκης HV* *καταδίκης MVaB* edd scriptura in *Cr* incerta | *ὁ πένης κατεγνωσμένος, ἂν τύχῃ* (*at iudicum tamen sententia absolutus*) coni Re 15 *γιγνομένων La* 17 *Δήλιε* Mor *δῆμε* libri Ferr et *γρ* in marg Mor | *καὶ* om *B* | *καὶ* ante *Ἄπολλον M* edd sed om *γρ* in marg Mor 18 *τῷ*] „*videtur ἐναντίως vel ἀνομοίως vel tale quid deesse haud consentanee cum moribus patris*" Re *θνητῷ* Iacobs App Pors 328 Lect at cf. Greg. Cypr. p. 157, 16 19 *ἔφηνας* scripsi e *CrHV LaB* et *γρ* in marg Mor *ἀπέφηνας MVa* Mor Re *πέφηνας* Ferr

μηται. σὺ μὲν γὰρ εὔωνον τὴν μαντείαν ἔχεις ὀβολοῦ πολλάκις τὸν χρησμὸν ἀντιδιδοὺς καὶ τὰ ἐκ τῆς μαντείας ἀγαθά, τοῦτον δὲ φιλάνθρωπόν τινες ὀνομάζουσιν, ἴσως οἱ νόσου μὴ πεπειραμένοι.

50. Ἀλλὰ μάτην γάρ, ὡς ἔοικεν, ὀδύρομαι ταῦτα, ἵνα καὶ τὸν παρὰ τῶν ἱερέων ὀφλήσω γέλωτα τούτου με τὰ πάντα λυμηναμένου. ὅθεν ἀφ' ἡμῶν βαδιζέτω. ἀλλότριός ἐστι τοῦ γένους, κατ' οὐδὲν ἐμοὶ παραπλήσιος. οὐδὲν τῶν τοῦ πατρὸς μιμεῖται. ὃν ἀγαπῶ βίον μεμίσηκε. 51. μὴ γὰρ ἐγώ σε νῦν ἀπείργω; ταύτην ἤνεγκεν Ἀσκληπιός σοι τὴν ψῆφον. ἐκεῖνός σε τῶν ἡμετέρων ἐκβέβληκεν. ἐκείνῳ δικάζου, ἐκεῖνον γράφου. μηδὲν καθ' ἡμῶν ἀγανάκτει. ⟨ὑπὸ⟩ σοῦ, ὦ παῖ, πρῶτος ἐκβέβλημαι, πρῶτος ἠδίκημαι. βάδιζε τοιγαροῦν παρὰ τὸν Ἀσκληπιόν, εἰ δοκεῖ. ἐκεῖνός σοι τοῦ λοιποῦ πατήρ. ὃν ἀγαπᾷς, τοῦτον ὅρα. οὐ λείψει σοι παρ' αὐτῷ τρο-

---

1 τὴν om *B* 2 ἀντιδοὺς *LaB* 3 δὲ scripsi auctore Re καὶ libri edd τάχα καὶ τοῦτον Iacobs Lect | εἶναι ante τινὲς *MVa* edd unde εἰκῇ efficiendum censuit Re cui oblocutus est Iacobsius Add 225 | τινες om γρ in marg Mor 4 ἴσως οἱ μὴ νόσου scripsi e *CrHVLaB* οἱ νόσου ἴσως μὴ *MVa* edd
6 περὶ *Va* 7 μὲν *La* μετὰ *B* Ferr | τὰ om *B* τοῦ *HVVa* sed in hoc del m² et τῷ ταλάντῳ in marg m² γρ μέ του in marg Mor | πάντα] τε in ras 3 litt *Va*² „*malim aut* μοι *legi aut* μετὰ τούτου μοι τὰ πάντα λυμηναμένων *ut ad* ἱερέων *redeat*" Re | ὑμῶν Mor 10 μεμίσηκεν *H* | ἐγώ σε νῦν scripsi ex *HVLaB* ἔγωγε νῦν σε *MVa* edd scriptura in *Cr* incerta 11 σοι om *MVaB* Ferr | ἐκεῖνος — 12 δικάζου praemissis verbis δικάζομαι ἀντὶ τοῦ ἐγκλητεύω καὶ κατηγορῶ. Λιβάνιος citat Andr. Lopad. lex. Vind. p. 48, 1 ed. Nauck
12 ἐκβέβληται. ἐκεῖνο δικάζων Lopad 13 ὑπὸ inserui om libri edd | πρῶτοσ *Va* sed σ in ν corr m² 14 τοιγαροῦν scripsi ex *HVLa* et γρ in marg Mor τοίνυν *MVaB* edd scriptura in *Cr* incerta 15 ἐκεῖνος — πατήρ praemissis verbis τοῦ λοιποῦ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς. Λιβάνιος citat Lopad. lex. Vind. p. 174, 3 ed. Nauck | τουλοιποῦ *Va* sed ˜ eras, *B* 16 λείψη *H* | σοι om *H*

φή. | ἀρκέσει σοι πολλῷ χρόνῳ τὸ τάλαντον. εἰ R IV 669 δ' ἄμεινον διοικεῖν ἐπίσταται, ζητείτω καὶ χρήστας τόκου πλείονας, ἵνα καὶ τὸ τάλαντον κατὰ χώραν μένη καὶ ἡ ἀπὸ τοῦ τόκου ἐνυπάρχῃ τροφή.

| αὐτῷ scripsi αὐτοῦ (αὐ^τ Va) libri edd | ποτὸς καὶ ante τροφή *M* edd sed om γρ in marg Mor, καὶ *VaLaB*

1 ἀρκέσει *Va* sed ρκε in ras m² ἀσκήσει *M* sed μεταχειρίσεται suprascr *y*, *LaB* Mor Re scriptura in *Cr* incerta | εἰ δ' — 3 πλείονας praemissis verbis δανειστὴς ὁ ἕνεκεν τόκου παρέχων χρήματα, χρήστης ὁ χωρὶς τόκου, καταχρηστικῶς δὲ καὶ ὁ ἕνεκεν τόκου. Λιβάνιος citat Lopad. lex. Vind. p. 43, 10 ed. Nauck 2 καὶ om *V* | χρήστας τόκου scripsi ex *HVLa* χρήστας τόκων Lopad τόκου χρήστας *MVaB* edd scriptura in *Cr* incerta 4 τροφῇ *La*

Φιλαργύρου παῖς τοῦ πατρὸς αὐτοῦ νοσήσαντος ηὔξατο τάλαντον τῷ Διὶ ἀναθήσειν, εἰ ὑγιῆ ἀπολάβοι τὸν πατέρα, ὁ δὲ ἀνενεγκὼν ἀποκηρύττει τὸν παῖδα· μελετῶμεν δὲ τὸν παῖδα.

p. 4 pr 1. *Εἰκός, ὦ ἄνδρες, τοὺς πλείους τῶν ἔξωθεν ἑστηκότων καὶ οἷς οὐδὲν ὅλως τοῦ παρόντος ἀγῶνος μέτεστι, μάλιστα δὲ πάντων οἷς καὶ παίδων πατράσιν ὑπῆρξε γενέσθαι οὐκ ἀποστῆναι τοῦ μὴ σφοδρῶς ἐγκεῖσθαι ταῖς κατ' ἐμοῦ λοιδορίαις καὶ τὰ δεινότατα προφέρειν ἐμοί, οὐ μόνον ὅτι οὐκ ἔφερον ἡσυχῇ τὴν ἀποκήρυξιν δέξασθαι ἀγαπήσας πᾶν ὅ τι περὶ ἐμοῦ ἔδοξε τῷ γεγεννηκότι, ἀλλ' ὅτι καὶ εἰς δικαστήριον ἀπήντησα καὶ ἐπεκαλεσάμην τοὺς νόμους καὶ ἡρετισάμην εἰς ἀγῶνα λόγων ἐλθεῖν τῷ πατρί.* 2. *καὶ γὰρ οἱ χρηστοὶ πατέρες βούλονται τοῖς σφῶν τέκνοις πρὸς αὐτοὺς ἄδειαν εἶναι οὔμενουν οὐδ' ὅσην πρὸς δεσπότας τοῖς δούλοις, εἴπερ ἐκείνοις μέν, τοῖς ἀργυρωνήτοις λέγω, ὅταν οἱ κύριοι μὴ μέτρια δρῶσιν αὐτούς, ἔστι καὶ δίκην ἐπιβοήσασθαι καὶ καταφυγεῖν πρὸς τὸ*

L = Codex Leidensis Gr. F. 49
V = Vaticanus gr. 933 fol. 342 (II)
pr = editio princeps Milleri cf. p. 115

---

14 sq. Choric. Mus. Rhen. XLIX 488, 31 sq.

---

1 *φιλαργύρου νοσοῦντος ὁ παῖς ηὔξατο τάλαντον δώσειν ἐὰν αὖθις ὑγιῆ ἀπολάβῃ τὸν πατέρα· ὁ δὲ ἀνενεγκὼν ἀποκηρύττει τὸν παῖδα· ὁ δὲ παῖς ἀπολογεῖται· μελετῶμεν τὸν παῖδα V*
16 *αὐτοὺς LVpr* | comma post *εἶναι LVpr* delevi cum Kurtzio | *οὐμενοῦν*? Kurtz cf. Lib. t. V 383, 6

βῆμα καὶ τῆς ἐντεῦθεν φιλανθρωπίας μὴ διαμαρτεῖν, ἐπεὶ μηδ' ἐφεῖται παρὰ τῶν νόμων ἅπασα κατὰ τῶν τοιούτων ἐξουσία τοῖς κεκτημένοις, υἱέσι δὲ πάντα καρτεροῦσι μὴ ἐξεῖναι ὅλως ποιεῖν πλὴν τοῦ στέγειν οὐδέν, οὔκουν οὐδ' ὅσον γρύξαι βιαζομένους. 3. *πλὴν ἐπειδήπερ ἐλαφρόν ἐστι τοὺς ἐκτὸς συμφορῶν τοὺς δυστυχοῦντας καὶ σωφρονίζειν καὶ νουθετεῖν καὶ ἅπερ χρὴ δεῖξαι, καὶ πᾶς τις ἤδη διδάσκαλος ἀρετῆς, ὅσα γ' ἐκ τῶν λόγων, τί καινὸν εἰ δή τινες τῶν ἐμῶν κακῶν μηδὲν αἰσθανόμενοι ἢ καὶ ὅλως ἀγνοοῦντες ὅσον τὸ πάσχειν ἀδίκως εἰς ἔκστασιν τῶν δεόντων, συνίστανται κατ' ἐμοῦ προσθέμενοι τῷ πατρὶ καὶ τὴν ἀποκήρυξιν ἐπισπεύδουσιν; ἀπειρία γὰρ πραγμάτων πολλοὺς πολλάκις σφάλλεσθαι ποιεῖ τοῦ καθήκοντος.* 4. *ὧν γε δὴ χάριν καὶ ὑμεῖς αὐτοὺς μετὰ τῆς σφῶν ἀπειρίας πολλὰ χαίρειν εἰπόντες τὸ νόμιμον ὑμῖν ἀρχῆθεν καὶ σύνηθες τὸν ἀεὶ χρόνον κἀνταῦθα δεικνύναι οἴεσθε δεῖν, ὥστ' ἀκούειν μὲν εὐμενῶς ἑκατέρων τῶν λόγων, φαίνεσθαι δὲ πρὸ τῆς ψήφου χαλεπαίνοντας εἴτε χαριζομένους τῶν ἀγωνιζομένων μηδέποτε μηδενί.* 5. *εἰ δὲ καὶ νῦν πρώτως παῖς παρ' ὑμῖν ἀγωνίζεται πρὸς πατέρα καὶ οὔποτε τῶν ἄνωθεν ἡμερῶν, μὴ θαυμάσητε μηδαμῶς. καινοτομεῖ γὰρ ὁ χρόνος ἀεὶ καὶ νῦν μὲν δείκνυσι ταῦτα, νῦν δὲ ταῦτα, καὶ μετ' ὀλίγον ἕτερα, καὶ μετ' ἐκεῖν' ἄλλα, καὶ οὕτω διὰ παντὸς κρύπτων μὲν ἀεὶ τὰ φανέντα, ἄγων δ' εἰς μέσον ἀντὶ τῶν ἀπιόντων ἕτερα. οὐκοῦν οὐ πόρρω τῆς*

---

5 *στέγειν οὐδέν* scripsi e *V* *στέγειν. οὐδὲν L* *στέγειν; οὐδὲν pr* *στέγειν, οὐδὲν* Kurtz cf. p. 146, 11 8 *ἅπερ χρὴ δεῖξαι* scripsi auctore Kurtzio *ἀπόχρη δόξαι LVpr* 11 *ἔκτασιν pr* 14 *πολλοὺς* scripsi *πολλὰ LVpr* 19 *φαίνεσθε L* sed *ε* in *αι* corr m² 25 *μετολίγον LV* 26 *διαπαντὸς· V* | *ἐς Lpr*

τοῦ χρόνου φύσεως τοῦτο. 6. καὶ χρή γε ὑμᾶς μὴ περὶ τούτου, εἴτε πρόσφατον εἴτε καὶ πάλαι ἠργμένον τὸ πρᾶγμα, σκοπεῖν, τί γὰρ τῷ τοῦ δικαίου λόγῳ τοῦτό γε διαφέρει; ἀλλ' ἀκριβῶς διασκεψαμένους, ἐπὰν κἀμοῦ λέγοντος ἀκροάσησθε, πότερα δίκαιά γε καρτερῶ ταῦτα ἢ μὴ δίκαια ἐλαυνόμενος τῶν πατρῴων, διδάσκειν ἐμέ· τοῦτο γάρ, εἴπερ ἄλλο τι, προσῆκον ὑμῖν τοῖς δικάζουσι. 7. χωρὶς δὲ τούτου οὐ δυσμεναίνων ἐγὼ τῷ πατρὶ καὶ ἀντεπεξιέναι σκοπούμενος ἀντιλέγειν ἐπιχειρῶ, ἀλλ' ὥσπερ ἐκεῖνος δικαίαν ἐθέλων εἶναι τὴν ἀποκήρυξιν ὑμῖν τοῦ πράγματος ἐχρήσατο δικασταῖς εἰς μέσους τὰς αἰτίας προθεὶς καὶ τῷ λόγῳ ἐπάρας εἰς δύναμιν, οὕτω δεῖν οἶμαι κἀμὲ ποιῆσαι, στῆναι κατὰ τῶν ἐγκλημάτων καὶ ἀποσκευάσασθαι πειραθῆναι, κἄν τι λέγειν δόξω, τῶν δικαίων ἐννόμως τυχεῖν, ἂν δὲ κρατήσῃ τὰ τοῦ πατρός, στέρξαι τε τὴν
p. 5 pr καταδίκην καὶ ἀπιέναι κατῃσχυμμένον, | κατεγνωκότα καὶ αὐτὸν ἐμαυτοῦ. 8. ὅτι δὲ καὶ ἄκων εἶναι εἰς τοὺς παρόντας λόγους κατέστην ἐγώ, οὐδεὶς ἀντερεῖ. τὸ γὰρ ἠδικῆσθαι δόξαι ὡς οὐδεὶς οὐδέπω τῶν ἄλλων καὶ εὐεργέτου μὲν ἔργα ἔχειν δεικνύναι, ἀντὶ δὲ τούτων ἀκούειν ἅμα καὶ πάσχειν τὰ τῶν ἐπιβούλων καὶ λυμεώνων βίᾳ συνωθεῖ πρὸς τὸ βῆμα καὶ πείθει ἀποσκευασάμενον τὴν αἰδῶ ἣν εἶχον ἐκ νέου πρὸς τὸν πατέρα ὁμόσε τοῖς λόγοις ἰέναι. ταύτῃ τοι, κἄν τι λελέξεται δόξαν ἔχον κατὰ τοῦ γεγεννηκότος εἰρῆσθαι, συγγνώμην αἰτῶ καὶ πρὸς τοῦ πατρὸς καὶ πρὸς ὑμῶν καὶ πρὸς τῶν ἄλλων ἁπάντων, ὡς οὔτι ἑκόντος ἐμοῦ

25 Eur. Or. 921. Plat. rep. X p. 610 C

4 διαφέρει scripsi διαφέροι *LVpr* 8 δικάζουσιν *pr*
17 κατῃσχυμένον *L*

τοιοῦτον ῥηθήσεται, τῆς δὲ συνεχείας τῶν λόγων τάχα καὶ μέχρι τοιούτου παρασῦραι μελλούσης. 9. πλὴν ἐπειδὴ κἀμοὶ λέγειν ἐφεῖται καὶ καιρὸς ἤδη τοῦ ἀγῶνος γενέσθαι, εὐξαίμην ἂν ἡδέως πρὸς ἄλλον τινά, μὴ πρὸς τοῦτον, εἶναί μοι τὴν διαφοράν, ἧ γὰρ ἂν ἦν χρήσασθαι τοῖς ἐμαυτοῦ ἀδεῶς, νυνὶ δ' ἀνάγκη τῆς δυνάμεως ἑκόντα καθυφιέναι καὶ φείδεσθαι τῶν λόγων, ὧν εἰρημένων, ὡς ἐμαυτὸν πείθω, ῥᾳδίως ἂν ὑπῆρξε κρατῆσαι καὶ οὐ τὸ πλεῖστον τῶν ψήφων, τὰς πάσας δὲ ῥᾳδίως ἀπολαβεῖν. συμβήσεται δ' ἔμοιγε τοῦτον ἐνδιδόναι τὸν τρόπον καὶ τῆς ἰσχύος ὑποχαλᾶν, ἐπειδήπερ νίκην ἣν ἄν τις φέροι κατὰ πατρὸς ἥττης ἁπάσης χαλεπωτέραν ἔγωγε τίθεμαι καὶ ἀνεκτότερον ἡττώμενον μετ' αἰσχύνης ἀπιέναι τῶν ὧδε ἢ δικαιότερον πεφηνότα τοῖς λόγοις τοῦ τεκόντος ὑπερτερῆσαι. 10. καὶ ὥσπερ, εἴ τις καθ' ἑαυτοῦ ἔκ τινος ἀνάγκης ἐποιεῖτο τοὺς λόγους, εἰκὸς ἦν τὰ μείζω παρατρέχειν καὶ τῶν ἐπικαίρων φείδεσθαι, οὕτω κἀγὼ λέγειν μὲν προάγομαι, ἀμελεῖν δ' ὅμως ἐξεπίτηδες ἀναγκάζομαι τοῦ συμφέροντος ἐμαυτῷ, ἐπεὶ πατὴρ μὲν οὗτος, κἂν μυριάκις τῆς οἰκίας ἐλαύνῃ, κἂν διώκῃ πέρα Γαδείρων, υἱὸς δ' ἐγώ, καὶ ὁ δεσμὸς τῆς φύσεως κρατεῖ παρ' ἡμῖν ἔτι, καὶ ἀλλήλων ἐχόμεθα καὶ συνδούμεθα καὶ ἀλλήλων ἐσμέν, καὶ οὐκ ἔσθ' ὅπως θατέρου παθόντος μὴ καὶ πρὸς θάτερον διαβαίνει τὸ ἄλγος, ὡς ἔστι κἀπὶ τοῦ ἑνὸς καὶ ταὐτοῦ σώματος συμβαῖνον ὁρᾶν· κἀκεῖσε γὰρ ἓν ὁποιονοῦν εἰ πάσχον ἐστί, συμ-

27 Paul. ep. ad Corinth. I 12, 26

2 παρασύραι *LV* 5 ἢ *V* 10 δὲ scripsi e *LV* δὴ *pr*
14 ἡττώμενον scripsi ἡττωμένῳ *LVpr* ἡττωμένου Kurtz | ὧδε *V*
15 τοῖς λόγοις scripsi e *LV* τοὺς λόγους *pr* 19 ὁμῶς *Lpr*
25 διαβαίνει scripsi διαβῆναι *LVpr*

πάσχει καὶ τὰ λοιπὰ εἰς ἅπαντα τοῦ λυποῦντος διαδιδομένου τῇ συνεχείᾳ. πλήν, ὅπερ ἔφην, ἐπειδὴ χρεὼν ἅπαντα τρόπον εἰς τοὺς λόγους ἐμαυτὸν καθιέναι, ὡς οὐκ ὂν ἄλλως ὅτι μὴ δι' ἀγῶνος ἀποδυσάμενον τὰς κατηγορίας ἵλεω τυχεῖν τοῦ πατρός, ἐγὼ μὲν ἤδη λέγειν ἀπάρχομαι, ὑμέτερον δ' ἂν εἴη κἀνταῦθα προσέχειν τὸν νοῦν.

11. *Ὡς μὲν οὖν ἄνωθεν ἡμῖν ἔσχε τὰ πράγματα, κἀγὼ δὲ πειθήνιον ἐκ παιδὸς ἔτι παρέσχον ἐμαυτὸν τῷ πατρὶ πάντα μὲν μεθαρμοζόμενος πρὸς αὐτόν, ἐναντιούμενος δὲ οὔκουν οὐδ' ὅσον αὐτὸς ἑαυτῷ, ἀφ' ὧν καὶ εἴπερ τις ἕτερος τῷ ἰδίῳ πατρὶ φίλος παῖς ἐγὼ τῷ ἐμαυτοῦ ἐκεκλήμην καὶ γέγονα μεγάλης μὲν τῆς κηδεμονίας ἀπολαύων ἀεὶ καὶ κρείττονος ἢ ἐρεῖν τινα δύνασθαι, μειζόνων δὲ καὶ τῶν εὐχῶν, ἃς ὑπὲρ ἐμοῦ μᾶλλον ἢ τῆς ἰδίας ηὔχετο κεφαλῆς ὁ πατὴρ εἰς ἱερὰ καθημέραν βαδίζων, οὐδὲν δέω λέγειν, ἑνὸς μὲν δὴ χάριν, τοῦ μὴ προϊόντα τὸν λόγον εἰς μῆκος ὑμᾶς ἀποκναισθῆναι ποιῆσαι τῷ πλήθει, ἑτέρου δ', ὅτι καὶ ὁ πατήρ, ὅταν ἔρρει τὸ κατ' αὐτὸν ὕδωρ, φθάσας εἴρηκεν ἱκανῶς, εὖ γε ποιῶν καὶ ἀξίως αὑτοῦ μὴ τῆς πρὸς ἐμὲ χάριν διαφορᾶς τῇ ἀληθείᾳ λελυμασμένος.*

12. *καὶ ὑμεῖς δὲ ἀκηκοότες ἐστὲ καὶ φήσετ' ἂν εἰδέναι καλῶς, ὥστε καὶ περιττὸν ἂν εἴη δεύτερον αὖθις περὶ τῶν αὐτῶν ἐν εἰδόσι πειρᾶσθαι διδάσκειν· ἃ δὲ τέως ἐστίν, ὧν ἕνεκεν τὸ πᾶν ἡμῖν ἀνετράπη, καὶ ὁ μὲν πατὴρ οὐ πατήρ, ἀλλά τις δυσμενὴς καὶ τῶν ἑαυτοῦ*
p. 6 pr *ἐπιλελησμένος, | ὁ δὲ υἱὸς ἐγὼ οὐχ υἱὸς οὐδ' ὡς τὸ πρόσθεν φιλούμενος, ἀποτρόπαιος δὲ μᾶλλον καὶ*

17 *καθ' ἡμέραν pr* 19 *ποιῆσαι* scripsi *πεῖσαι LVpr* 21 *αὐτοῦ LVpr* 22 *διαφορῶς L* 29 *τοπρόσθεν L*

μισητὸς καὶ μετὰ τῶν ἐχθρῶν ἀριθμούμενος καὶ διὰ τοῦτο ἐξωθοῦμαι μὲν τῆς οἰκίας, εἰς κόρακας δὲ μυριάκις τῆς αὐτῆς ὥρας βάλλομαι, διὰ βραχέων, ὡς ἔνεστιν, ἐπειδὴ μηδὲ ταῦτα παντελῶς ἀγνῶτές ἐστε, ἐρῶ πρὸς ὑμᾶς.

13. *Νοσῆσαι μὲν δὴ κατὰ νόμον τῆς ἀνθρώπων φύσεως καὶ τόνδε συνηνέχθη πολλάκις, τὸν ἐμὸν λέγω πατέρα. πλὴν τὰς πολλὰς ἐκείνας εἰ καὶ χαλεπῶς διετίθετο κατὰ μίαν νοσῶν, ἀλλ' οὐ τοσοῦτον ὥστε καὶ κίνδυνον ἐντεῦθεν ὑποπτευθῆναι συμβῆναι, ἀλλ' ἦν ἐλπίζειν ἔτι καὶ σωτηρίας τυγχάνειν καὶ ἀνακτηθῆναι δύνασθαι, καὶ ἐτύγχανέ γε ταύτης καὶ ἀνεκτᾶτο μεθύστερον· ἐν δὲ τοῖς τελευταίοις τούτοις τοσοῦτον ὑπερέβαλε τὸ δεινὸν καὶ πάσης ὑψηλότερον βοηθείας ἐδόκει ὡς μηδ' ἐν ὀνείροις ἐλπίσαι χρηστότερα, μήτοι γε καθ' ὕπαρ εἰπεῖν. ταύτῃ τοι καὶ ἔλεγον μὲν ἰατροί, ἔλεγον δὲ καὶ πάντες ἄλλοι ἕκαστος φιλοσοφοῦντες περὶ τῶν παρόντων ὡς ἔτυχεν, ὅπερ συμβαίνειν ἐν τοῖς τοιούτοις φιλεῖ, πλὴν καὶ οὗτοι κἀκεῖνοι τὰ χείρω περὶ αὐτοῦ.* 14. *τούτων δ' οὕτως ἐχόντων καὶ λεγομένων ὡς διεκείμην αὐτός, τίς ἂν ἀρκέσει διὰ τέλους εἰπεῖν; νύκτας μὲν γὰρ δὴ τὰς πάσας, ἵν' ἐντεῦθεν ἄρξωμαι, ἐφ' ὅσον ἡ νόσος κατεῖχεν, οὐκ ἐπέτρεπον μὲν τοῖς οἰκέταις ἔχειν περὶ τὸν κάμνοντα καὶ πονεῖν διεγρηγορότας αὐτοὺς καὶ πᾶσαν ἀποπληροῦντας φροντίδα, ἐγὼ δ' ἐμαυτῷ προσέχειν ἠξίουν ὕπνου τε μεταλαγχάνειν καὶ τὴν ἄλλην αἱρεῖσθαι τοῦ σώματος χρείαν ἀποπιμπλάναι, ὅπερ ἴσως τοῖς πλείοσιν ἀνθρώπων οὐδὲ πόρρω συγγνώμης ἔδοξεν ἂν εἶναι τὸ στερρὸν*

---

2 *διατοῦτο* *LV* 3 *διαβραχέων* *V* 12 *δὲ* scripsi cum Kurtzio *δὴ* *LVpr* 15 *καθύπαρ* *LV* 16 *ἕκαστοι* Kurtz 20 *ἀρκέσει* scripsi *ἀρκέσῃ* *LVpr* | *διατέλους* *LV* 22 *ἐφόσον* *L*

τῆς ἀνάγκης γινώσκουσιν, ἀλλὰ καὶ μικροῖς καὶ μείζοσιν ἠρεμεῖν καὶ ἡσυχάζειν διδοὺς ἄγρυπνος διόλου ὥς τις τῶν ἔξω σώματος παρεκαθήμην αὐτὸς ἕτοιμος ὢν ὑπηρετήσειν εἰς ὅ τι βούλοιτο. οὐ γὰρ ᾤμην ἕτερον ἀντ' ἐμοῦ τῷ πατρὶ γνησιώτερον θεραπευτὴν χρηματίσαι. καὶ νύκτας μὲν οὕτως, τὸν δ' ἄλλον καιρὸν τῆς ἡμέρας τίνα ποτ' ἐμαυτὸν παρεῖχον; 15. ἀλλ' εἰ μὲν μὴ πρὸς ὕδωρ ἔλεγον μηδ' ἦν τῷδε τῷ ῥεύματι τοὺς λόγους παραμετρεῖν, εἴρητο ἂν ἱκανῶς, νυνὶ δ' οὐ ῥᾴδιον ἐν οὕτω βραχεῖ χρόνῳ τὸ πᾶν παραστῆσαι. πλὴν ἔθεον ἄνω καὶ κάτω ἐπικουρίαν ἀπανταχόθεν ζητῶν. ἐπεκαλούμην πάντας ἀνθρώπους ὀ ρ έ ξ α τ ε χ ε ῖ ρ α, λέγων, ὀ ρ έ ξ α τ ε. ἰατροὺς δ' ἐφιλοκρίνουν καὶ τοὺς μὲν εἰσῆγον, τοὺς δ' ἀπεπεμπόμην ἀποδοκιμασθέντας εἶναι μηδὲν ἐπαρκεῖν ἱκανούς. στεναγμοὺς δ' ἐκείνους καὶ οἰμωγὰς ἃς ᾤμωζον συχνάς τε ἀναβοήσεις καὶ δάκρυα ὅσ' ἔλειβον ἐλεεινὸς τοῖς πᾶσιν ὁρώμενος ἄλλοι λεγόντων. πολλοὶ δ' εἰσὶν οἳ τότε μὲν τεθεαμένοι, νυνὶ δὲ καὶ μαρτυρεῖν ἕτοιμοι, εἴ τις ἔροιτο, ὡς οὕτω κάμνοντος τοῦ πατρὸς μᾶλλον πονηρῶς διεκείμην αὐτός. ὃ δ' οὖν ἔγωγε πρὸς θαύματος ἔχω καί μοι λογιζομένῳ ἔκπληξις ἀτεχνῶς, ὅπως οὐκ ἐτεθνήκειν ἐγὼ παραχρῆμα τῆς φύσεως ἀπαγορευσάσης πρὸς τὴν ὑπερβολήν. καὶ γὰρ οὐχ ὕπνου μόνον, ὡς ἔφθην εἰπών, ἀλλὰ καὶ σιτίων πάντων καὶ πομάτων ἀπεκεκλείσμην· καὶ ἣν ἄν τις εἴποι θεραπείαν τοῦ σώματος ἀπεσκευασάμην ὡς πορρωτάτω πρὸς μὲν τἄλλα ἄμεινον οὐδὲν νεκροῦ διακείμενος, πρὸς δὲ τὸ πάθος τὸ τοῦ πατρὸς καὶ σφόδρα εὐαίσθητος ὤν. 16. ταῦτα δέ

2 *διόλον pr* 8 *ῥώματι pr* 16 *γε* Kurtz | *ἀναβοήσας L pr* 17 *ἔλαβον pr* 20 *πονήρως LV* 27 *τἄλλα V*

μοι κατὰ τοῦτο ἐγίνετο τοῦδε τοῦ κινδύνου λύσιν ἐκ τῶν ἐφ' ἡμῖν ὄντων εὑρεῖν οἰομένῳ. ἀλλὰ μάταιον ἦν ἄρα οἴεσθαι, μάταιον δὲ καὶ τέχνη πᾶσα ἥντινα δήποτε μετιόντες ἦμεν. καὶ πόνος ἐκεῖνος, ὃν οὐκ ἀπηξιοῦμεν ἔχειν ἡμέρας καὶ νύκτας, πόνος ἀνήνυτος ἦν, τὸ δὲ κακὸν ἐπὶ μεῖζον ἐχώρει καὶ ἐκραταιοῦτο τῷ χρόνῳ, καὶ ὁδὸς ἦν ἐπὶ τὸ χεῖρον ἀεί, ἔστ' ἂν ἀπιδὼν πρὸς ἕτερ' αὐτὸς τὴν ἀληθινὴν ἐπορισάμην βοήθειαν. 17. γνοὺς | γὰρ ἤδη σαφῶς κρεῖττον εἶναι ἢ κατ' ἀνθρω- p. 7 pr πίνην ἰσχὺν ἴασθαί μου τὸν πατέρα, κἂν μή τις θεῶν ἀντιλαβόμενος ᾖ χεῖρα προτείνας, οἰχήσεταί μοι ἐξ ἀνθρώπων αὐτίκα, καὶ τῶν μὲν δεόντως ὀλιγωρήσας ὡς ἀσθενῶν ἐπαρκέσαι τῇ χρείᾳ, τὰς ἐλπίδας δὲ πάσας τρέψας ἐπὶ τὸ θεῖον πάλαι καὶ νῦν εὖ εἰδὼς ὡς βουλομένου γε δρᾶν πάνθ' ὑπόκειται ῥᾴδια, τί ποιῶ; ἱκέτης τε θερμὸς γίνομαι τούτου καὶ διὰ τῶν πρὸς τόδε δεήσεων βοηθῶ τῷ πατρί. 18. ἔνθα πρῶτα μὲν τοῖς τε ἄλλοις, ἵνα βραχέως τῷ λόγῳ χρήσωμαι, καὶ δάκρυσιν ἐξευμένιζον καὶ στεναγμοῖς καὶ χειρῶν ἀνατάσεσιν, ἐπὶ τέλους δὲ καὶ εὐχὴν εὐξάμην, μεγάλης εὐγνωμοσύνης πάνυ τοι μέγα τεκμήριον. ἡ δὲ ⟨ἦν⟩ ἦ μὴν τάλαντον ἀφιερώσειν εὐθὺς τῆς εὐχῆς τυχόντα καὶ τοῦ μεγάλου τοῦδε κινδύνου ἀνενεγκόντος τοὐμοῦ πατρός. κἀγὼ μὲν οὕτως εὐξάμην καὶ οὕτω πεπλήρωκα οὐχ ὅπως μοι μέμψεται τῆς εὐχῆς ὁ πατὴρ ὑγιάνας εἰς νοῦν εἰληφώς, ἀλλὰ καὶ ἀγαπᾶν μειζόνως προσθήσει ταυτηνὶ τὴν πεῖραν τελεωτέρας ἀγάπης πρόφασιν

---

1 ἐγένετο *V* 11 ᾖ scripsi cum Kurtzio ἡ *V* ἢ *Lpr* 17 πρῶτον *V* cf. p. 154, 24 20 ἐπιτέλους *L* 21 οὐ ante πάνυ *V* | τεκμήριον ἥδε *pr* | ἦν inserui 23 τοῦ ἐμοῦ *pr* 25 μέμψεται scripsi cum Kurtzio μέμψηται *LVpr*

ἐσχηκώς, καθ' ἣν ἐγὼ τοὐμὸν περὶ αὐτὸν ὅσον τε καὶ οἷον ἦν λαμπρῶς ἐφανέρωσα. τὸ δὲ ἦν ἄρα πᾶν τοὐναντίον. 19. καὶ γὰρ ἐπειδήπερ ἐγὼ μὲν ἀνεθέμην τὸ τάλαντον, ὁ δὲ θεὸς οὐ τοῦ ταλάντου, τῆς δ' εὐγνωμοσύνης ἀγαπήσας ὀξύτατ' ἀντελάβετο, ἥ τε βοήθεια προφανὴς ἦν καὶ ὁ πατὴρ πρῶτον μὲν ῥᾷον ἔσχε, μετὰ ταῦτα δὲ ἄμεινον καὶ τὴν ἑξῆς ἔτι μᾶλλον καλῶς, καὶ οὐ μετὰ πολλὰς ὕστερον ὑγιὴς ὅλος καὶ λαμπρὸς λαμπρῶς τῆς κλίνης ἀνέθορεν, ἡμεῖς δ' ἐν εὐθυμίαις οὔκουν οὐδὲ λεχθῆναι δυναταῖς οὕτω παρ' ἐλπίδα σῶον ἐκεῖνον ἀπολαβόντες, πρὸ παντὸς ἔργου καὶ φροντίδος ἑτέρας ἢ τῶν κατ' οἴκους ἢ τῶν ἐκτὸς ἄγε, φησίν, ὦ καλὲ παῖ, λογιζώμεθα τἀργύριον ὅσον ἡμῖν δεδαπάνηται νοσοῦντος ἐμοῦ. ἐπ' ἐμοὶ δὲ πάντως οὐκ ἂν πολλῶν τινων ὡς ἀναλώσας ἔχοις μνησθῆναι ἐν ἐσχάτοις τε ὄντι καὶ μηδεμίαν ἐξ ἴσου τοῖς ἀψύχοις προσιεμένῳ τροφήν. 20. καὶ ὁ μὲν οὕτως, ἐγὼ δ' ἐθαύμαζον καὶ ἐξεπληττόμην, τί ποθ' ὁ λογισμὸς οὗτος βούλοιτο, καὶ ὡς πρὸ ἔργου παντὸς ἑτέρου τοῦτον ζητῶν ἐστιν ὁ πατήρ. ἀλλ' ἐνταῦθα ἔξεστι καὶ τὸν τρόπον τἀνδρὸς αἰτιάσασθαι ἔχοντος περὶ ἀριθμοὺς καὶ τὰ τοιαῦτα τὸν σύμπαντα χρόνον, ἔξεστι δὲ καί τινα δαίμονα, ὅστις μοι βασκήνας τῆς τύχης τοὺς λογισμοὺς τούτους ἐνέβαλε τῷ πατρί. πλὴν τί ἐχρῆν ἕτερον ἐλογιζόμεθα. καὶ μέχρι μέντοι οὐδὲν ἐμεμνήμην περὶ τοῦ ταλάντου, ἠρέμα τε ἤκουε καὶ πράως ἠρίθμει εἰς ἕνα τινὰ ἀριθμὸν ἀναβι-

6 μεταταῦτα *LV* 8 ὅλως? 10 παρέλπίδα *V* | σῶν in marg *L* 13 τἀργύριον scripsi e *V* ἀργύριον *Lpr* 15 ἔχοις scripsi cum Kurtzio ἔχεις *LVpr* 16 ἐξίσου *LV* 19 πρὸ ἔργου scripsi coll l. 11 προὔργου *LVpr* 23 δαίμονα *V* sed όνων suprascr | βασκῆνας *L* 27 πραὺς *pr*

βάζων τὰ πάντα καὶ κεφαλαιούμενος· ἐπὰν δὲ καὶ τὸ τάλαντον εἰς μέσον ἦλθε καὶ ἠξίουν καὶ τοῦτο προσθεῖναι τῷ ἀριθμῷ, ἐνταῦθά μοι καὶ τὸ σχετλιώτατον δρᾶμα τῶν κατ' ἐμέ, τότε δὴ τότε οὐκέτι καθεκτὸς ἦν οὐδ' εἶχεν ὡς καὶ πρότου, καί μοι πρὸς θεοῦ ἔστω τῆς ἀπονοίας συγγνώμη, ἀλλ' ἐταράττετο καὶ ἄλλος ἐξ ἄλλου ἐδόκει οὕτω ταχέως τοῦ καθεστῶτος μεταβαλών, ὡς οὐκ ἄν ποτε ῥαδίως οὐδὲ τὸ σφοδρότατον τῶν πνευμάτων τὴν θάλασσαν ἐξεκύμηνε. 21. καὶ ἵνα παρεὶς τὰ ἐν μέσῳ ὅσα τ' ἔδρασεν ὅσα τ' ἔλεξε τῷ μὴ βούλεσθαι τὴν ἡμῶν αὐτῶν δημοσιεύειν αἰσχύνην ἐπὶ τὸ πέρας ἔλθω τῶν ἡμετέρων, τέλος ἀπόστειχε, φησίν, ὦ 'γαθέ, τῆς οἰκίας τῆς ἐμαυτοῦ καὶ πολλῶν οὐσῶν ἃς ἄν τις πορεύεσθαι ἕλοιτο καὶ αὐτὸς ἣν ἂν ἐθέλῃς πορεύου, ὡς ἂν μεταμάθῃς σωφρονέστερον εὔχεσθαι καὶ μὴ σφόδρα ζηλοῦν καλεῖσθαι φιλότιμος, παῖς δὲ ἄλλου μὲν ἴσως κεκλήσῃ ἢ ἀγνοοῦντος τὴν σὴν λώβην ἢ σαφῶς μαινομένου, ἐμὸς δὲ οὔκουν οὐδ' ἐν προσφθέγματι. 22. ταῦτ' εἶπε καὶ ταῦτ' ἔδρασε διασχὼν οὐδὲ τὸ βραχύτατον, ἀλλ' ὡς τάχιστα | τοῖς ῥήμασι p. 8 pr τοῦ θυμοῦ καὶ τὴν πρᾶξιν ἐπενεγκών. ὅμως δὲ βουλόμενος μὴ ἄδικα ποιῶν ἀκοῦσαι μηδέ τιν' αὐτῷ μετὰ ταῦτα προφέρειν τὸ αὐτεξούσιον ὧδ' ἀναβιβάσας με πρότερον αἰτεῖ καὶ ὑμᾶς ἐπαινέτας τε φανῆναι τῆς γνώμης καὶ συγκατασκευάσαι τὴν ἀποκήρυξιν. ὅτι δὲ ταῦτα παρὰ τὴν τοῦ δικαίου φύσιν καὶ οὐδ' ἔχει λό-

9 ἐξεκύμηνε *L* ἐξεκύμηνεν *pr* 10 ἔλεγε *pr* 12 ἀπόστειχε scripsi ἀπόστιχε *LVpr* 14 ὁδῶν coni Kurtz at cf. p. 160, 27 19 οὔτ' *pr* | προσφθέγμασιν *pr* 24 μεταταῦτα *LV* | ὧ δ' *V*

γον αὐτῷ τὰ ἐγκλήματα, εἴ τινα, ὅπου γε καὶ ἐπαινεῖν καὶ μεγάλας εἰδέναι τὰς χάριτας εἰκὸς ἦν, ἄνευ τοῦ καὶ πλήθει λόγων ἐθέλειν χρήσασθαι δοκῶ μοι διδάξειν.

23. Οὐδέν, πάτερ, δεινὸν σύνοιδα ἐμαυτῷ οὔτε σὲ οὔτε τι τῶν σῶν εἰργασμένῳ, ὅτι μὴ καὶ μᾶλλον ἐπικουρήσας ἐν τοῖς ἀναγκαίοις εἰμί. σὺ δ' οὐδὲν τοῦθ' ἡγῇ οὐδὲ φῂς ὡς καὶ σμικροῦ τινος ἄξιον λογίζεσθαι πρέπει, ἀποκηρύττεις δ' ὥς τινα τῶν κακούργων καὶ ξένον ποιεῖς τὸν σαυτοῦ ἄνω καὶ κάτω τὸ τάλαντον προβαλλόμενος. καὶ γὰρ ἅπαντα ῥήματα, ὦ ἄνδρες, εἰς τοῦτ' αὐτὸ περιστρέφεται. καὶ τί φησι; τάλαντον, ὦ μιαρέ, οὐ γὰρ ἔτι παῖδα καλεῖν ἀξιοῖ με—τάλαντον τῶν ἐμῶν ἀναλώσας ἔχεις, τάλαντον, ὦ Ἑρμῆ καὶ Ζεῦ Κτήσιε καὶ εἴ τις θεῶν ἕτερος χρημάτων καὶ κέρδους προστάτης. εἶτα παῖς μετὰ ταῦτ' ἐμὸς σὺ κεκλήσῃ καὶ διάδοχος τῶν ἐμῶν τοσούτου τὴν ἐμὴν περικόψας οὐσίαν; 24. ὅτι μὲν οὖν σὸν ἦν τἀργύριον κἀγὼ ἀναλώσας εἰμί, οὐκ ἔστιν ἀρνήσασθαι, πάτερ. σαφὲς γὰρ τοῦτό γε καὶ ἡμεῖς τοσοῦτον πρὸς πάντας βοῶμεν ὡς καὶ δοκεῖν ἐμπομπεύειν τῇ πράξει καὶ ὡς ὑπὲρ μεγάλων τινῶν ἔργων μέγα καὶ αὐτοὺς φρονοῦντας ἐγκαλλωπίζεσθαι. πλὴν οὐ μέχρι τούτου δεῖ στῆναι τοῖς λογισμοῖς οὐδ' ὡς ἀνάλωται μόνον σκοπεῖν, ἀλλὰ καὶ προσθεῖναι λογιζόμενον, ὑπὲρ τίνος καὶ μεθ' ἧστινος

15 cf. p. 20, 7

1 εἴ τινα scripsi ἤ τινα *Lpr* ἢ τίνα *V* 10 τὸν scripsi auctore Kurtzio τῶν *LVpr* 12 φησιν *pr* 14 τάλαντον(2) — 16 προστάτης om *V* 17 μεταταῦτ' *LV* 18 τοσούτῳ? 26 ὑπέρ τινος *L*

τῆς αἰτίας. οὕτω γὰρ ἅπαν ἔργον, κἂν μικρὸν εἴπῃς κἂν μεῖζον, ἀνθρώποις ἔδοξεν ἐξετάζειν οὐ ψιλὸν αὐτὸ καθ' αὑτὸ θεωροῦσιν, ἀλλὰ καὶ τὰς ἀφορμὰς σκοπουμένοις, αἳ τὴν ἀρχὴν πρὸς γένεσιν ἐκίνησαν ἕκαστον. 25. οἷον ὅδε τὸν δεῖνα κακῶς εἶπεν. οὐ καθυπάγεται τιμωρίᾳ, πρῶτος γὰρ ἤκουσε παρ' ἐκείνου κακῶς. ἀπέθανε δὲ πάλιν ὅδε πληγεὶς παρὰ τοῦδε. ἄξιά γε τῶν ἔργων παθών, ἐπίβουλος γὰρ ἦν τῆς οἰκίας καὶ τῶν τιμιωτάτων αὐτῷ. τὸν δεῖνα ὁ δῆμος ἀπέκτεινε. καλῶς, προδότης γὰρ ἦν καὶ λαμβάνων κατὰ τῆς πόλεως. οὕτως ἁπανταχοῦ ἐξετάζοντας συμπαραλαμβάνειν καὶ τὰς αἰτίας προσήκει, μεθ' ὧν ἕκαστα πέπρακται. καὶ σὺ τοίνυν μεμαθηκὼς ὑπὲρ σοῦ τἀργύριον ἀπιέναι, ὅπως γε ὑγιαίνοις, ἢ μᾶλλον εἰπεῖν, ὅπως τὸ δεύτερον ζῴης, περὶ γὰρ θανάτου καὶ ζωῆς ἐξητάζου, οὐχ ὑγείας καὶ νόσου, σκόπει εἰ μή σοι εἰς δέον ἀναλῶσθαι δοκεῖ. 26. εἰ μὲν οὖν ἔχει τις ἄλλην παρ' ἣν αὐτὸς τίθημι πρόφασιν τῶνδε τῶν ἀναλωμάτων εἰπεῖν, δέον μὴ ταύτην, ἀλλὰ καὶ μείζω πολλῷ, εἴπερ οἷόν τ' ἦν, καταδίκην ἐπενεγκεῖν· οὐχ εὑρισκομένης δὲ μηδαμῶς αἰτίας παρὰ τὴν εἰρημένην τί τις ἂν τὸν ἀναίτιον αἰτιῷτο; μάλιστα μὲν οὖν καὶ πολλῶν ἦν δίκαιος τῶν ἐπαίνων ἀπολαύειν ἀνθ' ὧν ἔδρασα, εἰ δὲ μὴ τούτων, τὸ γοῦν μὴ ἀκούειν κακῶς μηδ' ἐγκαλεῖσθαι ἔδει προσεῖναι. νυνὶ δὲ σὺ πάντ' ἀφεὶς ἀποκηρύττεις ἐμὲ καὶ ταῦτα μηδαμόθεν τοῦ δικαίου ὁρμώμενος. οὐ γὰρ ἀσωτίᾳ προσκείμενος οὐδ' ἡδοναῖς δουλεύων οὐδ' ὀρέξεις ἀποπιμπλὰς ἐμαυτοῦ, οὐ συμπόσιον συγκροτῶν οὐδὲ συν-

---

8 καὶ inserui e *V* om *Lpr* 14 γε scripsi τὲ *L* τε *V pr* 15 ζῴης scripsi ζῇς *LVpr* 19 κατὰ δίκην *pr* 21 τὴν εἰρημένην scripsi τὰς εἰρημένας *LVpr*

αθροίζων χορὸν μεθυόντων ἐλάττονά σοι τὰ χρήματα ἔδειξα, σώφρων γὰρ περιφανῶς ἐγὼ καὶ τῶν τοιούτων ὅσον πλεῖστον ἀφεστηκώς, εἰς δὲ τὸ σὸν σπεύδων, ὅπως ἀνενεγκὼν ῥοπῇ κρείττονι τύχης τῆς σωτηρίας. 27. εἶτα μετὰ τῶν κακούργων ἡγήσῃ τὸν οὕτως ἐν τοῖς καλοῖς διαπρέψαντα; καὶ πῶς οὐ ποιῶν δόξεις ταὐτὸν τοῖς, ἀλλ' οὐκ ἔχω τίσιν εἰπεῖν πλὴν τοῖς ὑπ' ἀναισθησίας καὶ ἀδικίαν καὶ δικαιοσύνην κολάζουσι καὶ σωφροσύνην ἀποστρεφομένοις καὶ ἀκρασίαν καὶ τὴν αὐτὴν οὐ περὶ τῶν αὐτῶν ἔχουσι δόξαν; εἰ δ' ἄσεμνος ὁ λόγος καὶ ἥκιστα προσήκων εἰρῆσθαι πρὸς σέ, κἀγὼ μὲν ὁμολογῶ, πλὴν σαυτῷ μέμφεσθαι καὶ τοῖς σοῖς ἔργοις νόμιζε δεῖν, ἅ γε καὶ τοὺς ἐμοὺς λόγους εὑρίσκεται. εἰ γὰρ μὴ τὸν εὐεργέτην κακῶς λέγων ἠξίους τοῖς δυσμενέσιν ἐγκαταλέγειν, οὐκ ἂν παρεβιάσθην μέχρι τοιούτου προελθεῖν παραδείγματος. τί δέ, κἂν ἐγὼ μὴ λέγω, κἂν ἄλλος τις τῶν ἁπάντων, οὐκ οἴει καὶ τούτους ὀρθῆς γνώμης ὄντας κυρίους σιγῇ καθ' ἑαυτοὺς παραπλήσια τοῖς εἰρημένοις λογίζεσθαι περὶ σοῦ; 28. βούλει λέγων ἄριστα καὶ πράττων φανῆναι. ἡγείσθω σοι λογισμὸς πρὸ πάντων ἔργων καὶ λόγων, καὶ μέμψεως χώραν δώσεις μηδέποτε μηδενί. ὁποῖον ἐχρῆν κἀν τοῖς λόγοις τούτοις φυλάττειν τοῖς κατ' ἐμοῦ, πρῶτα μὲν ἀναλογίσασθαι πρὸς ἑαυτόν, ποῦ ποτε τῶν δεινῶν ἦσθα, ἢ μὴ δυνάμενον οἴκοθεν συνιδεῖν, ἐρέσθαι τοὺς ἄλλους καὶ παρ' αὐτῶν διδαχθῆναι ὡς ἐκινδύνευες μηκέτ' εἶναι, κεῖσθαι μετὰ τῶν ἐν Ἅιδου, ἀπολιπεῖν οὐ μόνον τὰ φίλα ταυτὶ χρήματα, ἀλλὰ καὶ εἴ τι χάριεν σὺν αὐτοῖς τὸν ἀνθρώπι-

4 voce σωτηρίας des *pr* 8 ἀναισθησίαν *V* 11 προσῆκον *V* 13 ἅτε *L* 26 ἔρεσθαι *V*

νον ὁρᾷς ἔχοντα βίον, προσμαθεῖν δὲ καὶ ὅστις ποτ' ἀνθρώπων ἢ θεῶν ὁ σεσωκὼς ἦν τοῦ τοσούτου κινδύνου, καὶ μεμαθηκότα χάριν εἰδέναι τῆς σωτηρίας τοσοῦτον ἀφιστάμενον δυσμεναίνειν ἐκείνῳ, ὁπόσον δὴ λειπόμεθα καὶ τοὺς εἰς τὴν ζωὴν ἡμῶν ἐπιβουλεύοντας ἐπαινεῖν.

29. Ἀλλ' ἴσως τὸ μέν σοι μέγεθος τοῦ κινδύνου οὐκ ἄγνωστον εἶναι φής, ἀλλὰ σαφῶς οἶδας καὶ τοῦ διδάξοντος οὐ προσδέῃ, ἀμφιβάλλεις δὲ περὶ τῆς σωτηρίας καὶ ὅστις σοι ταύτης ὑπῆρξε παραίτιος. οὐκ αὐτόματός σοι, πάτερ, ἐγένετο οὐδ' ἔκ τινος τύχης, ὡς ἂν οἰηθείης, ἀλλὰ θεὸς μὲν τὰ πρῶτα ἀντιλαβόμενος ἔσωσε, μετὰ δὲ ταῦτα καὶ ὅσον εἰς ἀνθρώπους ἧκεν, ἐγώ. καὶ τίνι γὰρ ἑτέρῳ ἀντ' ἐμοῦ τοῦτο προσῆκεν; ἔσωσα δέ σε, ὥσπερ τοὺς εἰς θάνατον ἀπαγομένους οἱ τῶν ἀνθρώπων φιλανθρωπότεροι, ταλάντου ἐξωνησάμενος καὶ τὰ σῶστρα καταβαλόμενος τῆς ζωῆς. ἐρρυσάμην πολλῇ τῇ σπουδῇ. τί δὲ οὐκ ἔμελλον δοὺς τὰ σά, ὅπου γε κἀκ τῶν ἰδίων ὑπὲρ φίλου κινδυνεύοντος μὴ τοῦτο δρᾶσαι λίαν ἀπάνθρωπον, ὥσπερ αὖ δικαίας γνώμης τεκμήριον καὶ ἀνθρωπίνης ὄντως τὸ ταῖς ἀνάγκαις τῶν φίλων ὑπηρετεῖν; καὶ μὴν οὐκ ἐξ ἴσου πατέρας τε καὶ φίλους τιθέμεθα οὐδὲ τῶν αὐτῶν ἀξιοῦμεν, ἀλλὰ τοῖς μὲν τὰ δέοντα χαριζόμεθα, πατράσι δὲ καὶ κατ' ἀνάγκην δουλούμεθα τοσούτῳ μᾶλλον πρὸς αὐτοὺς βλέποντες, ὅσῳ τὸν τῆς φύσεως δεσμὸν τοῦ κατὰ προαίρεσιν μᾶλλον ἄρρηκτον ἴσμεν καὶ ἰσχυρότερον.

30. καὶ τί δὴ λέγω τοῦτο ὡς μέγα τι καὶ σφόδρα ὂν πρὸς ἡμῶν τὸ δεῖν φίλους ὄντας πάντα τρόπον ὑπὲρ

3 τοσούτου *V* 6 μέν σοι scripsi ϴ *V* μέντοι *L* 8 ἀμφιβάλλῃ *V* 11 οἰηθείης scripsi οἰηθῇς *LV* | ταπρῶτα *LV* 15 τάλαντον *L* 16 καταβαλλόμενος *LV* 21 ἐξίσου *LV* 23 καὶ om *L*

φίλων πονεῖν, ὅταν καὶ μυρίους ἄν τις καταλέγειν ἔχῃ καὶ ὡς παράδειγμα φέρειν τῷ λόγῳ πλειστάκις ἐκ τῶν οἴκοθεν χρημάτων αἰχμαλώτους πριαμένους, καταδίκους πριαμένους καὶ ἄλλως κτείνεσθαι μέλλοντας, τοὺς μὲν φιλανθρωπίας ἕνεκα καὶ τοῦ μὴ δεῖν ἀνθρώπους ὄντας ἄνθρωπον παριδεῖν ἀπολλύμενον, κἂν μὴ προσήκων ᾖ γένει, κἂν ἐξ ἐσχάτων βαρβάρων, τοῦτο δὲ μόνον ἄνθρωπος, τοὺς δὲ καὶ φιλοτιμίας ἕνεκεν, ἀμφοτέρους δὲ πάντως τοῦ περὶ ἐλάττονος ἅπαντα πλοῦτον ἡγεῖσθαι τῆς ἀνθρώπων ζωῆς; 31. τοῦτον τοίνυν τὸν τρόπον τῶν ἀνθρωπίνων πάντων ἐχόντων καὶ μεγάλου τοῦ τῆς φιλανθρωπίας νόμου κηρυττομένου ἁπανταχοῦ ἔδει μόνους ἀνυποτάκτους εἶναι ἡμᾶς καὶ τὰ μὲν χρήματα περιέπειν, σοῦ δ' ἀμελεῖν οὑτωσὶ φερομένου; καὶ τίς ἄν με τῶν μικρῶν ἢ τῶν μειζόνων συγγνώμης ἠξίωσε, μᾶλλον δέ, τίς ἂν ἀπέστη τοῦ μὴ κακῶς λέγειν τὸν προδότην τοῦ γένους, τὸν ἀγνώμονα, τὸν τῆς φύσεως ἀλιτήριον, ὃς κινδυνεύοντος τοῦ πατρὸς καὶ ἀργυρίου συχνοῦ οἴκοι κειμένου δέον πάντα προϊέναι ὑπὲρ τῆς ζωῆς, ὁ δὲ οὐδ' οἷα κἂν οἱ δυσμενέστατοι ἔδρασεν, οὐκ ἐπεστράφη νοσοῦντος, οὐκ ἐπεκούρησεν ἐκ τῶν δυνατῶν, οὐδὲν συνόλως ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἐπραγματεύσατο;

32. Πῶς δὲ οὐχὶ σὺ πρὸ τῶν ἄλλων ἐπήνεγκάς μοι τὰ χαλεπώτατα; εἰ γὰρ νυνὶ σωθεὶς δι' ἐμοῦ, λεγέσθω γάρ, οὐκ ἀνίης αἰτιώμενος καὶ τοῖς ἐπιβούλοις συντάττων, τί ἂν ἔδρας μὴ τοιαύτην γνοὺς εἰσενηνεγμένην τὴν προθυμίαν; ἐπήνεις; οὐκ ἔνι δέχεσθαι

25 cf. p. 173, 20

6 ὄντα V 16 ἠξίωσεν V 28 εἰσενηνεγμένον V

τὸν λόγον ὡς ἀληθῆ. ἢ πῶς ἂν τὸν περιφρονητήν; οὐ γὰρ ἔχει φύσιν τὸ πρᾶγμα οὐδ' ἄν τῳ δόξει ποτὲ πιστὸν εἶναι, ἐπειδήπερ ὀλιγωρία καὶ περιφρόνησις λύπην μὲν γεννᾶν καὶ θυμὸν ἐξάπτειν πεφύκασιν, οὐχὶ δὲ πρὸς ἀγάπην οὐδὲ πρὸς ἔπαινον τοῦ κατωλιγωρηκότος διερεθίζειν, καὶ ὅσῳ θατέρῳ τῶν ἐναντίων εἰς τὸ εἶναι συμβάλλειν ἴσμεν, τοσούτῳ καὶ θατέρῳ εἰς τὸ μὴ εἶναι γινώσκομεν. οἷον τί δὴ λέγω; φίλος ἔστι σοι. περιεφρόνησας ἐκεῖνον καὶ παρεῖδες, ὁ δὲ ᾔσθετο. ἐλυπήθη πρῶτον. εἶτ' ἐχαλέπηνε καὶ πρὸς ὀργὴν ἀνήφθη. ἀλλ' οὐ περιεφρόνησας, ἐπεστράφης δὲ πλέον τῆς συνηθείας. ὁ δὲ μᾶλλον ἠγάπησε καὶ τοῖς σοῖς ἐπαίνοις προσέθηκε. 33. διὰ ταῦτα οὐκ ᾤμην ὀλιγωρῆσαι οὐδ' εἰπεῖν ἐν ἐμαυτῷ· κάμνει καὶ τί τοῦτο καινόν; καμνέτω. ἄνθρωπός ἐστι καὶ τὸ πάθος ἀνθρώπινον. οἶδε τὴν νόσον τὸ γένος. καὶ οὐ ξένον τοῦτο τῇ φύσει οὐδὲ προσφάτως ἐπιδημῆσαν τῷ βίῳ. οὕτω καὶ τοὐμοῦ πατρὸς ὁ πατὴρ καὶ ὁ ἐκείνου πατὴρ κἀγὼ καὶ πάντες ἄνθρωποι πορευσόμεθα. ἀλλὰ τὰ τοιαῦτα λογίζεσθαι παντὶ μᾶλλον οἰηθεὶς πρέπειν ἤπερ ἐμοὶ καὶ ἅμα ἣν τὰ συγγενῆ τῶν ἀλόγων ζώων πρὸς ἄλληλα στοργὴν ἐπιδείκνυται ἡμετέραν νουθεσίαν ὑπειληφὼς καὶ πρὸς τὸ συγγενὲς ἀστοργότερον ἐκείνων διατεθῆναι μὴ ἐνεγκών, ἢ γὰρ ἂν ἦμεν εἰς ὄνειδος τῷ ἀνθρωπίνῳ φύλῳ παντὶ ὡς καὶ τῶν ἀλόγων αὐτῶν ἀλογώτεροι, οὐκ ἀνῆκα οὐδ' ἐνέδων τῇ προθυμίᾳ τοῦ μὴ πάντα μετιόντα πολλῇ τῇ σπουδῇ πᾶσαν πεῖραν εἰσ-

2 ἄν τῷ *L* ἄν τω *V* | δόξῃ *LV* 10 ἐχαλέπηνε *L* 11 ἐπιστράφης *L* 13 διαταῦτα *LV* 21 εἴπερ *V* 25 ἤ *V* sed ῀ e ʽ corr

φέρειν ὥστε σε καὶ αὖθις συναριθμεῖσθαι τοῖς ζῶσι κἀν τῷ βίῳ περινοστεῖν. καὶ περινοστεῖς ἐκ τούτου εὖ ἔχων καὶ ἐρρωμένος ὑψοῦ τοῦ κινδύνου γενόμενος. 34. σὺ δ' ἀντὶ τούτων πάντων δέον μετὰ τῆς ψυχῆς ἀγαπᾶν χαλεπαίνεις ἐμοὶ καὶ βαρέως διάκεισαι ὡς οὐδ' ἂν πρός τινα τῶν ἐχθρῶν. καὶ οὐκ ἄν μοι δοκεῖς ὀργίλως οὕτω ποτὲ οὔτε πολεμίῳ προσβλέψαι οὔτε Γοργόνος ἰδεῖν κεφαλὴν ἀηδῶς, ὡς νῦν ὁρᾷς πρὸς τὸν φίλτατον καὶ ὅτι μὴ θᾶττον μακράν σου καὶ τῆς πόλεως γίνομαι, ἀφόρητον ἡγῇ καὶ θανάτου μακρῷ χαλεπώτερον. καίτοι τότ' ἐχρῆν δεικνύναι ταύτην τὴν ἰταμότητα, καὶ ἦν ἂν κατὰ λόγον προβαῖνον τὸ πρᾶγμα. πότε δὲ λέγεις; ὅτε εἰ σὺ μὲν ἔκαμνες, ἐγὼ δὲ οὐκ ἐπεστρεφόμην, ἐκινδύνευες, ἐγὼ δ' ἐλογιζόμην ὁπόσα μοι αὐτίκα μάλα καταλελείψεται χρήματα, ἐγγὺς ἦσθα θανάτου, ἐγὼ δὲ ἀφροντίστως παρέτρεχον οὐδὲν οὐδαμῶς τῆς ὀφειλομένης εὐνοίας παρέχων τεκμήριον· νῦν δὲ οὐδαμῶς, εἴπερ οἶδας εὐεργεσίαν καὶ κακουργίαν τιθέναι χωρὶς καὶ τἀναντία μὴ λέγειν εἶναι ταυτόν, ἀμέλειαν καὶ σπουδήν, περιφρόνησιν καὶ φροντίδα, καὶ ὅλως εἰπεῖν κακίαν καὶ ἀρετήν, ἀλλ' ἀνὰ μέρος τὸν ἴδιον ἀπονέμεις ἑκάστῳ λόγον, ὥσπερ δήπου καὶ πάντας ἀνθρώπους οἷς καὶ ὁποσονοῦν μέτεστι γνώμης ὀρθῆς ἴσμεν ποιοῦντας περὶ τῶν πλεῖστον διεστηκότων ἀλλήλων πραγμάτων πλεῖστον διεστηκυίας καὶ τὰς γνώμας αὐτοὺς ἔχοντας.

35. Εἶτ' ἐρεῖς αὖθις ὡς εἰς χρήματα ἐζημίωκα καὶ μικρὸν ἐκ μεγάλου τὸν σὸν πλοῦτον πεποίηκα; ἀλλ' ἐρήσομαί σε, καὶ ὅπως μοι μὴ καὶ δεύτερον

2 κἀν scripsi καὶ *LV* 7 οὕτως *V* 10 πικροῦ *L* sed γρ μακρῷ in marg m² 11 τότεχρῆν *L* 13 ὅτε om *V* 21 ἀναμέρος *V* 27 ἐζημίωκα scripsi ἐζημίωσα *LV*

χαλεπαίνῃς βαρέως τὸν λόγον δεχόμενος. ὃ γοῦν ἐρήσομαι, τί διανοούμενος καὶ τί μετιὼν ὑφειλόμην τοῦ πλούτου καὶ τὴν ζημίαν ἐπήνεγκα; εἰπέ, ὦ πρὸς θεοῦ, εἰ δὲ μή, ἕτερος ἀντὶ σοῦ κληρονομείτω τοῦ λόγου, τί ὅλως δρῶν τῶν ἀπηγορευμένων εἰς ἔλαττον τὰ σὰ περιέστησα; ἵππους ὠνούμενος, ἱπποτροφίᾳ προσκείμενος, ἀσωτεύων, κωμάζων, παρασίτους τρέφων, κόλακας ἐπαγόμενος; ἀλλ' οὐδεὶς ἀποκρίνεται. ἐγὼ δὲ καὶ αὐτὸς ποιήσομαι τὸν ἀπόλογον, ὦ πάτερ, καὶ μάλα γε ἀληθῆ. οὐδὲν ἄλλο γε κατὰ νοῦν στρέφων οὐδὲ πραγματευόμενος ἢ ὅπως δεσπότης εἴης καὶ αὖθις τῶν σῶν καὶ τὴν κυρείαν ἔχοις, ὡς κἀν τοῖς ἄνω καιροῖς. 36. ταῦτα ἔστιν ὑπὲρ ὧν εὐξάμην καὶ τὸ τάλαντον ἀφιέρωσα, οὐχ ὡς ἐπάξων ζημίαν, ἀλλ' ὡς τὸ τελεώτατον ἁπάντων κερδῶν προξενήσων οὐδ' ὡς λυπήσων σὲ τὸν πατέρα, ἀλλ' ὡς μεγίστης αἴτιος εὐφροσύνης ὑπάρξων, εἴπερ τὸ ὑγιῶς ζῆν μέγιστον εἰς εὐφροσύνης ὑπόθεσιν. ἢ τίς ἄν σε, πάτερ, ἐπὶ τούτῳ δυσχερᾶναι ᾠήθη καὶ τοσοῦτον ὡς καὶ παρ' ἐμοῦ δίκην ἐθέλειν λαμβάνειν, ᾧ βουλομένῳ σοι τὰ δίκαια δρᾶν οὐκ ἂν εἶχες ῥᾳδίως τὰ εἰκότα εὐχαριστεῖν; 37. εἰ δὲ μὴ τοσοῦτος ἐκ νόσου ἢ τοιούτου τινὸς πάθους ἠπειλεῖτό σοι κίνδυνος, πολεμίους δὲ συνέβη λαβόντας ἔκ τινος τύχης, οἷα πολλὰ κατ' ἀνθρώπους συμβαίνει, εἰς δουλείαν ἀπάγειν, ἆρ' οὖν ἠξίους ἐμὲ ἐλεύθερον μὲν περιόντα, χρημάτων δὲ κύριον ὑπάρχοντα καὶ πλοῦτον περιβεβλημένον μακρὸν μηδὲν ὑπὲρ σοῦ καὶ τῆς σῆς ἐλευθερίας μηδ' ὀβολὸν προϊέναι δέει τοῦ μὴ ἐλαττῶσαι

---

12 εἴης scripsi ἧς *LV* 13 κἂν *L* 19 δυσχεράναιν *L* δυσχεράναι *V*

τὰ χρήματα; οὐκ οἶμαί σε τοιαύτην ἄν ποτε ποιῆσαι ἀξίωσιν εἰς τοιάνδε τὴν τύχην συνελαθέντα, τοὐναντίον γε μὴν καὶ πάσας ἀφιέναι φωνὰς τῆς σῆς ἐλευθερίας γενέσθαι καὶ πάντα ῥήματα δυσωπῆσαι δυνάμενα λέγειν βοῶντα· μνήσθητι, ὦ καλὲ παῖ, πρώτης γεννήσεως, τῆς εἰς τόδε τὸ φῶς παραγωγῆς, ἀνατροφῆς, σπλάγχνων πατρός, πόνων οὓς ὑπὲρ σοῦ κατεβαλόμην πολλούς. πρόες τὰ πάντα. τίμησον τὴν φύσιν. καλή σοι φιλοτιμία κἀν τοῖς νῦν οὖσιν ἀνθρώποις κἀν τοῖς μετὰ ταῦτα, ἂν ἀφειδήσας χρημάτων ἀνακομίσῃς σαυτῷ τὸν πατέρα. ἐγώ, παῖ, τὰ κατ' οἴκους ἐπορισάμην καὶ δι' ἐμὲ ἀπιόντα ἀνασωθεὶς ἀνασώσομαι. ἔτι γὰρ πονεῖν δύναμαι καὶ τῆς τέχνης ὡς δεῖ συλλέγειν οὐκ ἐπιλέλησμαι. 38. ταῦτ' ἂν εἶπες, σαφῶς οἶδα, καὶ ἔτι πλείω πορισμώτερος εἰς λόγους σαυτοῦ ὑπὸ τῆς ἀνάγκης ἀναφανείς. κἂν μὲν πρόθυμον εἶδες ἐλευθεροῦν, πρόθυμος καὶ αὐτὸς πᾶν ὅ, τι καλὸν ἐπηύξω γενέσθαι μοι, ἂν δ' ἀμελοῦντα καὶ πάντα μᾶλλον σκοπούμενον πράττειν ἢ σοί γε προσέχειν, ἐπηράσω δικαίως καὶ θᾶττον τὰς Ἐριννῦς ᾔτησας ἐπιέναι μοι τιμωρούς. ὅπου δὲ τότε ταῦτ' ἂν βεβαίως διετέλεις πράττων καὶ λέγων, ἦπου χάριεν ἂν ἦν μὴ ἐν τοῖς ὁμοίοις τὴν αὐτὴν γνώμην τηρεῖν μηδὲ παραπλήσια κρίνειν αἱρεῖσθαι; 39. ὅτι δ' ὅμοια οἷς ὑπεθέμην τὰ πεπραγμένα, πολλῇ τινι ῥᾳστώνῃ ἐξέσται σκοπεῖν. καὶ γὰρ σὺ μὲν ᾤχου τὴν ἐπὶ θάνατον, ἐγὼ δὲ περιελειπόμην ἐνταῦθα κτῆσιν ἔχων μυρίαν καὶ χρή-

1 ἄν inserui om *LV* 3 μὲν οὖν *L* sed γε μὴν in marg m² 10 μεταταῦτα *LV* 14 τέχνης ⟨τοῦ⟩? 25 signum interrogationis posui punctum *L* colon *V*

ματα ὧν τὸν ἀριθμὸν τί δεῖ λέγειν; εἰδείης ἂν αὐτός. πλὴν οὐκ ἠγάπησα πλοῦτον μὲν ἔχειν καὶ κτήματα τόσα καὶ τόσα, τὸν πατέρα δὲ οὐδαμῶς, ἀλλ' ἐκεῖνα μὲν προθυμότατα ἀφαιρεθῆναι ὥσπερ καὶ ἄκρων ὀνύχων, σοῦ δὲ μηδ' ἐν ὀνείροις διαζευχθῆναι βούλεσθαι. 40. καὶ τί τοῦτο λέγω ὡς λίαν θαυμάσιον, ὅπου γε δεῆσαν καὶ τὴν ζωὴν ὑπὲρ σοῦ οὐκ ἂν ἀπέσχον τοῦ μὴ τάχιστα δοῦναι, μόνον εἰ σῶς αὐτὸς ἀντ' ἐμοῦ ἔμελλες περιεῖναι τῷ βίῳ; ὅθεν καὶ μή μοι χρήματα λογίζου, μὴ περιουσίαν, μὴ κτῆσιν ἄλλην καὶ κέρδη παντοῖα καὶ ἡδονὰς ἐντεῦθεν γεγενημένας. ἀπόχρη μοι συνὼν ὁ πατὴρ ἀντὶ πάντων. μεθ' οὗ κἂν δυστυχῶ κἂν ἐσχάτως ταλαιπωρῶ, οὐ μακρὰν εἶναι τῶν εὐδαιμονούντων δοκῶ, ὥσπερ αὖ ἀπωρφανισμένος ἐκείνου οὐ πολὺ τῶν ἀθλίως ἐχόντων διίστασθαι, κἂν τοὺς Λυδῶν κἂν τοὺς ἁπάντων ἀνθρώπων πλουτῶ θησαυρούς. οὕτως ἐγὼ τιμᾶν οἶδα γονεῖς καὶ χρῆμα τοῖς τέκνοις ἥγημαι τούτους πάντων εἶναι χρημάτων ὀφεῖλον ἐξῃρημένον. 41. διὸ οὐδ' ἐλαττῶσαι δοκῶ μοι τὰ χρήματα, πῶς γὰρ τοσοῦτον προσθεὶς τὸν πατέρα; ἀλλὰ δεόντως αὐξῆσαι, ὅτι μηδ' ἔμποροι τὰ ἑαυτῶν ἐλαττοῦν οἴονται ἕν, εἰ τύχοι, τῶν τιμιωτάτων ἀργυρίων πολλῶν κατακτώμενοι. ἤρκεσε γὰρ ἀντὶ τῶν καταβληθέντων τὸ ἤδη κτηθέν. κἀμοὶ δὲ ὁ πατὴρ ἀντὶ πάντων τῶν ὄντων, κἂν μικρὸν εἴπῃς κἂν μέγα κἂν αὐτὴν προσθῇς τὴν ψυχήν. εἰ δ' ἠλάττωται τῆς χρείας σφοδρῶς ἐγκειμένης καὶ ἀπαιτούσης, τί παρὰ τοῦτο δεινόν; οὐ πάντες ἄνθρωποι διὰ τὴν ἀνάγκην σφῶν καὶ χρήματα καὶ πᾶν ἄλλο πορίζονται; ἢ τίνος ἄλλου

---

3 μηδαμῶς *V* 22 τύχη *V*

γε χάριν ἔχεις εἰπεῖν; ἂν γὰρ μὴ οὔθ' ὅταν πόλεμος ἐπιστῇ, ἐξέσται χρήσασθαι καὶ χρυσῷ καὶ ἀργύρῳ οὔθ' ὅταν λιμὸς ἢ νόσος ἢ ἕτερός τις ἀγὼν ἐπαγόμενος κίνδυνον, ἀλλ' ἔνδον ἡμῖν ἄχρηστα κείσεται, τί λιθιδίων καὶ καχλήκων καὶ τῆς ἐκ πεδίου κόνεως διοίσει ἡμῖν; ἢ τί μᾶλλον ταῦτα μὲν εἰσοικίζομεν πολλῇ τῇ σπουδῇ καὶ ἀσφαλισάμενοι ἔχομεν, ἐκεῖνα δὲ ῥιπτοῦμεν ἡμῖν ἀχρήστων καὶ ἀνονήτων καὶ τούτων κἀκείνων ὄντων ὁμοίως; ὃ γὰρ μὴ ταῖς ἀνθρωπίναις ἀνάγκαις ὑπηρετεῖν ἔχει, ἐπίσης ἀπόβλητον. καὶ τῶν ὁμοίως ἀχρήστων οὐκ ἔνι δήπου, εἰ μή τινα λέγεις παραφρονοῦντα, τὸ μὲν ἀποβάλλεσθαι, τὸ δὲ περισπούδαστον οἴεσθαι. 42. σὺ δέ μοι, ὅταν σαυτοῦ προτιθῇς τὰ χρήματα καὶ ταῦτα μεγάλων ἐνεστηκότων κινδύνων καὶ ἀξιοῖς ἡμᾶς μὲν κινδυνεύειν ἀνέχεσθαι, ταῦτα δ' ἀθάνατα μένειν, ἦ που συμβουλεῦσαί τῳ οὐκ ἄν ποτε ἔδοξας μὴ σθένοντι χρήσασθαι τοῖς ποσὶν ὄντων χρημάτων ἵππον πρίασθαι καὶ ἱπποτροφεῖν ἀνέχεσθαι, ὅπως μὴ σφοδρότερον αὐτὸ κάμνον τὸ σῶμα οἰχήσεται, καὶ τῷ ὑπὸ χειμῶνος πολιορκουμένῳ προσκτήσασθαι καὶ χλαῖναν τοῖς ἱματίοις καὶ τῷ γε τροφῆς δεομένῳ ἤ τινος ἄλλου τῶν ἀναγκαίων χρυσὸν δόντα πορίσασθαι. τοῦτο δὲ τί ποτ' ἂν ἕτερον ἔσται ἢ τὴν ἀνθρωπίνην ἀποκλείειν ζωὴν καὶ κελεύειν ἢ ἀγαπᾶν κατὰ ταὐτὸν τοῖς ἀλόγοις διάγειν καὶ τοῖς αὐτομάτως ἀναδιδομένοις ἐκ γῆς ἐξαρκεῖσθαι ἢ μὴ βουλομένους πεσόντας ἀπομετρῆσαι τὸν βίον αὐτίκα μὴ ἐξὸν ἄλλως ἀπολαύειν ζωῆς;

---

5 ἐκπεδίου *L* 8 ἡμῖν scripsi ἡμῶν *LV* 13 προ- ᾶς τιθείης *LV* 15 ἡμῶν *L* 18 πριᾶσθαι *V* 19 αὐτῷ *V* 25 καταταυτὸν *L*

43. Ἀλλ' ὑποκνίζει τὸ τάλαντον ἀπιόν. τί δέ; εἴπερ αὐτὸς ἀντὶ τοῦ ταλάντου ἀπῄεις, οὐ πολὺ μᾶλλον ἦν λυπηρόν; τοιγαροῦν ἀντίθες τῇ ζημίᾳ τὸ κέρδος. εἰς σαυτὸν βλέπε καὶ τὴν σαυτοῦ σωτηρίαν. λέγε πρὸς σαυτὸν διαλεγόμενος ἡσυχῇ· ἐκινδύνευον μηκέτ' εἶναι, ἀπολέσαι πάντα, τὸ φῶς τόδε, τοὺς ἀνθρώπους, τὰ χρήματα. ἀλλ' ὁ παῖς ἄριστα προὐνοήσατο. ἔδειξεν ἀληθῶς φιλοπάτωρ εἶναι καὶ τῆς ἐμαυτοῦ φύσεως ὡς μάλιστα προελθὼν ἐβεβαίωσε τὸ συγγενὲς τῇ σπουδῇ κἀκ τῶν πολλῶν δοὺς ὀλίγα ἴσχυσε πάλιν τῶν πάντων ἀπολαύειν ποιῆσαι. καὶ νῦν ἀναβιούς εἰμι. οὕτω γὰρ μάλιστα προσήκει νομίζειν. ὢ πραγματείας ἀρίστης, ὢ τῆς μεγαλοψυχίας τοὐμοῦ παιδός· ὢ τῆς περὶ ἡμᾶς ἀγάπης. ἀργυρίου τὴν ζωὴν ὠνήσατο τοῦ πατρός. καὶ νῦν ἔχει μὲν αὐτὸς τὸν πατέρα, κἀγὼ δὲ τὸν παῖδα πάλιν. ἀπολαύω καὶ τῶν χρημάτων τὸ δεύτερον, τῆς οἰκίας, τῶν τετραπόδων, τῶν κτημάτων πάντων. μετὰ τοῦ δήμου περιπολεύω, ὁρῶ τὸ βῆμα, τοὺς δικαστάς, τὴν ἀγοράν, τῆς πολιτείας τὸ σχῆμα. συνεκκλησιάζω, εἰσφέρω ψηφίσματα, εἰσφέρω γνώμας. οὐδὲν ὃ μὴ καὶ αὖθις ἀπείληφα. ἃ δὴ πάντα μὴ ὅτι ἑνός, ἀλλὰ μυρίων μὴ προτιθέναι ταλάντων, μάλιστα δὲ παντὸς θησαυροῦ, οὐκ οἶδα τίνος ἐρῶν ἔργον ἀληθῶς εἰπὼν ἔσομαι. 44. ταῦτα τοῖς λογισμοῖς οἵ σε κατ' ἐμοῦ παροξύνουσιν ἀντιτίθει, καὶ οὐκ ἀγνοήσεις τὸν φίλτατον. προστίθει δὲ καὶ τοῖς εἰρημένοις, εἰ βούλει· ἔστω, ὑποκείσθω

5 σεαυτὸν *LV* 11 ὀλίγους *L* | ἴσχυσέ⟨με⟩? 14 ὦ *L* | τοῦ μοῦ *L*

μὴ νόσον τὴν κατασχοῦσάν με, ἀλλὰ λῃστὰς ἐνεδρεύσαντας εἶναι. ἐπεὶ δ' ἐκεῖνοι συνέλαβον, ἐπὶ θάνατον ἦγον, εἰ μὴ βουλοίμην εὐθὺς συχνὸν καταβαλέσθαι χρυσίον. οὐκ ἦν τούτου γε χωρὶς τὰς σφῶν διαδρᾶναι χεῖρας, οὐ δακρύοντα, οὐκ ὀδυρόμενον, οὐ παρακαλοῦντα, οὐκ ἄλλο τι ἐλεεινὸν ἐνδεικνύμενον. εἶτα ζῆν αἱρούμενος ἀποθέμενος ἐκείνοις πρόθυμος ὅσα εἶχον, περινοστῶ ζῶν, ὤνιον τῶν ἐμαυτοῦ γεγονώς. καλὸν τοῦτό γε ἐμπόρευμα δοῦναι μικρὰ καὶ κερδῆσαι τὰ μείζω, χοῦν ῥίψαι καὶ εἰς ἑαυτὸν ἐπαναγαγεῖν τὴν ψυχήν. ἢ γὰρ οὐ φλυαρία σαφὴς καὶ χρυσὸς καὶ ἄργυρος καὶ πάντα χρήματα πρὸς ἀνθρώπου ζωὴν ἐξετάσαι; 45. καὶ μὴν οὐ πάντ' ἔχομεν δόντες ἐν τῷ μεγάλῳ τῷδε κινδύνῳ. ἔτι τὰ πλείω παρ' ἡμῖν εὕροις. ἔτι χρυσὸς ἔνδον πολύς, ἄργυρος δὲ πλείων. χαλκὸν δὲ καὶ σίδηρον τίς ἐξαριθμήσει; βοῶν ἀγέλαι, ἵππων ἀγέλαι, ποίμνιά τε καὶ θρέμματα ἡμῖν ἄλλα κατ' οὐδὲν τῶν προτέρων ἐλάττω. ὅσον δ' ἐξ ἡμῶν ἀπῆλθεν εἰς τοὺς κρείττονας, μικρά τις τοῦ περιττεύοντος ἀφαίρεσις ἦν. καὶ οὐκ ὀδυνηρὸν τοῦτό γε, ὅτι μὴ καὶ μᾶλλον μεγάλης παραίτιον εὐφροσύνης ὡς τῶν καλλίστων ἀντ' αὐτοῦ προσγεγενημένων ἡμῖν. καὶ ὥσπερ εἴ τῳ περὶ ὀφθαλμοὺς κινδυνεύοντι καί τινος συμβουλεύοντος ἀφελέσθαι τῶν ἄκρων τριχῶν καὶ ἀφελομένῳ γε ἡ ῥῶσις συνείπετο, οὐκ ἂν

---

5 διαδράναι *LV* 12 ἢ *V* 16 ⟨ἂν⟩ εὕροις? 20 κατουδὲν *L* 21 κρείττους *V*

δικαίως ἀσχάλλων ἦν, ὅτι τὴν κόμην ἀπέβαλεν, οὕτως οὐδ' ἡμῖν εὐπρεπὲς δυσχεραίνειν οἷς ἀποκοπέντες μικρὰ οὐκ ὀφθαλμοὺς καὶ ῥῖνα ἤ τι ἕτερον τῶν μερῶν, ἀλλ' ὅλους ἀνεκτησάμεθα ἑαυτούς. 46. *οὕτω δεῖ, πάτερ, κατὰ νοῦν στρέφειν μὴ μόνον τὴν τῶν χρημάτων ἀφαίρεσιν μηδὲ τἀναλώματα θεωρεῖν αὐτὰ καθ' αὑτά, ἀλλὰ καὶ ἥτις ἐγένετο πρόφασις ἐξ ἀρχῆς ἀναλίσκειν καὶ ποῖον ἐντεῦθεν τὸ κέρδος συνέβη. εἰ γὰρ ταῦτα μόνα σκοπεῖν ἀξιοῖς, ὥρα σοι διαβάλλειν οὐ μόνον τοὺς ἰδίως ὀνομαζομένους ἐμπόρους ἕτερ' ἀνθ' ἑτέρων ἀμειβομένους ἀεί, ἀλλὰ καὶ κοινῶς τὸν ἀνθρώπινον βίον οὐδαμῶς ἄλλως ὅτι μὴ διὰ τῆς τοῦ ἀμείβειν ὁδοῦ προϊόντα καὶ τοῦ διδόναι μὲν ἕκαστον τὰ παρ' ἑαυτοῦ, εἰσφέρεσθαι δὲ τὰ παρὰ τῶν ἄλλων.* 47. *καί μοι προκεχειρισμένος ἅπαν ἔργον ἀνθρώπινον σκόπει μοι σαφῶς, ἂν μή σοι φανήσεται ἑτέρου χάριν ποιούμενον, τὰ πάντα δὲ κοινῶς ὑπέρ τε τοῦ ζῆν ἡμᾶς καὶ καλῶς ζῆν, εἰς ὃ δὴ καὶ τείνει ἐπίνοια πᾶσα καὶ τέχνη καὶ πόνος ἀνθρώπινος. εἰ δέ σοί τις καὶ ἰατρῶν μνησθήσεται καὶ κυβερνητῶν τοὺς μὲν τέμνοντας λέγων καὶ κάοντας ἔστιν ἃ τῶν μερῶν βουλομένους γε τὸ λεῖπον τοῦ σώματος σώζειν, τοὺς δ' ἔστιν ἐν οἷς κινδύνων πάνθ' ὅσ' ἀγώγιμα ἀποβαλλομένους ὑπὲρ ἑνὸς τούτου, τῆς σωτηρίας σφῶν τε αὐτῶν καὶ τῶν ἐμπλεόντων, ἆρα βουλήσῃ κακῶς καὶ τούτους εἰπεῖν μὴ τὰ ἐνόντα φυλάξαντας, οὓς πάντες ὡς ἔπος εἰπεῖν ἄνθρωποι ἐπαινοῦσιν ἀν-*

---

7 *εἵτισ* *L* 8 *ἐξαρχῆσ* *LV* | *ἀναλίσκειν* *L* sed *γρ' ἀναλοῦν* in marg 10 *ἰδίους* *V* 13 *προϊόντος* *V* 20 *δὲ σοι τίσ* *L* · *δὲ σοι τίσ* *V* 21 *κάοντασ* *V* *κάοντοσ* *L* 23 *τούσδ'* *LV* 25 *σωτηρίας τῶν τε σφῶν αὐτῶν* *V*

δραγαθισαμένους ὡς ἄριστα πρὸς τὰς τύχας καὶ ἱκανώτατα πρὸς τὰς ἀνάγκας μεμαχημένους; οὔ μοι δοκεῖς τοσοῦτον ζηλοῦν φιλοσκώμμων ἀκούειν ὥστε μέμφεσθαι οὓς εὐλαβηθῆναι καὶ τὸν Μῶμον αἰτιᾶσθαί φασιν. 48. οὐκοῦν σχέτλιον ἂν εἴη τούτους μὲν μήτε μέμφεσθαι μήτ' ἐγκαλεῖν αἱρεῖσθαι, δῆλον γὰρ ὅτι μηδ' ἀπ' ἐναντίας ἀνέξῃ ταῖς πάντων δόξαις ὁρμᾶσθαι, τὸν δὲ υἱὸν ὑπὲρ πάντας καὶ ἰατροὺς καὶ κυβερνήτας ἐν τοῖς κατὰ σὲ κινδύνοις φανέντα ἀποκηρύττειν καὶ ἀπαλλοτριοῦν σαυτοῦ καὶ τοῦτ' ἀνθ' ὧν ἔσωσεν; εἶτ', ὦ πρὸς θεοῦ, οἴει τινὰ σύμψηφον ἕξειν τῆσδε τῆς γνώμης; οὐκ οἶμαί τινα ἔγωγε, εἰ μή τις ἐστὶν ἃ κοινῶς πάντες ἴσασιν αὐτὸς ἀγνοῶν. 49. ἐμοὶ μὲν οὖν δοκεῖ, κἂν εἰ μηδὲν εἶχον ἐκ τοῦ τὰ τοιαῦτα δρᾶσαι τέλος οὐδὲν ἀπαντῆσαν δεῖξαι χρηστὸν μηδέ τι ἄμεινον συμβὰν περὶ σέ, τῆς γοῦν ὀρθῆς γνώμης ἕνεκεν μεθ' ἧς τὴν σὴν ἐπραγματευόμην βοήθειαν δεόντως πολλῶν ἀπολαύειν ἐπαίνων, εἴ τις οἶδεν ἀνθρωπίνως λογίζεσθαι. οὐ γὰρ ἀπὸ τοῦ τέλους πάνθ' ἁπλῶς δοκιμάζουσιν οἵ γε καλῶς διαιτῶντες τοῖς πράγμασι, τὴν δὲ γνώμην ᾗ πρώτως ἐκίνησεν ἐξετάζοντες οὐδὲν περαιτέρω προέρχονται. διὰ τί ποθ' οὕτως; ἐπειδὴ προαιρέσεως ἀνθρωπίνης καὶ τῶν ἐφ' ἡμῖν ὄντων ἡ γνώμη. ταύτῃ τοι καὶ ὀρθῶς ταύτης ἐχούσης ὡς ὀρθὰ προῃρημένους δικαιώσει τις ἐπαινεῖν· ἂν δὲ μὴ οὕτως, ὑπευθύνους ἡγήσεται τιμωρίας πονηρά τε στρέφοντας καί, ὅσον εἰς ἡμᾶς ἧκε, διαπεπραγμένους τὰ χείρω. ὁ γὰρ ἔχων ἐκ προαιρέσεως κακουργεῖν τάχιστ'

4 Plat. rep. VI p. 487 A

7 ἀπεναντίας L | αὔξῃ L 10 ταῦτ' V 15 μὴ δέτι L V 16 ὀρθῶς L 22 διατί V διατὶ L

ἂν ἐπενέγκοι τὴν πρᾶξιν τῷ λογισμῷ ἐν ἐξουσίᾳ τοῦ πράττειν γενόμενος, τοῦ τέλους δὲ οὐχ ἡμεῖς, ἡ δὲ Τύχη δήπου κυρία. κἂν μὴ τῆς γνώμης ἀξίως μηδὲ πρὸς τὰς ἐλπίδας ἐπίῃ τὸ πέρας, οὐ τοὺς ἀνθρώπους, τὴν δὲ δαίμονα αἰτιᾶσθαι προσήκει οὐ καλὴν τοῖς καλῶς ἠργμένοις ἐπενηνοχυῖαν τὴν τελευτήν. 50. καὶ αὐτὸς τοίνυν, ὦ πάτερ, τὴν ἐμαυτοῦ γνώμην σκοπούμενος, εἰ μὴ βούλει συνεξετάσαι καὶ οἷον ἐντεῦθεν τὸ τέλος ἀπήντησε, μὴ δύσνουν ἡγοῦ μηδὲ ἄχαρι μηδὲν ἐργάσῃ τὸν παῖδα μηδ' ἐθελήσῃς δίκην λαμβάνειν ὧν χάριν ἐκτίνειν εἰκὸς ἦν, ἀλλ' ὡς καὶ τὸν ἄνωθεν χρόνον, καίτοι μᾶλλον ἐχρῆν, ὅμως ἀσπάζου καὶ παῖδα λέγε χρηστὸν καὶ φιλοπάτορα καὶ φῶς βίου καὶ ὅ, τι σοι τοιοῦτον ἐξ ἔθους λέγειν ἐμέ.

51. Ἀλλ' αἰσθάνομαι, ὦ ἄνδρες δικασταί, τοῦ πατρὸς ἀφεμένου μὲν σκοπεῖν, εἰ δίκαια λέγων ἢ ἄδικα φαίνομαι, θαυμάζοντος δὲ ὡς ἐμαυτοῦ γενοίμην λαλίστερος, ἔπειτα καὶ τούσδε τοὺς ἐγγὺς ἱσταμένους διδάσκοντος ὡς οὐ δεῖ πιστεύειν ἐμοί. σκῆψις γάρ, φησί, ταῦτα τῷ μειρακίῳ καὶ προσφάτως ἀναπλασθέντα μυθάρια, ἐπειδήπερ βουλομένῳ γε ἀληθῶς τῷ πατρὶ βοηθεῖν ἐνῆν καὶ ἄλλως τοῦτό γε μετελθεῖν καὶ πραγματεύσασθαι τὴν ὑγείαν, ὡς ἂν μάλιστα ἡσθῆναι ἔμελλον καὶ ὁ ταύτης τετυχηκὼς ἐγὼ οὐχ οὕτω λυμήνασθαι τοῖς ἐμοῖς καὶ μέχρι ταλάντου τὴν συμφορὰν παρεκτεῖναι, πρᾶγμα, ὦ ἄνδρες, νὴ τὴν Ἀλήθειαν, ὅ με καὶ σαφῶς ὑγιαίνοντα ἴσχυσεν ἂν εἰς Ἅιδου καταγα-

1 ἐπενέγκῃ *LV* 6 ἐπενηνεγμένην *V* sed γρ ἐπενηνοχυῖαν in marg 11 ἐκτείνειν *V* 14 ἐξέθους *L* 15 ἄνδρες om *L* 19 δ' εἰ *L* 24 ὥστ'?

γεῖν. καὶ ὁ μὲν οὕτως οὐδενί τῳ προσέχων τὸν νοῦν ὅτι μὴ ἑαυτῷ ἣν ἀρχῆθεν ἔσχε περὶ τῆς ἀποκηρύξεως γνώμην κρατύνειν μέχρι τέλους οἰόμενος, ἃ δ' ἔγωγε πρὸς αὐτὸν ἀντὶ τούτων, ὡς δικαίως καὶ καλῶς ἔχει, ἀκούσατ' ἐπιμελῶς. κἂν δὲ μὴ οὕτως εὕρητε, ἀπελαθείην αὐτίκα μάλα καὶ τοῦ βήματος τοῦδε κακῶς καὶ τῆς πατρῴας οἰκίας, τοῦ μὲν ὡς ἡττημένος καὶ μηδὲν ἰσχυρὸν προβαλλόμενος, τῆς δὲ ὡς ἀξίως καταδεδικασμένος τὴν ἀποκήρυξιν. 52. πλὴν ἅπερ ἀκοῦσαι δεῖ πρὸς ἡμῶν τὸν πατέρα, εἰ μὲν ἀληθῶς λάλος ἐγώ, πάτερ, καὶ νυνὶ μᾶλλον ἢ πρότερον, τῆς ἀνάγκης τοῦτο εἰς ἣν ἡμᾶς περιέστησας. ὡς γὰρ περὶ τῶν ἐσχάτων τοῦ ἀγῶνος ὑπάρχοντος εἰκὸς μηδεμίαν φειδὼ τῶν λόγων γίνεσθαι μήτε μὴν ἐκφέρεσθαι κατὰ τὸ ἔθος αὐτοὺς τῆς βίας ὠθούσης λέγειν σφοδρότερον, ἵνα μὴ λέγω ὡς τοὺς τὰ δίκαια λέγοντας εἰκὸς καὶ πλείω καὶ ἰσχυρότερα λέγειν τῶν ἄλλων ὡς τῆς ἀληθείας πολλαχόθεν μὲν συνισταμένης, πολλὰ δὲ λέγειν καὶ ὑπὲρ ἑαυτῆς χορηγούσης. ὅτι δὲ οὐδὲ στωμύλος ἐγώ τις καὶ λάλος καὶ οἷον ἄρτι πρώτως ὑπείληφεν ὁ πατήρ, οἶμαι τούς γε ἄλλους καὶ ὑμᾶς αὐτοὺς μαρτυρήσειν, οἵ με καὶ σιωπῶντα καὶ βουλόμενον λέγειν μηδὲν παρεκελεύσατ' ἀποκρίνασθαι καὶ τὰς αἰτίας εἰς δύναμιν λύειν πειρᾶσθαι, ἃς ἐπήγαγεν ὁ πατήρ. καὶ γὰρ οὐχ ὁ εἰς ἀνάγκην τοῦ λέγειν περιπεσών, εἶτα λέγων εἰς δύναμιν δίκαιος τῆς τοῦ λαλεῖν αἰτίας κληρονομεῖν, ἀλλ' ὅστις μηδενὸς δήπου μήτε καλοῦντος μήτε βιάζοντος αὐτὸς χαρίζοιτο τῇ γλώττῃ παρὰ καιρόν. καὶ τοῦτο

6 ἀπελθείην L 22 σιωπῶτα L | παρακελεύσατ' V
23 ἐσ L 24 ὁ scripsi ὃσ LV

ἔστιν ἀληθῶς λαλιὰ τὸ μήτε σωφρονεῖν ἐν τοῖς λόγοις μήτε τῇ χρείᾳ τούτους παραμετρεῖν, οὐχὶ τὸ ἁπλῶς λέγειν, εἰ μὴ πάντα ῥήματα λαλιὰν ὀνομάζεις αὐτός. καὶ γὰρ τοῦτον τὸν τρόπον οὐδὲ σύ, πάτερ, ἡμῖν μακρόθεν ἐστήξῃ τοῦδε τοῦ προσφθέγματος. 53. εἶεν. τὴν δὲ ῥῶσιν τοῦ σώματος πῶς ἦν ἑτέρως οἰκονομῆσαι; σὺ δίδαξον, πρὸς θεοῦ, ἐπειδὴ καὶ σὺ μόνος ἡμῖν διδάσκαλος τοῦ πράγματος λέλειψαι τῶν ἄλλων ἁπάντων ἐληλεγμένων, ἐγὼ δὲ οὔτε τὸν καιρὸν ᾔδειν ἐκεῖνον οὔτε νῦν ἔχω εἰδέναι, οὗ χάριν οἶμαι καὶ συγγνώμης δίκαιος ἂν εἶναι, εἴ τι τῶν δεόντων ἀγνοήσας παρέλιπον. καὶ τίνος γὰρ ἄλλου γε δεῖ, ὅπου μὴ προαίρεσιν, τὴν δ' ἄγνοιαν ἀφορμὴν ἔσχε τὸ πταῖσμα συμβῆναι; ἀλλ' ᾔδεις αὐτός. καὶ τί τοῦτό γε πρὸς ἐμέ, ὅταν μὴ καλέσας εἰρήκεις· ὦ παῖ, βουλομένῳ σοι τὴν νόσον ἀποσοβῆσαι τὰ καὶ τὰ ποιητέα ἔσται καὶ τάδε μή; κἂν μὴ αὐτίκα, ὡς ἐκέλευες, ἔδρων, ἀλλ' ὠλιγώρουν καὶ παρέτρεχον ὅλως ἢ ἐσπούδαζον μὲν περὶ σέ, οὐχ ὡς σὺ δὲ προσέταξας, οὐ μόνον εἰς τουτονί, ἀλλὰ καὶ εἰς τὸν περὶ ψυχῆς ἀγῶνα προσῆκεν ἐγκαταστῆσαι. ἀλλ' οὐδὲ σοὶ γνώριμον ἦν οὐδὲν πλὴν τῆς νόσου. οὐδ' ἐμοί, πάτερ. ἰατροὶ δ' ἐρωτώμενοι πάντ' ἔλεγον πλὴν ὑγείας. οὕτως ἦν ἁπανταχόθεν ἐνστᾶσα ἡ ἀπορία. πρὸς ταῦτα τί ἐχρῆν οὕτως ὄντος ἐν ὀφθαλμοῖς τοῦ κινδύνου βλέπειν πρὸς τὰ κιβώτια καὶ τὸν ἐν αὐτοῖς ἀντὶ τοῦ γεγεννηκότος περιέπειν χρυσόν; χάριεν ἂν ἦν καὶ πρέπον τῶν σῶν ὑπὲρ τοῦ παιδὸς πόνων, καλῶς δὲ καὶ ἡμῖν ἀπεδόθη ἂν πρὸς σὲ τὰ τροφεῖα καὶ τῶν ἐλπίδων οὐκ ἔλαττον. 54. εἴθε γε ἦν, πάτερ, ἀσπί-

---

4 σύπερ L 10 νοῦν L | τυχεῖν post συγγνώμης excidisse videtur 14 αὐτό L 27 cf. Soph. Ai. 534

δα λαβεῖν καὶ ἀκόντιον καὶ στῆναι κατὰ τῆς νόσου. ἦ γὰρ ἂν εἶδες οὐκ ἔξω βέλους τὸν παῖδα οὐδ' ἀποκνοῦντα τὴν μάχην, ἀλλὰ καὶ μάλα ἑαυτὸν εἰς τὸ τοῦ ἀγῶνος ὠθοῦντα μεσαίτατον καὶ δυεῖν θάτερον πρόθυμον, ἢ ὡς πορρωτάτω κινδύνου ἐκθεῖναι [καὶ] σὲ ἢ καὶ αὐτὸν αὐτοῦ που πεσόντα καθυπαχθῆναι τῇ περιστάσει, καὶ ἦν ἂν ἐκεῖνος θανάτων πάντων λαμπρότερός τε καὶ δικαιότερος. νυνὶ δ' οὔθ' οὕτως ἦν οὔτ' ἄλλως ὑπὲρ σοῦ ἀγωνίσασθαι. διὸ καὶ παραχρῆμα πρὸς τὸ θεῖον ἀπεῖδον κἀκεῖθεν ᾔτησα τὴν ἐπικουρίαν. τὸ δ' ἀξίως ἑαυτοῦ ἐτάχυνε σπεῦσαν καὶ τὴν ἰσχὺν ὡς ἄριστα ἐπεδείξατο. 55. ἀνθ' ὧν μικρὸν μὲν ἡμεῖς ἀπέδομεν μείζονος δεῖγμα εὐγνωμοσύνης, ὀφείλεται δὲ τὸ πλέον ἀεί, κἂν πᾶσαν δὲ ἀνάθημα τὴν περιουσίαν ποιήσωμεν, χρεώστας αὑτοὺς καὶ ἔτι ἡγεῖσθαι προσῆκον. μὴ γοῦν ἀντὶ τοῦ τιμᾶν ἐθέλειν ἡμέραν Ἐλευθερίου καὶ πανηγυρίζειν Σωτήρια συμφορὰν τὸ πρᾶγμα ἡγοῦ καὶ πένθους πλήρου τὸν οἶκον. πληρώσεις δὲ πάντως ἀποκηρύττων ἐμέ. ἀλλ', ὡς ἔοικε, τὸ περὶ σοῦ πένθος ἐγὼ μὲν ὁ παῖς κατέπαυσα, σὺ δ' ἀντεγεῖραι σπεύδεις τὸ τοῦ παιδὸς μηδεμίαν καὶ ταῦτα ἔχων αἰτίαν ἐπενεγκεῖν ἢ ὅτι τὸ σὸν ὑπὲρ σοῦ καλῶς διῳκήκαμεν. 56. καὶ μὴν τούτου γε χάριν θαυμάζοι ἄν τις δικαίως, ὅτι καὶ μέγα τὸ γεγονὸς καὶ ὄντως θαυμάσιον, παῖδα μὲν ὄντα, πλὴν οὐδὲν ὑπὸ τῆς ἡλικίας περιτραπέντα μηδὲ βλέψαντα εἰς οἷα τοὺς νέους εἰκός, νοῆσαι μὲν οὕτω περὶ τοῦ πατρός, ἀναλῶσαι δὲ φιλοτιμότατα καὶ κρείττω δεῖξαι θανάτου. νῦν ἀπιέναι σε πέπρωτο καὶ παράτασις τῶν τῆς ζωῆς

---

2 ἦ *V* 5 καὶ (1) cancellavi 14 πλεῖον *V* 15 αὑτοὺς scripsi αὐτοὺς *LV*

ὅρων οὐκ ἦν, ἀλλ' ἐξωνησάμην αὐτὸς καὶ τῷ μέτρῳ προσέθηκα οὐ τῷ ταλάντῳ μόνῳ χρησάμενος, ἀλλὰ καὶ τοῖς δάκρυσι τοῖς ἐμοῖς. ταῦτα δὲ δίκαια πάντως καὶ νενομοθετημένα τῇ φύσει. ἐκείνης νόμος τὸ δεῖν παῖδας ὄντας τῶν γεννησάντων φροντίζειν καὶ χάριν ἀπονέμειν ἅπασαν ὅση δυνατή. 57. οὐκοῦν ὑπήκουσα τῷ νόμῳ καὶ τὴν χάριν ἀπέδων οὐ τροφὴν ὀρέξας, οὐκ ἐσθῆτα δούς, οὐκ ἄλλο τι τῶν μικρῶν κἀκ τοῦ ῥᾴστου ποριζομένων, τὴν δὲ ζωὴν αὐτήν, τὸ τιμιώτατον ἀνθρώπῳ κτῆμα καὶ τελεώτατον, ὑπὲρ οὗ ἅπας πόνος αὐτῷ καὶ πᾶσα ἐπίνοια. ὅτι δὲ δι' ἀναλωμάτων, οὐδὲν μέγα. οὕτως ἐξῆν. ἄλλως οὐκ ἐνῆν, ἐπεί τοί γε οὔσης καὶ ἄλλης παρὰ ταύτην πείρας ἑτοιμοτέρας ὥστε τινὰ μετιέναι τὴν σωτηρίαν πῶς ἂν ἐγὼ παριδὼν τὴν ῥᾴστην ὁδὸν ἔμελλον ἄλλην τραπῆναι καὶ τοσαύτην ἀφαίρεσιν ποιῆσαι ὧν ἐγὼ μετ' οὐ πολὺ κληρονόμος χρημάτων; οὐκ εἰκὸς τοῦτό γε. οὐχ οὕτως ἐγὼ φρενῶν ἐνδεὴς καὶ τῆς σῆς φύσεως ἀπολειπόμενος, ἀλλ' ὅ μοι δοκεῖ, ἐρῶ πρὸς ὑμᾶς, ὦ ἄνδρες, μηδὲν ἐνδοιάσας. 58. ὅτι μὲν οὑμὸς πατὴρ αὖθις ζῇ τὸν κίνδυνον ὑπερσχών, σφόδρα γέγηθεν· ὅτι δὲ μετ' ἀναλωμάτων, τοῦτ' αὐτῷ ὑφαιρεῖται τῆς ἡδονῆς. καὶ πολὺ πλέον, ὥς φησιν, ἡ μετὰ δαπάνης θράττει ζωὴ θανάτου κεχωρισμένου τοιούτων. εἴποι δ' ἄν τις πρὸς τὸν πατέρα ὑπολαβών· ὦ χρηστέ, καὶ τί σοι τῶν μικρῶν ἢ τῶν μειζόνων ὅπερ μὴ ἀναλώσαντες μηδὲ πονήσαντες μηδέ τι τῶν οἴκοθεν ἀποβαλόντες ἄνθρωποι κτώμεθα; ὁρᾷς τοὺς γεωργοὺς οἳ θέρους καὶ χειμῶνος περὶ τὰς ἀρούρας πονοῦσιν; ὁρᾷς

7 τῶν νόμων V 8 τουράστου L 16 μετουπολὺ V
20 οὐμὸσ LV

τοὺς εἰς τὰ χαλκεῖα πονοῦντας νυκτὸς καὶ ἡμέρας, τοὺς σκυτεῖς, τοὺς κναφεῖς, τοὺς τέκτονας, τοὺς ἄλλους; τί σοι τὸ τούτων δοκεῖ; ἢ ἵνα τούτους παρέλθω σφόδρα γε ὄντος ἐκδήλου τοῦ κατ' αὐτούς, ἐκ δὲ τῶν σοὶ γνωρίμων τὸν λόγον ποιήσωμαι, οἵ πλουτοῦντες ὑμεῖς ἔχεις εἰπεῖν ὡς πόνων ἄτερ καὶ τοῦ ἀναλῶσαι τοὺς μακροὺς περιβέβλησθε πλούτους; ἀλλ' οὐκ ἂν εἴποις. ἢ ἀνάγκη περιφανῶς ἐναντία φάσκειν σαυτῷ, καὶ γὰρ ἔφησθά που, ὅταν εἰς τὸ σὸν ἔλεγες, τὰ χρήματα ταῦτα, οὐχ ὡς ἔτυχεν οὐδ' ἐκ τοῦ προχείρου, ἀλλὰ πολλῶν τῶν χρόνων πολλὰ πονήσαντα κτήσασθαι. 59. καὶ ἀληθῶς γε, πάτερ. καὶ οὐκ ἔσθ' ὃς οὐ συνθήσεται ὡς τούτου κρατοῦντος ἁπανταχοῦ τοῦ μηδὲν εἶναι προῖκα λαμβάνειν, ἀλλ' ἀντικαταλλάττειν ἀεὶ ἕτερ' ἀνθ' ἑτέρων διδόντας. εἰ δὲ τοῦθ' ἁπανταχοῦ κύριον, τί τὰ μικρὰ λογίζῃ ἔχων ἀντ' ἐκείνων σαυτὸν καὶ ἀφεὶς εὐφραίνεσθαι τῆς σωτηρίας ἀσχάλλεις διὰ τὸν ἀπιόντα χρυσὸν οὐδὲν ὄντα πρὸς ἅπερ ἔχεις κερδάνας;

60. Ναί, φησίν, ἀλλ' ἐχρῆν κἀμοὶ κοινωσάμενον καὶ τὴν ἐμαυτοῦ γνώμην λαβόντα οὕτω πρὸς τήνδε τὴν πεῖραν χωρῆσαι. νυνὶ δὲ οἴκοθεν ἐν τοῖς ἐμοῖς τὸ τοσοῦτον εἰργασμένος ἐστίν. ἐχρῆν ἀληθῶς, ὦ πάτερ, καὶ ἔγωγε κατὰ ταῦτα συντίθεμαι. πλὴν οὐκ ἦν ἄδεια ἀκμάζοντος τοῦ κακοῦ κἀπὶ μικρῶν τινων σαλευούσης σοι τῆς ζωῆς. οὐδ' ἐφεῖτο προσιοῦσιν ἡμῖν λόγον περὶ τῆς χρείας

12 cf. p. 131, 21 sq.

12 τουπροχείρου L   15 ἁπάντων L   23 νῦν V   24 τὸ τοσοῦτον ἐν τοῖς ἐμοῖς V

κινεῖν. ἀλλὰ τότε καὶ λόγος ἐκ σοῦ ὥσπερ ἀποδημῶν ἦν καὶ αἰσθήσεως δύναμις, πνεῦμα δὲ ἦν πλὴν ἀμυδρόν τι δόκησιν παρέχον καὶ τοῦτο ὅσον οὔπω ἀπολιπεῖν. 61. οὐκ ἔδει τότε τοσαύτης ἀωρίας οὔσης προσιέναι καὶ τὸν ἀναισθητοῦντα κινεῖν, οὐχὶ φωνασκεῖν ἐπικεκυφότα κατὰ τῶν ὤτων, οὐκ ἄλλως ἐνοχλεῖν, ἀφ' οὗ προσδοκᾶν ἦν ἀκοῦσαι μηδ' ὁτιοῦν. εἰ δὲ καὶ τὰς αἰσθήσεις ἐρρωμένας ἔχων ἤκουες μὲν ὅ τι λέγοιμι προσελθών, ἐδυσχέραινες δὲ τὸν λόγον καὶ ἰταμώτερον διετίθεσο, εἰκὸς γὰρ ταῦτα δρώσης πολλάκις τῆς νόσου, τί προσῆκεν ἐμὲ δρᾶν ἐπὶ τούτοις; ἡσυχάσαι πρὸς τὸ ῥῆμα καὶ μηδὲν τῶν σοὶ δεδογμένων παρακινῆσαι; ἀλλ' οὐκ ἂν ἔσχε ταῦθ' ὁ νόμος ἰατρῶν ἐπαινεῖν, ὃς σώζειν μὲν καὶ προσηνῶς μετιόντας τὰ πάθη, σώζειν δ' ἔσθ' ὅτε καὶ πρὸς ἀνάγκην, εἰ μὴ ἔξεστιν ἄλλως, διαρρήδην βοᾷ. καὶ θεραπευτὰς δὲ καὶ ἰατροὺς τότε μᾶλλον θαυμάζομεν ἄνθρωποι, ὅταν καὶ τῶν καμνόντων ἀποσειομένων τὰ φάρμακα αὐτοὶ μᾶλλον ἰῶνται. οὓς καὶ παιδευταὶ μιμούμενοι τοὺς διδασκομένους πρὸς παιδείαν ἀνάγουσι. 62. πῶς δὲ καὶ οὐ πᾶς ἀνθρώπων ἐπήνεγκέ μοι τὰ χαλεπώτατα τὰ πρὸς σωτηρίαν μὴ ἐθελήσαντι μετιέναι, ὡς ἄρα καὶ κατεφαίνετο δυνατόν, ἀνδρὸς δὲ γνώμῃ προσέχοντι τοσοῦτον ὑπὸ τῆς νόσου διεφθορότι τοὺς λογισμούς; οὕτω σοὶ μὲν διὰ τὸ πάθος συνέγνωσαν, ἐμὲ δὲ οὐδεὶς ἀφῆκεν αἰτίας. διὰ γοῦν τοῦτο πάνθ' ὅσ' εἶχον ἐκίνησα. καὶ πρῶτον μὲν δὴ ἰατροὺς ἐξήτησα, φάρμακα ὅσ' ἁπλῶς λυσιτελεῖν ἐνομίζετο. εἶτ' ἀπεδοκιμάσθη ταῦτα κατὰ πᾶσαν πεῖραν

20 cf. p. 156, 25

1 ὡς L 3 παρέχων L 7 μηδοτιοῦν L μὴ δοτιοῦν V
9 ἰταμότερον L 24 οὔτωσ V

ἀπελεγχθέντα. ἐγὼ δ' οὐκ ἠμέλουν οὐδ' ἀπεγίνωσκον. ἔτι γὰρ ἐλείπετό μοι ἱερά τις ἄγκυρα, ἡ θεόθεν βοήθεια. πρὸς ἣν ἀπεῖδον ἀπαγορεύσας τῶν ἄλλων. ἱκέτευσα, ἐδεήθην, ἔσπεισα δάκρυα, ἐλεεινὸν ἐμαυτὸν παρέσχον καὶ θεοῖς καὶ ἀνθρώποις. εἶτα καὶ τάλαντον ἀφιέρωσα. εἰ δὲ καὶ πλεῖον ἔδει προσθεῖναι τὴν σωτηρίαν ἐγγυωμένου τινός, προσέθηκα, πάτερ, εὖ ἴσθι, μηδὲν δείσας τὴν σὴν ἀγανάκτησιν.

63. *Καὶ τί περὶ ταλάντου μακρολογῶ καὶ χρυσοῦ καὶ φλυαρίας; αἰτοῦντος κἀμὲ θῦμα λαβεῖν τοῦ θεοῦ οὐκ ἂν παρῃτησάμην τοῦ μὴ δέξασθαι τὴν σφαγήν. οὕτως ἐγὼ πρόθυμος τὰ πάντα ῥαδίως καὶ δρᾶσαι καὶ παθεῖν ὑπὲρ σοῦ. καὶ γὰρ ἥγημαι δεῖν εἶναι παῖδας τῶν πατέρων ἕνεκεν διακαρτερεῖν οὐχ ὅσα ὑπὲρ αὐτῶν καρτεροῦσι πατέρες, ἀλλὰ πολλῷ μείζω καὶ ἰσχυρότερα, εἴπερ ἐκείνοις μηδὲν χρεωστοῦσιν ἡμῖν ὅμως τὰ πάντα τολμᾶται χωρὶς τοῦ γεννῆσαι μηδὲν ὄντας τὴν ἀρχὴν καὶ θρέψαι καὶ παιδεῦσαι, ἡμῖν δὲ μέγα τὸ ὄφλημα πρὸς αὐτοὺς ἐκεῖθεν πάντ' εἰληφόσι. καὶ πρέπον γε μὴ ἐν προαιρέσει κεῖσθαι νομίζειν, ἐν ἀνάγκῃ δὲ μᾶλλον τὸν ὑπὲρ ἐκείνων ἀγῶνα.* 64. *ἀνθ' ὧν ἠγωνισάμην καὶ αὐτός, ὡς μάλιστα συμφέρειν ᾠήθην, οὐ νῦν πρώτως φρόνημα τοιοῦτο λαβὼν ὥστε πάντα γίνεσθαι τῷ πατρὶ ἐν καιρῷ, ἀλλὰ μετὰ τοῦδε πάσας ἡμέρας ἀναστρεφόμενος. καί γε, πρὸς Ἀσκληπιοῦ, πάτερ, σύ μοι λέγε καὶ τοῖσδε τὸν ἐμὸν τρόπον, οἷος εὐθὺς ἐξ ἀρχῆς ἦν, ὡς συνετὸν αὐτίκα παρεῖχον ἐμαυτὸν καὶ πρᾳὺν κἀν τοῖς ἔργοις κἀν ταῖς ὁμιλίαις, ὅταν ἐτύγχανον πρὸς ὑμᾶς φθεγγόμενος τοὺς γονεῖς μήτε τὸ*

1 *δὲ* L 16 *ὅπωσ* L 27 *ἐξαρχῆς* LV | *ἑαυτὸν* LV

φρόνημα κατὰ τοὺς νέους ὑπάρχων καὶ ἅλματα καὶ μεταφορὰς καὶ τοιαύτας κινήσεις, ἃ τῇ ἡλικίᾳ ταύτῃ φιλεῖται, ἀπὸ ψυχῆς βδελυττόμενος, ὡς ἦν μοι τὸ ἦθος κρεῖττον ἢ δεῖσθαι ῥυθμίζεσθαι, ὡς οὔτε προσεῖχον ἀθύρμασι καὶ πρόθυμος ἐβάδιζον ἐς μυσταγωγῶν τρόπον μὲν ἀποσειόμενος παιδικόν, μελέτην δ' ἔχων τὴν παίδευσιν καὶ ἀνδρικώτερον τὴν γνῶσιν δεχόμενος, ὡς πάνθ' ὅσ' ἐκέλευες ἔδρων καὶ πρὸς τὸ σὸν ἐσκόπουν καὶ διετιθέμην ἀεὶ μηδὲν ἔχοντος ὑπὲρ μηδενὸς μήτε τοῦ μυσταγωγοῦ μήτε τοῦ παιδαγωγοῦ, ἀλλ' οὐδὲ σοῦ αἰτιάσασθαι τῶν ἐμῶν ἀεὶ πάσης μέμψεως ὑπερκειμένων. 65. λέγε δή μοι καὶ τὰ μετὰ ταῦτα, ὡς ἀνδρωθῆναι μὲν ἐγένετο καὶ τὴν ἡλικίαν ἐκείνην παραδραμεῖν, οὐ μὴν δὲ καὶ τοὺς ἀγαθοὺς τῶν τρόπων μεθαρμοσθῆναι, ὡς οὐ διέφθειρα τὴν ἁρμονίαν τὴν ἐξ ἀρχῆς, οὐ μετέβαλον τῆς πραότητος, οὐ μετέβαλον τῶν ἠθῶν, ἀλλ' οὐδ' ἀνήκοος ἐφάνην καὶ δυσπειθής, παγιώτερος δὲ μᾶλλον ὑπῆρξα τὰ ἐκ νηπίου φυλάξας καλὰ καὶ τὰ φυσικὰ προτερήματα ἀνδρικῇ φρονήσει ἐκόσμησα. προστίθει δὲ κἀκεῖνα, ὡς ἔχαιρον σωφροσύνῃ, ὡς ἐβδελυττόμην, εἴ τις πέρα τοῦ μετρίου χρήσαιτο οἴνῳ, καὶ ταλαίπωρον ἡγούμην, εἴ τις μὴ ἐτίμα γονεῖς, ἀλγοῦσι μὲν συναλγῶν, εὐφραινομένοις δὲ συνευφραινόμενος, ὡς ἀπεστρεφόμην καὶ κακοδαίμονας ἔλεγον φιλονείκους, λάλους, πλήκτας, παροίνους, πάντας ὑβριστάς.

66. Ταῦτα, πάτερ, πρὸς τούσδε μαρτύρησον ἐμοὶ καὶ ἄλλοτε ἤδη τοῖς φίλοις προθεὶς εἰς διήγησιν καὶ

23 Paul. ep. ad Rom. 12, 15

1 τοὺς om *V* 3 βδελλυττόμενος *V* 4 ὡς] καὶ *V* 5 ἀθύρματι *L* 6 παιδικῶν *L* 12 μεταταῦτα *LV* 16 ἐξαρχῆσ *LV* 21 ἐβδελλυττόμην *V*

σφόδρα ἐπὶ τούτοις καλλωπισάμενος. ἐγὼ δὲ βραχέα ἐπειπὼν καταβήσομαι. τοῦ γοῦν ἀρχῆθέν μοι βίου μέχρι τῶν νῦν ἡμερῶν οὕτω διὰ παντὸς ἀγομένου ἔδει γε τοῖς τελευταίοις τουτοισὶ καταισχῦναι καὶ πᾶν ἡμῖν ὅ τι καλὸν ἐλέγετο ἀφανίσαι τὴν μισανθρωπίαν τούτῳ ὥσπερ κονίαν ἐπαγαγόντα, ἀλλὰ μὴ μᾶλλον ἐπιδιδόναι καὶ περὶ τὸν πατέρα ἔτι φανῆναι χρηστὸν οὐκ ἄν, ὡς ἔδει γε, εἴποι ἀνθρώπων οὐδείς. ἢ σχολῇ γ' ἂν ἄλλῳ τῳ ἐνδέοντι κατεφάνημεν μὴ τῷ πατρὶ ἐκ τῶν δυνατῶν ἐπαρκέσαντες; 67. τοιγαροῦν καὶ τῆς χρείας ἐνστάσης ἐμνήσθην τῆς τάξεως καὶ τὴν ἀκολουθίαν ἐπεδειξάμην καλὴν ἐπιθήκην τοῖς περὶ ἐμοῦ λόγοις τήνδε τὴν πρᾶξιν παρεσχηκώς. ἀλλ' ὡς διετέθην [τῳ] τότε καὶ τῷδ' ἐκινδύνευον παραπλήσιον, ἄγε κάλει μοι τοὺς εἰς τὴν οἰκίαν τότε θαμίζοντας τοῦτο μὲν ἐπισκεψομένους τόνδε, τοῦτο δὲ καὶ τοὺς προσήκοντας ἡμᾶς παραμυθησομένους, ὡς ἂν αὐτοὶ σαφέστερον εἴπωσιν, οἵ μ' ἐπειδὴ οὕτως ἀθλίως ἔχονθ' ὁρῶντες πολλὰ λήγειν πένθους παρῄνουν, ὦ βέλτιστε, λέγοντες, σφόδρα γίνῃ τῆς λύπης. τεθνήξῃ, σαφῶς ἴσθι, πρὸ τοῦ πατρός. ἀλλ' οὐχ οὕτως αὐτόχειρα ἑαυτοῦ εἰκὸς χρηματίσαι μὴ τὸν εἱμαρμένον ἀναμείναντα θάνατον. ταῦτ' ἔλεγον ἐκεῖνοι, ἔπειθον δὲ οὐδαμῶς. 68. τοῦτο δ' ἐμοὶ τί ποτ' ἄλλο γε ἦν ἢ ζῆν ἐθέλειν μετὰ τοῦ πατρὸς ἢ μηδὲ ζῆν ἀγαπᾶν; διὰ τοῦτο καὶ οὐδενὸς ἐτόλμησα φείσασθαι τῶν εἰς ἐμέ. καὶ ἐκινδύνευε μὲν ὁ πατήρ, ἐθανάτων δ' ἐγὼ καὶ ἠγάπων προαρπάσαι τὸν κίνδυνον.

3 διαπαντὸσ *LV* 4 καταισχύναι *LV* 8 ἢ *V* 12 ἐπεδείξαμεν *L* 14 τῳ cancellavi | παραπλήσια *L* 19 λέγειν *L* | λέγοντασ *V* 20 τεθναίης *V* et γρ in marg *L* | εὖ *V* 26 διατοῦτο *LV*

ἀνήλωτο δὲ τὸ χρυσίον καθιερωθὲν τῷ σωτῆρι ἀμφοτέρων χάριν, κἀμοῦ τε καὶ τοῦ πατρός, ἐπειδήπερ καὶ κοινὸς ἀμφοτέρων ὑπῆρχεν ὁ κίνδυνος. εἰ δ' ἄξιόν τι τῆς σπουδῆς ταύτης καὶ τῆς ἐλπίδος συμβέβηκεν, ἔξεστιν ὁρᾶν τὸν πατέρα καὶ ὁρῶντας διδάσκεσθαι. ταῦτ' ἐμοὶ πέπρακται, ὦ ἄνδρες δικασταί, καὶ πεπράξεταί γε αὖθις. οὐ γὰρ ἀφέξομαι λέγειν, εἰ καὶ δεύτερον συνενεχθείη, ἀλλὰ μὴ συμβαίη ποτὲ παραπλήσια τῷ πατρί. οὕτως ἐγὼ ζῆν καὶ ἀναστρέφεσθαι ἔγνωκα καὶ ἀναστραφήσομαί γε τὸν ἑξῆς ἅπαντα χρόνον καὶ οὐκ ἄν, εἴ τι γένοιτο, τῆς γνώμης μεθαρμοσθήσομαι. 69. ὑμεῖς δέ, ὦ ἄνδρες δικασταί, τί πρὸς ταῦτά φατε; ἠδίκησα τὸν πατέρα τῷ ταλάντῳ δείξας ἀναβιοῦντα παῖς ὢν αὐτοῦ; οὐκοῦν τὴν φύσιν αἰτιατέον. ἐκείνη γὰρ μέχρι τούτου προελθεῖν ἐβιάσατο καὶ οὐκ ἐνταῦθα μόνον λῆξαι, ἀλλὰ καὶ περαιτέρω προβῆναι καὶ παθεῖν πλείω καὶ δρᾶσαι. ἐμοὶ δὲ συγγνώμη τυραννηθέντι. τί γὰρ ἦν καὶ ποιῆσαι; ἡττήθην τῆς τοῦ πατρὸς ἀγάπης, ἡττήθην μεμνημένος τῶν ἄνωθεν ἡμερῶν, ὡς ἔστεργε περιών, ὡς προὐτίθει τῆς οἰκείας ζωῆς, ὡς φιλοτίμως ἔτρεφε καὶ ἀνῆγε πάντα κινῶν, ὅπως μὴ ὧν ἐποιεῖτο εὐχῶν ἀπολειφθείην ἐγώ. ὑπὲρ ὧν μὴ χάριν εἰδέναι ἀλλότριον ἐνόμισα ἐμαυτοῦ καὶ ὅλως τῆς φύσεως. διὰ τοῦτο ζῆν ἐπραγματευόμην αὐτόν. καὶ ζῇ γε δι' ἐμὲ ἐρρωμένος καὶ τὰ μάλιστα εὐεκτῶν. εἰ δ' ἀποκηρύττει, οὐδὲν ἐμοὶ πρᾶγμα. ἀποκηρυττέτω, διωκέτω. μόνον αὐτὸς πόρρω κινδύνου μενέτω. μὴ περιπιπτέτω τοῖς αὐτοῖς καὶ πάλιν ἀνιαροῖς.

70. Ἀλλὰ δεινὸν τὸ μηδὲν τῶν πατρῴων

7 συνενεχθείη scripsi συνενεχθῇ *LV* 24 διατοῦτο *LV* 25 ταμάλιστα *LV*

μετέχειν. ἄλλοις μὲν ἴσως, ἐμοὶ δὲ οὐ πάνυ τι χαλεπόν. ἔχω τὸν πατέρα καί, εἰ μὴ τὰ τοῦ πατρός, ἀποχρῶν ἐμοὶ τοῦτό γε ἀντ' ἄλλης εὐδαιμονίας ἁπάσης. εἰ δ' αὐτὸς οὐκ ἐπιστραφήσεται οὐδὲ νομιεῖ τοῦ λοιποῦ παῖδα, ἥκιστα τοῦτό γε τῇ φύσει λυμαίνεται. ἄρρηκτος γὰρ ὁ ταύτης δεσμός, καὶ τούτου κρατήσει, κἂν μὴ τελευτὴν εἴπῃς βίου, οὐδὲν οὐδαμῶς. 71. εἰ μὲν οὖν ἠδικήσαμεν, ἅλις παρῃτησάμεθα. μακρότερα γὰρ λέγειν οὐκ ἔχομεν· εἰ δ' οὐκ ἔστιν ἀδίκημα, διδάσκετε τὸν πατέρα μὴ σφόδρα δυσχεραίνειν τὸν παῖδα ὦ 'γαθέ, λέγοντες, οὐκ ἠδίκησεν ὁ παῖς, ἀλλ' εὐηργέτησεν. ἀξίως ἑαυτοῦ διεπράξατο. καλῶς ἠγωνίσατο. ἔγνω τὴν φύσιν. ᾐδέσθη. ἠλέησεν. οὐκ ἠγνόησε τὸ συγγενές. οὐ παρῆλθεν ὧν φροντίζειν εἰκός. ταλάντῳ σοι τὴν περιουσίαν ἠλάττωσεν, ἀλλ' εἰς θεοὺς ἀνάλωσεν, ἀλλ' ὑπὲρ σοῦ. ζηλωτὸς ἕνεκά γε τούτων ὁ παῖς, εὐσεβής, φιλόθεος, μεγίστη φιλοτιμία γονεῦσι καὶ τῆς σφῶν εὐχῆς ἄξιος. ὡς εἴθε καὶ πάντες οἷς εἰσι παῖδες οὕτως ἔσχον ἐγκαλλωπίσασθαι τοῖς ἑαυτῶν. κόσμος ἀληθῶς ἐστι τοῖς προσήκουσι κατὰ γένος, κόσμος πάσῃ τῇ πόλει, περιλάλητος τοῖς πολίταις, ἀγαθὸν νέοις παράδειγμα, κοινὴ τοῖς ἀκμάζουσι νουθεσία. 72. πολλοὶ τῶν παῖδας ἐχόντων πρὸς τοῦτον ὁρᾶν τοὺς ἑαυτῶν ἀξιώσουσι. πολλοὶ δὲ καὶ τῶν παίδων ζηλωταὶ θελήσουσιν εἶναι. πλὴν οὐδεὶς προσεγγίσει, οὐδεὶς ἔλθῃ πλησίον. φιλότιμος γὰρ ἐσάγαν ἐστί. καί τινα μετ' αὐτοῦ στῆναι οὐκ ἔσθ'

1 τοι L 5 τουλοιποῦ LV 15 ταλάντου LV 28 ἔλθοι L

ὅπως ἀνέξεται. λῆγε γοῦν ἔριδος. χάριν ἔχε τοῖς κρείττοσι. μὴ δυσχέραινε τοῦ ἀναθήματος. ἔχεις τὸ μεῖζον ἐκεῖθεν, τὴν σωτηρίαν καὶ μετ' αὐτῆς τὸν παῖδα τὸν καλόν. χάριν ἔχε καὶ τῷ παιδὶ οἷς σου κραταιότατα ἀντελάβετο φερομένου καὶ στέργε καὶ κληρονόμον κάλει καὶ γηροτρόφον καὶ κηδεμόνα καὶ ζωῆς πρύτανιν καὶ πᾶν ὅ, τι κάλλιστον ὄνομα. 73. ταῦθ' ὑμεῖς πρὸς αὐτόν, ὦ ἄνδρες, εἰ μὴ ἀδικῶν φαίνομαι, καὶ πείσετε, σαφῶς οἶδα, πατέρα τε ὄντα καὶ τῇ φύσει δουλεύοντα, κἂν μυριάκις ἀγανακτῇ κἂν ὀργίζηται. ἡ γὰρ ὑμετέρα ψῆφος ἐνθεῖσα γνῶσιν αὐτῷ τοῦ δικαίου, λαβοῦσα δὲ καὶ τὴν φύσιν συνέριθον ῥᾳδίως ἕξει καταπειθῆ καὶ καταναγκάσει περιέπειν καὶ αὖθις τὸν παῖδα καὶ στέργειν ὡς καὶ πρὸ τοῦ τὴν ὀργὴν εἰς ἀγάπην μεταμειψάμενον.

---

2 τῷ κρείττονι *V* 15 προτοῦ *LV*

Sequuntur quattuor declamationes quae contentionem divitis et pauperis argumentum habent.

XXXV.

Declamatio inscripta *Πλούσιος ἐν λιμῷ θρέψειν ὑπισχνεῖτο τὴν πόλιν, εἰ ἐκδιδοίη τὸν ἐχθρὸν αὐτῷ. ἡ μὲν οὐκ ἔδωκεν, ὁ δὲ ἀξιοῖ ἀποθανεῖν κατὰ τὸν τοῦτο διδόντα νόμον*, qua pauper cicutam a senatu petit, ut patria fame liberetur quam dives inimicus, si pauper ipsi dederetur, se sublaturum esse promiserat, non ita multorum lectorum animos cepit. 'Corporis' igitur fere finibus coercita mansit et in paucas transiit eclogas parvusque est numerus codicum quibus ad hanc aetatem pervenit. Sunt autem hi 16:

Incipio a 'corporalibus'.

1. Hierosolymitanus S. Crucis 57 (= Cr) palimpsestus saeculi XI/XII continet folio 76[vr] verba inde a p. 187, 6 *τουτουσὶ* usque ad p. 190, 15 *κάπηλος ἐμέ[μνητο*, 55[vr] verba quae his succedunt *μνητο] πρὸς* usque ad p. 194, 3 *τυ[ράννῳ*, 50[vr] verba quae his succedunt *τυ]ράννῳ* usque ad p. 198, 1 *διερευνησάμενοι*, 69[vr] verba quae his succedunt *τὸ κοινὸν* usque ad finem (*εὔνοιαν* p. 201, 20). Periit igitur tantum initium. Sed in foliis superstitibus multa aegre vel omnino non dispiciuntur. Vide t. V p. 154 sq. Excussi et quae legi potuerunt adnotavi.

2. Hierosolymitanus S. Sepulcri 107 (= H) saec. XIV fol. 62[v]. Titulo initioque priva falsoque cum antecedente cohaerens declamatio ab iisdem incipit verbis p. 187, 6 *τουτουσὶ πένητας* quibus Cr, ut, quoniam H e Cr non fluxit, fontem communem labem contraxisse statuendum sit. Vide t. V p. 150 sq. Contuli.

3. Vaticanus gr. 940 (= V) saec. XIII/XIV fol. 49[v]. Correctus est manu secunda. Vide t. V p. 152 sq. Contuli.

Ex hoc vel fratre eius gemello descripti sunt duo codices:

4. Monacensis gr. 96 saec. XVI fol. 8ᵛ. Collatus est a Reiskia in usum mariti qui eum Bavaricum secundum appellatum littera *B* insignivit. Vide t. V p. 364 sq.
et

5. Matritensis N-130 saec. XVI fol. 13. Vide t. I p. 428 sq.

6. Laurentianus LVII 21 saec. XIV/XV fol. 48. Vide t. V p. 158 sq.

7. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 434. Vide t. I p. 30 sq. Contulimus ego et Pius Franchi de Cavaleriis.

Corpus mutilatum reddit

8. Parisinus gr. 3019 saec. XIV/XV fol. 173ᵛ. Vide t. IV p. 306 sq.

Transeo ad 'eclogarios'.

9. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 188ᵛ. Correctus est duabus manibus, librarii qui idem pauca scholia scripsit (= *m*), et recentiore (*y*). Vide t. V p. 168 sq. Contuli.

10. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 159. Correctus est manu secunda. Vide t. I p. 48 sq. Contuli.

11. Parisinus gr. 3014 saec. XIV fol. 145ᵛ. Vide t. II p. 375 sq. Adhibitus est a Morello.

12. Ambrosianus I 49 (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 376. Vide t. I p. 363 sq.

13. Parisinus gr. 3018 saec. XV fol. 138. Vide t. V p. 173.

14. Mosquensis bibliothecae synodalis 489 (olim 317) saec. XV fol. 83ᵛ. Vide t. V p. 180 sq.

15. Escurialensis T-II-15 (151 in catalogo Milleriano) e Barberino ipso vel eius fonte descriptus saec. XIV fol. 70ᵛ. Vide t. V p. 7 sq.

16. Vaticanus Ottobonianus gr. 46 saec. XVI/XVII fol. 1. Vide t. VI p. 2 sq.

Ex his quos in censum vocandos esse duximus codices sex *CrHVBMVa* rursus in duas discedunt familias quarum prior codicibus *CrHV*, altera *BMVa* continetur.

Quod inter singulos codices intercedit necessitudinis vinculum hoc tibi reddet stemma:



B etiam vim codicis *f*, per quem *Va* ex *e* fluxit, expertum esse multarum inter eum et *Va* lectionum consensus confirmat.

In universum hic quoque prior familia alteram fide superat.

Testimonia sunt rarissima. Nam si Nicephorum Gregoram excipis, qui in commentario ad Synesii de insomniis orationem p. 428 ed. Pet.[1]) huius et similium declamationum

---

1) Cf. Terzaghi Stud. ital. di fil. class. XII 181 sq. et XIII 437 sq. Verba Synesii sunt p. 155 B *οὐκ ἐν καιρῷ μοι δοκοῦσιν ἐμμελετᾶν τὴν δεινότητα Μιλτιάδῃ καὶ Κίμωνι καί τισι καὶ ἀνωνύμοις καὶ πλουσίῳ καὶ πένητι τὰ ἐκ πολιτείας ἐχθροῖς, ὑπὲρ ὧν ἐγὼ καὶ πρεσβύτας ἀνθρώπους εἶδον ἐν θεάτρῳ ζυγομαχοῦντας·* et D *ποῦ γὰρ ἂν εἴη καὶ πολιτεία τοιαύτη γέρας ἀριστεῖ διδοῦσα κτεῖναι πολίτην ἀντιπολιτευόμενον; καίτοιγε ὅστις ἐνενηκοντούτης ὢν πλάσμα ἀγωνίζεται, εἰς ποῖον καιρὸν ἀνατίθεται τὴν τῶν λόγων ἀλήθειαν;* ad quorum priora (*πλουσίῳ καὶ πένητι*) Nicephorus *ὥσπερ*, inquit, *ὁ Λιβάνιος ἐν μελέταις*, ad altera (*πολίτην*) *τοιαῦτα προβλήματα πολλὰ προτιθέασιν οἱ ῥήτορες ἀλλήλοις γυμνασίας ἕνεκα, καὶ μάλιστα πάντων Ἑρμογένης ὁ Ταρσεύς* (cf. de statibus Rhet. gr. III 30, 22; 52, 10. Quintil. decl. XI), *ὧν τὰ πλεῖστα διαδεχόμενος ὁ Λιβάνιος ἐμελέτα τὴν ὅλην ὑπόθεσιν εἰς μῆκος ἐκτείνων καὶ πλάττων καὶ ὥσπερ σκιαμαχῶν καὶ ἀγωνιζόμενος οὕτως. μέμνηται οὖν ἐνταῦθα ὁ Συνέσιος ἑνὸς τῶν προβλημάτων ἐκείνων· ἔστι δὲ τόδε· πένης καὶ πλούσιος ἐχθροί· ὑπέσχετο ὁ πλούσιος θρέψειν τοὺς πολίτας, εἰ λάβοι τὸν πένητα πρὸς ἀναίρεσιν. ἔδωκεν ὁ δῆμος. οὐκ ἔθρεψεν ὁ πλούσιος τοὺς τοῦ πένητος*

Libanii argumenta etsi non sine errore respexit, auctor florilegii codicis Barocciani gr. 143 id est Melissae[1]) Augustanae unum, Macarius Chrysocephalus[2]) quattuor locos laudavit.

Declamationem in lucem protraxit Fed. Morellus Lib. opp. I p. 386—396 (= Mor) usus ille quidem codice simillimo codicis *M* qui Parisinus gr. 3014 fuisse videtur.[3]) Huius editionis vitia plurima cum ex ingenio tum ope codicis Monacensis gr. 96 correxit Reiskius (= Re) uxorque eius quae editionem curavit (t. IV p. 227—240) has emendationes non ut alias solebat in notis reliquit sed in textum fere recepit. Sed quamquam haec editio magis quam Morelliana textus formam priore familia codicum — huius enim Monacensis est — repraesentatam exhibet, tamen etiam magis ut huic assimilaretur opera erat danda.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum in 'Lectionibus'[4]), A. Gasda[5]), Cobetus.

υἱεῖς. ἀπέθανον λιμῷ. καὶ κρίνεται φόνου et ad *ἐνενηκοντούτης*: *ἐνταῦθα τοῦ σοφιστοῦ Λιβανίου καθάπτεσθαι ἔοικεν ὃς ἐς ἄκρον γῆρας ἐλάσας προὔργου τὸ μελετᾶν ἐποιεῖτο. οὐ γὰρ ἄλλου οὐδενὸς εὑρίσκονται μελέται πλείους τῶν αὐτοῦ οὐδὲ τόσαι.* Argumentum quod Nicephorus protulit a Libaniano recedere patet. De codice qui fertur Nicephori Gregorae cf. t. VI 242 ubi *Nicephorae* in *Nicephori* corrigas.

1) Nam inscriptum est florilegium codicis membranacei saeculi XII fol. 1 *Ἀπομνημονευμάτων ἐκ διαφόρων ποιητῶν τε καὶ ῥητόρων ἔκ τε τῶν θύραθεν καὶ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ φιλοθέου παιδείας ἑκάστη τῶν προκειμένων ὑποθέσεων οἰκείως καὶ ἁρμοζόντως ἔχουσα.* (Reperitur etiam in codice Hierosolymitano patriarch. 255 (Papadop. Kerameus *Καταλ.* I 323). Locus (p. 196, 22 sq.) est in capite *περὶ εὐτυχίας καὶ δυστυχίας* fol. 200. Contuli. Cf. Dressler ann. phil. Fleckeis. suppl. V p. 336 sq. C. Wachsmuth, Studd. z. d. griech. Floril. p. 106.

2) Cf. t. I p. 351 sq. 3) Cf. t. VI p. 509.

4) Cf. t. I p. 77 et V p. 198.

5) Cf. t. V p. 198.

XXXV.

Πλούσιος ἐν λιμῷ θρέψειν ὑπισχνεῖτο τὴν πόλιν, εἰ ἐκδιδοίη τὸν ἐχθρὸν αὐτῷ. ἡ μὲν οὐκ ἔδωκεν, ὁ δὲ ἀξιοῖ ἀποθανεῖν κατὰ τὸν τοῦτο διδόντα νόμον.

1. *Τῷ μὲν δήμῳ πολλὴ χάρις, ὦ βουλή, μηδ'* R IV 227 *ὑπὸ τῆς παρούσης συμφορᾶς ἀμνημονῆσαι βιασθέντι τῆς ἐμῆς εἰς τὴν πόλιν παρὰ πάντα τὸν χρόνον εὐνοίας, οὐ γὰρ ἐδέξατο σῖτον ἐπ' ἐμοὶ τοῦ πλουσίου διδόντος, ἀλλ' ἐνὸν αὐτῷ σῶμα ἓν προέμενον ἀπηλλάχθαι τῆς δυσκολίας μᾶλλον εἵλετο πεινῆν ἢ ποιῆσαί τι τῶν οὐ καλῶν· ἐγὼ δὲ οὔτε τότε ἀντερῶν ἀνέστην τῷ πλουσίῳ καίτοι λόγους ἔχων ἀφθόνους, ἀλλ' ἀνέμενον καθήμενος τὰ δόξοντα τῷ δήμῳ φέρειν ἐγνωκὼς*

Cr = Codex palimpsestus Hierosolymitanus S. Crucis 57
H = Hierosolymitanus S. Sepulcri 107
V = Vaticanus gr. 940
B = Barberinus II 41 (Vat. Barb. 220)
M = Marcianus gr. 439
Va = Vaticanus gr. 82

---

5 *πραγματική M* *μελέτη πραγματική* edd

---

2 *ἐκδιδοίη* scripsi e *VBVa* *ἐκδοίη M* edd 3 *ἀποθνήσκειν B* 5 *μὴ δ' BVa* 6 *ἀπὸ B* 7 *περὶ Va* 9 *σῶμα ἓν* om *B* 11 *ἀντέστην V* 12 *καίτοι*] *καὶ τοὺς Va* *τοὺς B* | *πλουσίους M* Mor 13 *δόξοντα* scripsi auctoribus Re et Cobeto Coll 285 *δόξαντα* libri edd et defendit Iacobsius Lect 100, *φέρειν* vero perperam interpretatur: *„sedebam exspectans, quam sententiam populo ferre placuisset"*

⟨καὶ⟩ ὅ τι ἂν ᾖ ποιεῖν, νῦν τε ἥκω πρὸς ὑμᾶς αἰτήσων τὸν διὰ κωνείου θάνατον παρὰ μὲν τοῦ δήμου τετυχηκὼς ἀμοιβῆς οὐ μικρᾶς τῷ τὸν ἐχθρὸν ἰδεῖν· ἁμαρτόντα τε τῆς πείρας καὶ καταβάντα μετ' αἰσχύνης ἀπὸ τοῦ βήματος, νομίζων δὲ ἐμαυτῷ πρέπειν τελευτὴν ἑκούσιον. 2. οὕτω γὰρ ἂν εἴην δύο κερδάνας, ἐπὶ μὲν τῆς ἐκκλησίας τοῖς ἐκεῖ δόξασι κοσμηθείς, ἐν δὲ τῷ βουλευτηρίῳ λύων ἐμαυτῷ τὴν ἐπὶ τοῖς παρελθοῦσι λύπην. δεῖ γάρ με σώζεσθαι μὲν ὑπὸ τῆς πόλεως πανταχοῦ, R IV 228 | αὐτὸν δὲ μὴ δύνασθαι ζῆν ἐν οὕτω πραττούσῃ τῇ πόλει. 3. ἦν μὲν οὖν τύχης ἀμείνονος πρὶν ἢ συμβῆναι τῇ πόλει δυσχερές τι κεῖσθαί με μηδενὸς τῶν νῦν ἐπαισθανόμενον ἀηδῶν· ἐπεὶ δὲ εἵμαρτό με πολύν τινα χρόνον εὐδαιμονήσαντα μεθ' ὑμῶν ἐπιδεῖν ἃ μή ποτε ὤφελον, τὸν μὲν δῆμον ἐν ἀπορίᾳ τροφῆς, τὸν πλούσιον δὲ ἐν τῇ τοῦ πάντα αἰτεῖν ἐξουσίᾳ, τοσοῦτον γοῦν ἐμαυτῷ χαριοῦμαι, τὸ μὴ μακρὰν ἐᾶσαί μοι γενέσθαι τὴν δυστυχίαν. 4. καὶ οἶδα μὲν ὡς τὸ αὐτὸ τὴν μὲν ἀναιρεῖ συμφοράν, τὴν δὲ ποιεῖ. τὸ μὲν γὰρ μὴ καθορᾶν τὸν λιμὸν κακόν τι διαφυγόντος ἂν εἴη, τὸ δὲ μὴ καθορᾶν τὸν δῆμον μηδὲ τὴν προτέραν ἐκείνην πολιτεύεσθαι πολιτείαν οὐδεμιᾶς ἐλάττων ζημία δημαγωγῷ. οὐκοῦν ἐπειδὴ δυοῖν ἀθυμίαιν οὐκ ἔνι

---

1 *καὶ* inserui om libri edd | *ὅ τι* scripsi *ὅτι* libri edd | *ἦ Va* | „*malim ποιεῖν abesse*“ Re | *τὸν διὰ τοῦ* (om *M* Mor) *κωνείου αἰτήσων θάνατον MVa* Mor 2 *περὶ Va* | *θείου V* 8 *παροῦσι* Iacobs Add 5 Anth Pal III 508 10 *αὐτὸν M* 11 *πριν ἢ M Va* edd 13 *ἐπαισθόμενον B* | *τινα* om *VBVa* 14 *μεθυμῶν B* 15 *ὤφελον V* sed ε in ras m² *ὄφειλον M* *ὤφειλον* edd 16 *ταῦτα B* 17 *ἐάσαι* libri edd 21 *μὴ δὲ MBVa* 22 *οὐδὲ μιᾶς Va* | *ἐλάττων ζημία* scripsi *ἐλάττω ζημίας* libri *ἐλάττω ζημία* edd 23 *οὐκοῦν* scripsi e *MVa* *οὐκ οὖν* edd *ἀλλ' οὖν VB* | *ἐπεὶ MVa* edd | *ἀθυμίαις M*

θατέρᾳ μὴ πάντως περιπεσεῖν, αἱρήσομαι τοὔλαττον κακόν. ἔστι γὰρ ἐμοὶ βαρύτερον τοῦ μηκέθ' ἅπτεσθαι τῶν κοινῶν τὸ οὕτως ἐχόντων ὡς ἔχει προεστάναι.

5. *Θαυμαστὸν μὲν οὖν οὐδέν, ὦ βουλή, τὸ μήθ' ὑμᾶς ἀδακρυτὶ τοιούτων ἀκούειν λόγων μήτε τοὺς πολλοὺς τουτουσὶ πένητας οἳ δεῦρ' ἥκουσιν ἑτέραν μὲν ἀκούσεσθαι προσδοκῶντες γνώμην, ἴσως τινὰ περὶ τῶν παρόντων δυσχερῶν, ἑτέραν δὲ ἀκούοντες, δεήσεις περὶ θανάτου καὶ τοῦ δεῖν ταύτην μοι τὴν ἡμέραν πέρας γενέσθαι τοῦ βίου. τὸ γὰρ πολλοὺς μέν μοι συνειδέναι πόνους, πολλὰς δὲ φροντίδας, πολλοὺς δὲ ἀγῶνας ὑπὲρ σωτηρίας τῶν ὅλων, τοῦτ', οἶμαι, ποιεῖ μὴ μετρίως φέρειν, εἰ γνώμης οὐ φαύλης στερήσεσθε.* 6. *ἐμὲ δὲ καὶ δι' αὐτὸ τοῦτο δεῖ τελευτᾶν, | ὅτι* R IV 229 *μηδὲ τῶν λόγων τῆς ἐμῆς ὑμεῖς ἀνέχεσθε τελευτῆς. πῶς γὰρ ἂν τὴν εὔνοιαν ὑμῶν ἀμειψαίμην ἱκανῶς, εἰ μὴ θνήσκειν ἐπιθυμοίην τῶν περὶ τὸν σῖτον χεῖρον ἐχόντων ὑμῖν; ἵνα δὲ μηδεὶς ἐμοῦ τετελευτηκότος τολμᾷ λέγειν ὡς ἦν μὲν εὔνους τοῖς πράγμασιν ἀνὴρ ἐκεῖνος, περὶ ἐμοῦ δὴ λέγων, πικρὸς δὲ ἄλλως καὶ φιλαπεχθήμων καὶ τοῖς πλουτοῦσι φθονῶν καὶ τὰ οὐκ ὄντα διαβάλλων, ἐντεῦθεν ἄξιον ποιήσασθαι τὴν ἀρχήν.*

7. *Ἐμοὶ γὰρ ἦν, ὦ βουλή, πατὴρ καὶ πένης καὶ*

---

1 *θατέρω παντὸς μὴ B* 2 *μὴ καθάπτεσθαι VBVa* 4 *μὲν* om *B* 6 voce *τουτουσὶ* inc *CrH* *τούτους V* | *ἥκουσιν* scripsi e *B* ut coni Re *ἥκασιν CrHVMVa* edd 7 „*post γνώμην videtur adiectivum aliquod deesse, e. c. εὔελπιν. nisi utroque loco pro ἑτέραν legamus ἕτερα in neutro plur. id quod etiam malim*“ Re 11 *μυρίους CrHV* 13 *μὴ* om *CrHVB Va* 15 *μὴ δὲ CrHBMVa* 16 *ὑμῶν τὴν εὔνοιαν BMVa* Re | *καλῶς BMVa* Mor

δημοτικός. ἄγων δέ με ἐπὶ τὴν αὐτὴν ὁδὸν ἔλεγε καὶ παρῄνει πολλάκις μήτε γῆν μήτε βοσκήματα μήτε ναυκληρίαν, μὴ χρυσόν, μὴ ἄργυρον, μὴ τὸν βασιλέως πλοῦτον μείζω ποτὲ νομίσαι τῆς ἀπὸ τοῦ τὸν δῆμον ἀγαπᾶν τε καὶ φιλεῖν εὐκλείας. τοῦτο δὲ ἔφασκεν ἔσεσθαι καλῶς, εἰ τοῖς εὐποροῦσι καὶ τὴν ἰσηγορίαν οὐ φέρουσι προσκρούειν ὑπὲρ τῶν κοινῶν ἐθέλοιμι μᾶλλον ἢ μετ᾽ ἐκείνων κακουργεῖν τὴν πολιτείαν. 8. *γενόμενος δὴ τοιαύτης κληρονόμος τάξεως ἐπειρώμην μὴ χείρων τῆς παιδείας ἣν ἐπαιδεύθην φαίνεσθαι καὶ τὰ μὲν ὄντα μοι τὰ μικρὰ μένειν εἴων ἐν ᾧπερ ἦν καὶ οὐδεπώποτε κατεμεμψάμην τὴν πενίαν, τῶν δὲ πλουσίων τοὺς μὲν ἐν δημοκρατίᾳ δυναμένους πλουτεῖν ἐπῄνουν καὶ πολλοὺς ἂν αὐτῶν ἀριθμῆσαι δυναίμην ἐμαυτοῦ φίλους, τὸν δὲ ἄνθρωπον τοῦτον τὸν μόνον ἔχοντα σῖτον αἰσθόμενος κρείττονα εἶναι τῶν καθεστώτων βουλόμενον ἠχθόμην, ὁμολογῶ.* 9. *καί, νὴ Δία γε, ἐφοβούμην μὴ τὸν δῆμον τοῦ κρατεῖν ἐκβαλὼν αὐτὸς ἡμῖν ἀντ᾽ ἐκείνου γένηται. καὶ διετέλουν παρατηρῶν τί πράττει, τί μέλλει, τί λέγει, τί γράφει,* R IV 230 *προσπέμπων τε αὐτῷ τῶν ἐπιτηδείων | τινὰς ἐκέλευον σωφρονεῖν. ὁ δὲ ἠγανάκτει καὶ μισθούμενος τοὺς κακῶς με ποιήσοντας εἰσήγγελλε δι᾽ ἐκείνων,*

---

6 *ἱκανῶς* coni Re | *γρ τὴν τῶν νόμων ἰσηγορίαν* in marg Mor perperam, ut videtur, e *τῶν νόμων* l. 7 ad *τῶν κοινῶν* adscripto 7 *ὑπὲρ τῶν κοινῶν* om Mor | *νόμων BMVa*

΄θην

9 *δὲ BM* Mor 10 *ἐπαιδευόμην Va* 12 *οὐδὲ πώποτε VM Va* *οὐδὲ πῶποτε H* 16 *αἰσθόμενος* scripsi e *CrHBVa* *αἰσθανόμενος VM* edd 18 *ἐκβαλὼν τοῦ κρατεῖν BMVa* Mor

19 „*circa γένηται deesse videtur δεσπότης*“ Re cui recte Iacobsius Lect et Gasda oblocuti sunt 20 *μέλλει Va* sed *λ*(2) eras *μέλει M* Re 23 *μεταποιήσοντας B*

ἐγράφετο, ἔκρινε. 10. κἀγὼ μὲν ὑπό τε τῆς ἀληθείας καὶ τῶν νόμων ἐσωζόμην, τῷ δὲ ὁ μισθὸς ἀπώλλυτο. γνοὺς τοίνυν ὡς οὐδαμοῦ τοσούτους εὑρήσει συκοφάντας, ὅσοι δύναιντ' ἂν γενέσθαι τῶν πραγμάτων ἰσχυρότεροι, εἶδεν ὡς μία μόνη λείπεται πρὸς τοῦτο μηχανὴ τῇ πόλει μὲν ἀκαιρίαν περιστῆσαι, τὸ δὲ πρὸς ταύτην δύνασθαι βοηθεῖν αὑτοῦ ποιῆσαι, ἵν' ὁ δῆμος τῷ χρῄζειν τῆς ὠφελείας ἀντιδῷ τι τῶν ἐκείνῳ δοκούντων. 11. τί οὖν ποιεῖ; χρήματα πολλὰ ἔχων συνεωνεῖτο σῖτον παρά τε τῶν ἐμπόρων καὶ τῶν ἐν τῷ γεωργεῖν ὅσον πλεῖστον. καὶ οὐκ ἦν ὡς εἰπεῖν οὐδὲ τὸ σμικρότατον ἑτέρῳ πρίασθαι, ἀλλ' οἱ τοῦ πλουσίου τούτου πανταχοῦ, ἐν τοῖς λιμέσιν, ἐν τοῖς ἀγροῖς, ἐν μέσῃ τῇ πόλει, τρέχοντες ἐπρίαντο πᾶν τὸ φαινόμενον οὐδὲ μέδιμνον παριέντες. 12. ὡς δὲ ἦν αὐτῷ μεστὰ πυρῶν τὰ ταμιεῖα καί τι παρὰ τῶν ὡρῶν ἀντέκρουσεν, ἐνταῦθα ἤδη διακαλύπτει τὸ σόφισμα καὶ ἐφ' ὅτῳ πάντ' ἐκεῖνα ἔπραττεν ὁμολογεῖ. συνειλεγμένων γὰρ ὑμῶν εἰς ἐκκλησίαν καὶ περὶ τούτων σκοπουμένων φθάσας τοὺς οὐδεπώποτε ἡμᾶς, ὦ βουλή, προεμένους

2 καὶ om *BVa* 5 λείπεται μόνη *B* | μόνη om *Va* 7 αὑτοῦ *HVVa* edd scriptura in *Cr* incerta 8 χρήζειν *H BVa* | τί *HVa* 11 ὡσειπεῖν *B* 12 πρίασθαι reposui e libris cum Cobeto Misc 156 πριᾶσθαι edd 14 ἐπρίαντο scripsi ut coni Re et Cobetus l. l. ἐπριῶντο libri edd | πᾶν τὸ φαινόμενον scripsi e *CrHV* τὸ φαινόμενον πᾶν *BMVa* edd 15 μεθιέντες *M* sed γρ παριέντες in marg, *Va* et γρ in marg Mor | μεστὰ αὐτῷ *MVa* Mor μετ' αὐτοῦ *B* 16 σίτων *B* | τὰ om *B* | ταμιεῖα scripsi e *CrHVVa* ταμεῖα *BM* edd | καίτοι *H V* „*malim* καὶ τὰ" Re | καὶ ante παρὰ *CrHV* 18 ὁμολογεῖ scripsi ὡμολόγει libri edd 19 ἡμῶν *HV* 20 τοὺς οὐδεπώποτε ἡμᾶς, ὦ βουλή, προεμένους ῥήτορας scripsi οὐδέπω ποτὲ ἡμᾶς (ὑμᾶς *Cr* sed υ incertum), ὦ βουλὴ, προεμένους ῥήτορας *CrHVVa* οὐδὲ πώποτε ὑμᾶς προεμένους ὦ βουλὴ ῥήτορας *B* οὐδέν πω τοὺς ῥήτορας ἡμᾶς προεμένους (προειμένους edd) *M* edd sed τοὺς οὐδεπώποτε ὑμᾶς, ὦ βουλή, προεμένους ῥήτορας

ῥήτορας τί ζητεῖτε, φησί, τροφάς; ποῦ νῦν εἰσιν οἱ δημαγωγοὶ οἱ κακῶς ἡμᾶς λέγοντες τοὺς πλουσίους; λυσάτωσαν τοῖς πολλοῖς λόγοις αὐτῶν τὴν συμφοράν. ἀθύμως δὲ ὑμῶν πρὸς τοῦτο διατεθέντων ἀλλ' οὐδὲν δεῖ δεδιέναι, φησίν. ἐγὼ γὰρ ἐκεῖνος ὁ μισόδημος σίτου τήμερον ὑμῖν ἐμπλήσω τὴν ἀγοράν. 13. ἐπὶ τούτοις ἐκρότουν ἐγὼ καὶ βελτίω τὸν ἄνθρωπον ἡγούμην γεγονέναι καὶ φιλό-
R IV 231 τιμον | αὐτὸν ἔμελλον καὶ μεγαλόψυχον προσερεῖν. εἰ γὰρ καὶ τιμωρίας ἦν ἄξιος τῷ τὸν λιμὸν εἰσαγαγεῖν, ἀλλ' ὅμως ᾤμην δεῖν τὴν ἐπ' ἐκείνοις αἰτίαν ἀφιέναι τουτοισὶ τοῖς ὕστερον. ὁ δὲ ἦν ὁ αὐτὸς ἢ καὶ χαλεπώτερος. ἡγουμένων γὰρ ὑμῶν ἐπίδοσιν εἶναι τὸ πρᾶγμα καὶ ψυχῆς ἐπισταμένης εὖ ποιεῖν τὴν ἑαυτοῦ τιμῆς εὐθὺς ὥσπερ τις κάπηλος ἐμέμνητο πρὸς ὑμᾶς, ὡς μὲν αὐτὸς ᾤετο, μικρᾶς, σώματος ἑνὸς τῶν πολιτῶν, ὡς δὲ ὑμεῖς ἐδείξατε, μεγάλης. 14. οὔκουν ἠνέσχεσθε, ἀλλὰ καὶ αὐτοὶ πεινῆν καὶ γυναῖκας καὶ παῖδας ὁρᾶν καὶ πάνθ' ὅσα πέφυκε λιμὸς ποιεῖν φέρειν ᾑρεῖσθε μᾶλλον ἢ δοῦναι ἐχθρὸν ἐχθρῷ ποιεῖν ὅ τι βούλοιτο. ἆρ' ὑμῖν, ὦ βουλή, πονηρὸς ἐγὼ καὶ ἄδικος ἄνθρωπος εἰς τοῦτον γεγονέναι δοκῶ ἢ πονηρὸν καὶ ἄδικον εἰς τὴν πόλιν ἄνθρωπον οὐκ ἐῶν ὧν ἤθελε τυγχάνειν

---

coni Re ῥῆμα pro ἡμᾶς scribendum coni Cobetus Coll 285 coll p. 197, 1 perperam

2 οἱ (2) scripsi auctore Iacobsio Lect καὶ libri edd 3 αὐτῶν libri edd 4 ὑμῶν scripsi e *BVa* ἡμῶν *HVM* edd scriptura in *Cr* incerta 6 ὑμῖν scripsi ex *HV* ut coni Mor ἡμῖν *M* edd scriptura in *Cr* incerta om *BVa* 9 αὐτὸν *B* | μεγαλότιμον *Va* 12 ὁ (2) om *BVa* | ἢ om *V* | καὶ om *Va* 13 ὑμῶν scripsi ἡμῶν libri edd 14 τὰ *B* 15 τιμὴν *Va* | ὑμᾶς scripsi e *B* ἡμᾶς *HVMVa* edd scriptura in *Cr* incerta 20 ἐχθρῷ ἐχθρὸν *Va* | ἐχθρῷ om *M* Mor 21 ἄνθρωπος ἄδικος *MVa* Mor 23 ἄνθρωπον εἰς τὴν πόλιν *Va*

παρωξυγκέναι; ἀλλ' οὐ τοῦ λοιποῦ ταῦτα οὐδὲ ἐξαιτήσει με παρ' ὑμῶν ὁ πλούσιος οὗτος πλὴν εἰ τὸν ἐμὸν νεκρόν.

15. *Καί τινες ἐναντιοῦνται καὶ προσιόντες ἐρωτῶσι· τί τὸ καταναγκάζον ἀποθανεῖν; ᾔδειν ὡς οὐκ ἄνευ πραγμάτων ἀποθανοῦμαι τῶν κοινωνῶν μοι τῆς πολιτείας μαχουμένων. οἷς συγγινώσκω μὲν ἀλγοῦσιν, εἰ τὸν αὑτῶν ἑταῖρον ὄψονται πίνοντα τὸ κώνειον, παραινέσαιμι δ' ἂν ἐπιτρέψαι μοι χρήσασθαι τοῖς παρὰ τοῦ νόμου, ὅστις φησὶ τὸν οὐκ ἐθέλοντα ζῆν πρὸς τὴν βουλὴν τοῦτο εἰπόντα τυχόντα τῆς χάριτος ἀπελθεῖν, πρότερον πείσας ἐμαυτὸν ὡς οὐκ εἴη μοι βιωτέον.*

16. *Ἀλλὰ δεῖ μὲν καὶ τὰς αἰτίας λαμπρᾷ τῇ φωνῇ πρὸς ἅπαντας διελθεῖν, ἐγὼ δὲ καὶ τοῦτο ποιήσω. δυστυχοῦσαν ὁρῶ τὴν πόλιν. τοῦτό με πρῶτον ἀνιᾷ. λύπης δὲ μέγιστον ὁ θάνατος φάρμακον. ἤδη τις ἐρωμένου μὴ φέρων | ὑπεροψίαν οὐκ ἔτ' ἠξίωσε ζῆν, ἤδη* R IV 232 *τις γεωργὸς ἀφθέντος αὐτῷ τοῦ ληΐου, ἤδη τις στρατηγὸς νίκης ἁμαρτὼν ὑπὸ τύχης ἀδίκου, ἄλλος παῖδας ἀποβαλών, ἕτερος τὴν οὐσίαν, τὸν δὲ καὶ νόσος ἀνία-*

---

1 *παρωξυκέναι BVa* | *τουλοιποῦ BVa* 2 *εἰ* inserui e *Cr HVMVa* *ἢ B* om edd 4 *κἄν τινες ἐναντιῶνται B* „*malim καίτοί τινες*" Re 5 *τὸ* om *HV* scriptura in *Cr* incerta 8 *αὐτῶν HVBVa* | *πιόντα ὄψονται B* | *πίνοντα* om *Va* | *τὸ κώνειον* scripsi auctore Gasda coll p. 199, 5 *τοῦ κωνείου* libri edd 9 *χρήσασθαι* scripsi e *CrHVB* *χρῆσθαι MVa* edd 12 *πρότερον* in lac 5—6 litt om *B* *τὸν νόμον CrHVVa* | *μοι* om *Va* | *μεμνωτέον Va* *βιωτεύειν B* 13 *μὲν* scripsi *με* libri edd 16 *λύπης — φάρμακον* praemissis verbis *τῆς μελέτης ἐν ᾗ πτωχός τις* (*πτωχὸς τίς* cod) *ἀποθανεῖν ἀξιοῖ, ὡς ἂν ὁ πλούσιος, ὡς ὑπέσχετο, ἐν λιμῷ θρέψῃ τὴν πόλιν* citat Macarius Chrysocephalus fol. 79v | *δὲ* om Macar | *τίς CrHBVa* | *ἐρομένου* Mor 17 *ἔτ'* inserui e *CrHV* om *BMVa* edd 18 *τίς Cr H* | *γεωργός τις BMVa* Mor | *ἀφθέντος HV* | *τίς CrHVa*

τος ἐπὶ τοῦτο ἤγαγεν. 17. ἄγει τοίνυν καὶ ἐμὲ πρὸς τὸν θάνατον ἡ τοῦ σίτου σπάνις. εἰ γὰρ καὶ κοινὸν τοῦτο πόλεων καὶ ἄλλοτε ἄλλως ἐπιὸν καὶ οὐ τοῦτό γε μόνον, ἀλλὰ καὶ λοιμοὶ καὶ σεισμοὶ καὶ θαλάττης ἐπικλύσεις καὶ τούτων ἔτι πλείω προσβάλλειν ἀνθρώποις εἴωθεν, ἀλλ' ὑμᾶς γοῦν ἐβουλόμην ἴσα θεοῖς εὐτυχεῖν. ὑμεῖς γὰρ ἐμοὶ πάντα, παῖδες, περιουσία, ψυχή. 18. τί οὖν φημι; βραδέως ἐπὶ τὸν θάνατον ἥκω, βραδέως ἀνεμνήσθην τοῦ φαρμάκου. οὐ γὰρ ἐχρῆν εὐθὺς ἐπιτιμωμένου τοῦ σίτου; ταῦτ' ἂν ἔπρεπε τῷ μῷ πρὸς ὑμᾶς ἔρωτι. ἐγὼ δὲ ὁ μελλητὴς ἀνέμεινα τὴν τοῦ πλουσίου μέθην, ἐμέθυε γάρ, ἐμέθυεν ἐν τοῖς ἡμετέροις κακοῖς ἐπ' ἐκκλησίας μέσης. καὶ ὥσπερ οὐκ ἐπὶ τοῦ βήματος ἑστηκώς, ἀλλ ἐν ἀκροπόλει καθήμενος οὕτως ἐπὶ τὸν ἐχθρὸν μετὰ τοῦ ξίφους ᾔει. καὶ τὸ ἐμοὶ τοῦδε βαρύτερον, μόνος σίτου τοσούτου δεσπότης ἠδυνήθη γενέσθαι. ἤκουσα φωνῆς ἣν οὐδ' ἂν τῶν μάντεων προλεγόντων ἤλπισα· πωλῶ τροφὰς ὑμῖν τῆς τοῦ πένητος σφαγῆς. ὁ μὲν θνησκέτω, ὑμεῖς δὲ ἐσθίετε.

19. Ναί, φησιν, ᾔτησε μέν, λαβεῖν δὲ οὐκ ἠδυνήθη. καὶ πῶς οὐκ ἄλογον ἀθυμεῖν ὑπὸ τοῦ δήμου φρουρούμενον; ἐγὼ δὲ τὸν μὲν δῆμον, ὅπερ

14 cf. p. 193, 15

1 κἀμὲ *B* 3 ἄλλοτ' *VM* edd 4 θαλάσσης *H* scriptura in *Cr* incerta 5 ἀνθρώποις om *Va* 6 γοῦν om *B* γε *H* scriptura in *Cr* incerta | ἴσα scripsi ex *HVBMVa* scriptura in *Cr* incerta ἴσον edd 9 οὐ γὰρ in lac 4 litt om *B* 11 πρὸς scripsi auctore Re περὶ libri edd ἡμᾶς *MVa* sed in hoc η in υ corr, Mor 12 ἐμέθυεν ἐν] ἐμέθυε *CrHV* 15 τοῦ om *V* | εἴη *Va* 16 τοσούτου σίτου *BMVa* scriptura in *Cr* incerta 18 μάντεων *Va* sed άντε in ras m² 21 φησι *VVa* edd scriptura in *Cr* incerta

ἀρχόμενος εἶπον τοῦ λόγου, πάσης ἄξιον εὐφημίας ἡγοῦμαι, τὴν δ' ἀπὸ τοῦ τὸν ἐχθρὸν τολμῆσαι ταῦτ' ἐν ὑμῖν εἰπεῖν ἀθυμίαν οὐδὲν ἄν μου τῆς ψυχῆς ἐξέλοι. τοῖς μὲν γὰρ ἄλλοις δεινότατον εἶναι δοκεῖ πληγὰς ὑπὸ τῶν δυσμενῶν λαβεῖν καὶ εἰς τὸ σῶμα ὑβρισθῆναι, ἐμοὶ δὲ ἀφόρητον, εἰ προπηλακίζοιτο νόμος, ὥσπερ αὖ μέγιστον εἰς εὐφροσύνην | R IV 233 *ἰσχὺν ἔχειν τοὺς νόμους.* 20. *οὐχ εἷς προπεπηλάκισται νόμος, ἀλλ' ἅπας θεσμὸς ὕβρισται, μᾶλλον δέ, ὅλον τὸ σχῆμα τῆς πόλεως τετάρακται. οὐ γὰρ ὅτι μὴ δεδώκατε τὸν φόνον, οὐδὲν τούτῳ κατὰ τῶν νόμων τετόλμηται, ἀλλ' αὐτὸ δὴ τὸ μὴ δεδόσθαι τοῦ ταῦτα ἃ μὴ προσῆκεν ᾐτῆσθαι μαρτύριον γίνεται. ὑφ' ὑμῶν μὲν οὖν οἱ νόμοι τετήρηνται, ὑπὸ τούτου δὲ κεκίνηνται.* 21. *λόγους εἰσήνεγκεν εἰς ἐκκλησίαν ἀκροπόλει πρέποντας, λόγους εἰς δῆμον κρατοῦντα κεκρατημένῳ προσήκοντας ἀκούειν. καὶ γέγονεν ἐφυβριστότερος τῶν ὄντων ἐν τυραννίσιν ὁ πλούσιος. ἐκεῖνοι μὲν γὰρ καταδουλωσάμενοι τοὺς*

---

1 cf. p. 185, 5 sq. 15 cf. p. 192, 14

---

17 *οὐ παθητικόν, ἀλλ' ἐνεργητικὸν ἐνταῦθα δηλοῖ τὸ ἐφυβριστότερον M*[m]

---

1 *ἄξιοσ Cr* 2 *ταῦθ' H* scriptura in *Cr* incerta 3 *εἰπεῖν* om *CrHV* 6 *ὥσπερ* — 8 *νόμος* om *B* 7 *αὖ* om *Cr MVa* Mor | *σωφροσύνην HVVa* scriptura in *Cr* incerta 8 *νόμος* inserui ex *HMVa* om *V* edd scriptura in *Cr* incerta 9 *πόλεως* scripsi ex *HVVa* *πολιτείας BM* edd scriptura in *Cr* incerta 10 *νόμον Va* 11 *τοῦτο* Mor | *τῶν* om *B* *τὸν νόμον HV* scriptura in *Cr* incerta 12 *αἰτεῖσθαι HV* *ἠττῆσθαι Va* scriptura in *Cr* incerta 13 *γίγνεται VM* edd scriptura in *Cr* incerta | *μὲν* om *B Va* 15 *εἰς* (2)] „*malim πρὸς legi*" Re | *κρατοῦντας* Mor | *προσήκοντα* Mor 17 *ὑβριστότερος B Va* 18 *γὰρ* scripsi e *B* *γε HVMVa* edd scriptura in *Cr* incerta

δήμους αὐτοῖς διδόασιν ἅττ' ἂν ἐθέλωσιν, οὗτος δὲ παρ' ὑμῶν οὔπω τῆς ἀρχῆς ἐκβεβλημένων ἐπήγγελλε ταῦτα ἃ τύραννος μόνῳ τυράννῳ χαρίζεται, οὐδὲν ἕτερον ἢ δεῖξαι βουλόμενος ὡς τῷ δήμῳ κατ' αὐτοῦ δο- R IV 234 ρυφόρῳ χρήσεται καὶ οὐκ ἐξισώσει τὸ | βῆμα μὲν τοῖς μετεώροις, τὴν δημηγορίαν δὲ τοῖς ἐπιτάγμασιν.

22. Οὐκ ἔλαβε, λέγεις. ἀλλ' ἐζήτησεν, ἐν δὲ τῷ ζητεῖν παρέβαινε τοὺς νόμους. μηδεὶς γὰρ ἃ γενέσθαι δεινὸν ἐν δημοκρατίᾳ μηδὲ λεγέτω. τῶν γὰρ δὴ φοβερῶν ἔργων μισεῖσθαι δεῖ καὶ τὰ ῥήματα. ὁ δ' οὐδὲ χάριν οἶδεν ἔτι ζῶν, ἀλλ' ἠδικῆσθαί φησιν οὐ λαβών. καίτοι τὸ μὲν σῶμα οὐκ ἔλαβεν, ἕτερον δὲ οὐκ ἔλαττον, εἰ μὴ καὶ μεῖζον, τοῦ σώματος ἔλαβε. τί τοῦτο; συνείθισε τὸν δῆμον τοιούτων ἀκροᾶσθαι λόγων. καὶ αὐτὸς δὲ αὐτῷ καὶ ἑτέροις οὐκ ὀλίγοις τοῖς τὰ αὐτὰ ζηλοῦν ἐθέλουσιν εὐρεῖαν ἀνέῳξεν ὁδόν. 23. ἐχθρὸς δὲ οὐχ οὗτος ἐμοὶ μόνον, ἀλλὰ καὶ ἄλλοι πολλοὶ πολλοῖς οἳ οὐκ ἂν ἀηδῶς τοιούτους ποιήσαιντο περὶ τῶν διαφόρων αὐτοῖς ἐν ἐκκλησίᾳ λόγους. τούτων δὲ εἰς

---

6 cf. p. 219, 1

---

1 *αὐτοῖς HVVa* | *δίδωσιν Va* 2 *ἐπήγγελλε Va* sed *ι* post *ε*(2) eras 3 *τυράννω μόνω Va* 5 *οὐκ* om *BMVa* Mor 6 *δημιουργίαν V* 7 *ἔλαβεν Cr* | *ἐξήτησεν B* 9 *τῇ* ante *δημοκρατίᾳ BVa* | *μηδὲ λεγέτω* in lac 6—7 litt om *B* | *μὴ δὲ CrHMVa* | *τῶν* — 10 *ῥήματα* omissis *γὰρ δὴ* particulis citat Macarius fol 79ᵛ 10 *ὁ δ'* scripsi *ὅδ'* (*ὃδ' H*) libri edd 11 *ἔστι M* | *ζητῶν MVa* Mor | *ἠδικεῖσθαι M* *ἀδικεῖσθαι BVa* 13 *ἔλαβεν Cr* 15 *αὐτὸς δὲ* scripsi e *CrHV* *αὐτὸς τὲ BVa* *αὐτός τε M* edd | *αὐτῷ CrHV* edd 16 *ζητεῖν BMVa* Mor | *ἀνέδειξεν MVa* *ἔδειξεν B* *ἂν ἔδειξεν* Mor 17 *ἄλλοι*] *ἄλλα CrHV* *ἄλλοις B* | *πολλοὶ* om *B* *πολλὰ CrHV* 18 *οὐκέτ' B* | *ἂν* om *BVa* | *ἀηδῶς* scripsi auctore Cobeto Coll 286 *ἀδήλως CrHVBVa* Re *εὐδήλως M* Mor et Steph. Thes. s. v. | *ποιήσαιντο τοιούτους B* 19 *διαφορῶν B* | *τούτων δὲ* in lac 6 litt om *B* | *ὡς B*

ἔθος καταστάντων ἴσως πού τι καὶ πεπράξεται. ἀλλ' οὐδέποτε τοῦτ' ἔσται. μηδὲ γὰρ γένοιτο, ὦ Ζεῦ. ἀλλὰ κἂν τὸ ἔργον ἀπῇ, ψιλός γε ὁ λόγος πονηρόν. οὐ γὰρ εἰλικρινοῦς ταῦτα δημοκρατίας. ἐγὼ δὲ ζῆν ἐν τοιαύτῃ δύναμαι μόνῃ, μεταποιουμένης δὲ αὐτῆς καὶ τοῦ νόμου οὐκέτι.

24. Τοῦ καιροῦ ταῦτα, νὴ Δία. τοῦ αὐτοῦ τοίνυν ἔστω καιροῦ καὶ τὸ ἐμὲ τεθνάναι. εἰ γὰρ ὁ λιμὸς μὴ λιμός ἐστι μόνον, ἀλλ' ἔχει τι καὶ τυραννίδος, αὐτὸς ὁ καιρός μου καταψηφίζεται θάνατον. ἢ βούλεσθε πάλιν ἐφ' ἑτέρας | ἀκαιρίας, ἄδηλον δὲ οἶμαι τὸ R IV 235 μέλλον καὶ πάντα χρὴ προσδοκᾶν ἄνθρωπον, λόγους τοῖς νῦν ὁμοίους ἀκοῦσαι παρὰ τοῦ πλουσίου; οἷον εἰ πολεμίων ἐπιόντων ὑμεῖς τοῦτον οὐκ οἴεσθε χρημάτων μὲν πρὸς ὑμᾶς μεμνήσεσθαι, τὸν πένητα δὲ αἰτήσειν; τί δέ; ὅπλων δεομένων οὐ τὰ μὲν δώσειν, τὸν πένητα δὲ αἰτήσειν; κοῦφον οὖν ὑμῖν, πρὸς Διός, πολλὰ τοιαῦτα ἀκούειν, ἐμοὶ δὲ καλὸν τὸ παρὰ ἀνδρὸς δυνατοῦ δι' ἐμὲ πολεμεῖσθαι τὴν πόλιν ἀφορήτως; ὧν ὑμῖν τε καὶ ἐμοὶ ἀπαλλαγὴν οἴσει τὸ κώνειον.

10 Dem. Rhod. lib. p. 196, 23

1 *ἀντιστάντων B* | *ποῦ* libri edd 2 *μὴ δὲ HBMVa* | *γὰρ* om *B* 3 *εἱλικρινοῦς BM* 5 *πόλει HV* | *τοῦ νόμου* scripsi e *CrHVBVa* *τῶν νόμων M* edd 8 *τί HBVa*
10 *εἶναι MVa* Mor 11 *δεῖ B* 12 *ὁμοίως Va* | *περὶ Va*
13 *τοῦτον οὐκ* scripsi *δὲ CrHVBVa* *μὲν M* edd sed „*οἱονεὶ πολεμίων ἐπιόντων ὑμεῖς μὲν* (sc. *βούλεσθε quod e praemissis tacite repetendum est*) *δεῖσθαι χρημάτων, τοῦτον δὲ χρημάτων μὲν πρὸς ὑμᾶς μεμνῆσθαι, τὸν πένητα δὲ αἰτήσειν*“ coni Re
14 *μὲν* inserui e *CrHVBVa* om *M* edd | *μεμνήσεσθαι* scripsi *μεμνῆσθαι* libri edd | *οὗτος* post *δὲ M* edd delevi | *αἰτήσειν* — 16 *δὲ* om *V* | *αἰτήσειν* scripsi e *CrHBVa* *αἰτήσει M* edd
15 *δεομένων* scripsi e *CrHBVa* *δεομένοις M* edd | „*malim οὗτος*“ Re | *δώσειν* et 16 *αἰτήσειν* scripsi e *CrHVBVa* *δώσει* et *αἰτήσει M* edd 17 *περὶ Va* 18 *ὧν* — 19 *ἐμοὶ* in lac 12 litt om *B* 19 *καὶ* in marg inser *Va*[2] | *τὴν* ante *ἀπαλλαγὴν* inserendum coni Sintenis | *τίσει CrHVBVa*

25. *Ἀλλὰ ζημία, φησί, τῇ πόλει χρήσιμον ἄνδρα ἀποθανεῖν.* κἀνταῦθα μεμνήσονται λόγων καὶ πρεσβειῶν καὶ ψηφισμάτων ἐμῶν. ἐγὼ δὲ ἄχρηστος μὲν ὑμῖν οὐκ ἂν φαίην γεγονέναι, ψεύσομαι γὰρ καὶ ἐμὲ ἐξελέγξουσι πολλοὶ μὲν νόμοι, πολλαὶ δὲ γνῶμαι, πολλαὶ δὲ πρεσβεῖαι ὧν οὐδεμία τὴν ἐμὴν ἐπηνώρθωσε πενίαν, καίτοι γε βουλομένῳ ῥᾴδιον ἦν. ἀλλ' εἰ καὶ τἄλλα μοι πάντα φιλοπόνως ὑπὲρ ὑμῶν πέπρακται καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι καὶ τῇ πόλει καὶ μελλούσας τε ἔτι καὶ συνισταμένας τὰς τούτου κακοτεχνίας
R IV 236 καὶ κατεῖδον καὶ διεκώλυσα | πολλάκις, ἀλλ' ἐξεῦρέ τι τοιοῦτον πρὸς ὃ μόνον οὐκ ἐνῆν μαχέσασθαι. τί γὰρ ἄν τις καὶ λέγων ἐπεῖχεν ἄνθρωπον ἀγορᾶς νόμῳ σῖτον ὠνούμενον; τί οὖν δεῖ ζῆν τὸν εἰωθότα κρατεῖν νενικημένον;

26. Ἔτι τοίνυν, ὦ βουλή, τοὺς οὐκ ἐκδεδωκότας μὲν ἐμέ, τὴν σιτοδείαν δὲ δρῶντας οὐ ῥᾴδιον μὴ οὐ καὶ φθέγξασθαί τι τοιοῦτον ὁποῖον εἰκὸς τοὺς ἀποροῦντας τροφῆς· *δι' ἕνα ἄνθρωπον ἀπολλύμεθα, δι' ἕνα πένητα φθειρόμεθα.* καὶ γὰρ εἰ λίαν ἐστὲ γενναῖοι καὶ καλοὶ κἀγαθοὶ καὶ τιμᾶτε τοὺς νόμους, ἀλλ' αἱ συμφοραὶ καὶ τὸν ἄγαν σώφρονα πολλάκις ἐξ-

2 sq. Dem. cor. § 320 p. 331, 10 sq.

1 τὸ *CrHV* 4 μὲν om *B* | οὐκ ἂν φαίην ὑμῖν *Va* 5 με *B* μοι *Va* 8 τὰ ἄλλα *V* πάλαι *B* 9 περὶ *Va* 10 τε scripsi γε *CrHBMVa* Mor om *V* Re 11 καὶ(1) om *B* | ἐξεῦρε τί *HB* 12 ἦν *Va* | μάχεσθαι *V* Re scriptura in *Cr* incerta 17 μὲν *Va* | οὐ καὶ om *Va* | οὐκ *M* Mor 18 καὶ om *HBM* | ἐφθέγξασθέ *CrH* ἐκφθέγξασθαί *MVa* Mor 20 καὶ γὰρ εἰ] εἰ γὰρ Mor 21 κἀγαθοὶ scripsi e *CrHB* καὶ ἀγαθοὶ *VMVa* edd | σώφρονας *B* 22 αἱ συμφοραὶ — 197, 1 ἀνάξιον citant Macarius fol 79v et praemissis verbis λιβανίου σοφιστοῦ auctor florilegii inscripti Ἀπομνημονευμάτων ἐκ διαφόρων ποιητῶν τε καὶ ῥητόρων codicis Barocciani gr. 143 fol 200 in capite περὶ εὐτυχίας καὶ δυστυχίας (v. supra p. 184 not. 1) et praemisso

ἤγαγον ἀφεῖναί τι ῥῆμα τῶν αὑτοῦ τρόπων ἀνάξιον. δεινὸν οὖν ἐμοῦ παριόντος ἕτερον ἑτέρῳ δεικνύντα λέγειν· οὗτός ἐστι δι' ὃν ὁ λιμὸς οὐ πέπαυται. γέγονε μὲν γὰρ ὑπ' ἄλλου, μένει δὲ διὰ τοῦτον. ὁ δὲ τρώσας ἐκεῖνος ἕτοιμος ἦν ἰάσασθαι. τίνα ταῦτα οὐχ ὑπερβάλλει θάνατον; 27. *ἀλλ' οὐδεὶς οὐδὲν ἐρεῖ τοιοῦτον, οὐ παῖς, οὐκ ἀνήρ, οὐ γύναιον, οὐ γέρων. ἴσως. ἀλλ' ἔστιν, ὦ βουλή, καὶ σιωπῶντα στένειν. αἴτιον οὖν ἐμὲ τοῦ στένειν εἶναί τισι τὸν αἴτιον τῶν μεγίστων ἀγαθῶν ἐν τοῖς ἔμπροσθεν χρόνοις; σβεσθήτω τοίνυν τὸ παρὸν κακὸν ἑνὸς πολίτου θανάτῳ.*

28. *Τί δέ; ζῶν, φησίν, οὐκ ἂν δύναιο λύσιν εὑρεῖν; οὐκ οἶσθα καὶ παρ' ἄλλοις ἐν ὁμοίοις καιροῖς ὑπ' ἀνδρῶν ῥητόρων ἐπικουρίας εὑρημένας; οἶδα ὡς οἱ μὲν πολιτείαν ἐμπόροις ἐπαγγειλάμενοι καί τινας ἑτέρας δωρεὰς παρ' αὑτοὺς καταπλεῖν ἔπεισαν, οἱ δὲ πρεσβευσάμενοι παρὰ | τοὺς* R IV 237 *ἄμεινον πράττοντας ἔσχον ὑπακούοντας εἰδότας ὡς τὰ τοιαῦτα ἄλλοτε ἐπ' ἄλλους ἔρχεται ⟨καὶ⟩ νοῦν ἐχόντων ἐστὶ δοῦναι χάριν ἣν ἔστιν ἐν ἴσοις κακοῖς κομίσασθαι.*

τοῦ χρυσοστόμου Io. Georgides floril. ed. Boisson. An. I 6, 16 | „*post συμφοραὶ addi velim γε*" Re | *σώφρονα — ἐξήγαγον*] *ἐκίνησαν σώφρονα φθέγξασθαί* Georg
1 *ἀφεῖναι τί B* Macar | *αὐτοῦ HVBMVa* Macar | *ἄξιον M* 2 *οὖν* inserui e *CrHVBVa* om *M* edd | *παρόντος VM* 5 *ἐκεῖνον H* 6 *ὑπερβαλεῖ?* | *οὐδεὶς* om *BVa*
8 punctum post *γέρων* posui e libris signum interrogationis edd
9 *σιωπῶντα Va* sed *ι* in ras m² | *δεῖ* post *ἐμὲ M* edd, post *τισι B* delevi 15 *καιροῖς ἐν ὁμοίοις MVa* Mor | *ηὑρημένας H* scriptura in *Cr* incerta 16 *ἀπαγγειλάμενοι HV* scriptura in *Cr* incerta 17 *καὶ τίνας V* | *δωρεὰς Va* sed ` e ˜ corr m² | *παρ' αὐτοὺς* om *BVa* | *αὑτοὺς CrHVM* edd 20 *ἄλλο τὲ B* | *ἔρχονται Va* | *καὶ* inserui, ut inser *Va* 21 *ἐστὶν H* | *ἣν ἔστιν* in lac 5 litt om *B*

εἰσὶ δὲ οἳ καὶ τὰς τῶν πλουσίων οἰκίας διερευνησάμενοι τὸ κοινὸν ἐκεῖθεν διέσωσαν διδάσκοντες αὐτοὺς μὴ χαλεπαίνειν εἰ λήψεταί τις ἀκόντων ἃ βελτίους ἂν ἦσαν ἑκόντες διανείμαντες. 29. τούτων οὐδὲν ἀγνοῶ τῶν φαρμάκων, ἀλλὰ καὶ λέγειν ἂν ἔχοιμι πόλεις ὀνομαστὰς οὕτω σεσωσμένας. ἀλλὰ ὁρῶ τὰ μὲν ἄλλα ἡμερῶν τινων χρήζοντα, τὸ δὲ τελευταῖον ἕτοιμον μὲν καὶ πολλαχοῦ δὴ καὶ αὐτὸ πεπραγμένον, ἔχον δέ τινα ὄκνον ἐμοί. τί γάρ με βούλει παρελθόντα εἰπεῖν; ἴωμεν ἐπὶ τὰς οἰκίας τῶν πλουσίων, ἐξάγωμεν εἰς τὸ μέσον τοὺς πυρούς, μᾶλλον δέ, τὰς μὲν τῶν ἄλλων ἐῶμεν, τὸν δὲ ὁμολογοῦντα κεκτῆσθαι πλείους τῆς ἡμετέρας χρείας ποιῶμεν σωτῆρα τῆς πόλεως. 30. ἀλλ' οὔτε ἄλλοτε πώποτε οὐδ' ὁτιοῦν ἐπὶ τούτῳ γράφων ἐφάνην νῦν τε οὐκ ἂν φανείην. μὴ γὰρ εἴπῃ τις ὡς ἐγώ ποτε δι' ἔχθραν ἢ λόγον τινὰ εἶπον ἢ ψήφισμα ἔγραψα. καλείτω μηδὲν ὑποστελλόμενος οὓς ἂν ἐθέλῃ τῶν πολιτῶν. ἐμοὶ δὲ φυλακτέον τὴν τάξιν τὴν ἐμαυτοῦ, ὥστε παρὰ τοῦ θανάτου τὰ τοῦ ψηφίσματος γένοιτ' ἄν. ἐκεῖνο μὲν γὰρ ἂν ὑμᾶς ἦγεν ἐπὶ τὸν σῖτον, τοῦτο δὲ τοῦτον ὑμῖν ἐκκομίσαι τὸν σῖτον ἀναπείσει ῥᾷον ἢ εἴπερ ἔλα-

17 sq. cf. ad t. VI 413, 11. Dem. fals. leg. § 237 p. 415, 2

1 τῶν om *B* 3 εἰ — ἀκόντων om *Va* | post τις lac 3 litt *B* 4 ἂν om *CrHV* 5 ὀνομαστὶ *B* 10 ἐξαγάγωμεν *B* 11 τὸ om *CrHV* del Re | τὸν πυρόν *M* 12 ὁμολογοῦντα δὲ *BMVa* Mor 14 οὔτ' *M* | ἄλλο *V* | post ἄλλοτε ras 4 litt *Va* | ἄλλοτέ ποτε *M* πώποτε in lac 6 litt om *B* πῶποτε *H* 15 „*post* ὁτιοῦν *videtur* τοιοῦτον *deesse*" Re 16 εἴπῃ scripsi e *BM* εἴποι *CrHVVa* edd 18 ὑποστειλάμενος *B* 19 ὥστε παρὰ scripsi auctore Re ὥστ' ἐπὶ libri edd | τοῦ inserui e *CrHVBVa* om *M* edd 20 τοῦ om *MVa* Mor | ψηφίσματα *MVa* Mor 22 punctum post σῖτον libri edd delevi auctore Re | ἀναπείσει ῥᾷον ἢ scripsi ἀναπείσει γὰρ ἂν *CrHV* Re ἀναπηδήσει γὰρ ἂν *M* Mor in lac 13—14 litt om *B*, in lac

βεν ὃν ᾔτησεν. ὁρᾷ | γὰρ τεθνεῶτα τὸν ἐχθρὸν R IV 238 *τὸν ἑαυτοῦ. καὶ τί ἂν ζητοίη πλέον;*

31. *Ἀλλ', ὦ βέλτιστε καὶ στήσας ἀπ' ἐμοῦ τρόπαιον, ἀναστὰς ἐνταῦθά μοι πάντων ἀκουόντων ὁμολόγησον ἦ μὴν ἐμοῦ πιόντος τὸ κώνειον εὐθὺς οἴσειν τὰς τροφάς. δέδοικα γάρ, ὦ βουλή, δέδοικα μὴ ἐμοῦ κειμένου ζυγομαχῇ πρὸς ὑμᾶς οὗτος ὡς οὐδὲν ὀφείλων τῇ πόλει· οὐ γὰρ αἰτήσας τυχεῖν.* 32. *ἀλλὰ μή, πρὸς θεῶν, ὦ πλούσιε, μὴ ζητήσῃς διαδύσεις μηδὲ ἐκτείνῃς τὸ κακὸν πρῶτον μὲν ἐνθυμούμενος ὡς, εἰ καὶ σφόδρα τὸν δῆμον ἐμίσεις, ἱκανήν σοι δέδωκε δίκην, ἔπειτα ὁπόσον ἐξουσίας ⟨οἴσει⟩ σοι τὸ μηκέτι τῆς ἐμῆς ἀκούειν φωνῆς τὴν πόλιν. ἐρεῖς ὅ τι ἐθέλεις, γράψεις ὅ τι βούλει. θήσεις νόμους ἀρέσκοντας. τῶν νῦν ἐμὲ καὶ τἀμὰ μιμουμένων ἐρημίαν θεάσῃ πολλήν. μεγάλους ὄψει τοὺς σαυτοῦ κόλακας, τοὺς δὲ πένητας μικρούς, καὶ τοὺς μὲν ἀγορεύοντας, τοὺς δὲ ἐγκεκαλυμμένους.* 33. *ἆρ' οὐκ ἄν, εἰ καὶ σὸς ἦν πᾶς ὁ πανταχοῦ καὶ*

---

2 cf. p. 15, 9 sq.

33—35 litt om *Va* *ἀναπείσει, τί γὰρ οὐκ ἄν; εἰ παρέλαβεν* coni Re *οὐκ ἀπειθήσει γὰρ ἄν* Iacobs App Pors 313 Lect 100

1 *ᾔτησε M* | *ὁρᾷ γὰρ* scripsi *ἑώρα CrHVBVa* *θεάσεται M* edd 2 *τὸν ἑαυτοῦ* om *Va* | *ζητοίη ἂν B* 4 *ὄμοσον* Cobet Misc 166 at cf. excerpt. Darmstad. (cf. t. II p. 118) fol 318[r] *ὁμολογῶ τὸ ὑπισχνοῦμαι ὡς παρὰ λιβανίῳ·* 5 *ἡμῖν HVB Va* Mor om *M* scriptura in *Cr* incerta correxit Re | *πίνοντος M* 7 *ζυγομαχεῖ Va* *ξυρομαχῇ* Mor 9 *ὦ* om *B* | *ζητήσεις M* | *διαλύσεις CrHVBVa* | *μὴ δὲ HBM* 10 *εἰς* ante *τὸ V* | *ὡσεὶ H* 11 *δέδωκεν* edd 12 *ὁπόσον ἀξιώσεις* Iacobs Lect | *οἴσει* inserui auctore Re om libri edd 13 *ὅτι* (1 et 2) *HBVa* | *θέλεις BVa* 15 *τἀμὰ* scripsi ex *HVB* cum Iacobsio Ach T 590 *τὰ ἐμὰ MVa* edd scriptura in *Cr* incerta 16 *τοὺς δὲ πένητας μικρούς* post *ἐγκεκαλυμμένους BMVa* Mor 18 *οὐκ ἄν*] *οὖν BVa* | *πᾶς Va* sed ς e ν corr m[2]

παρὰ πᾶσι σῖτος, ἐλείπετ' ἂν τῶν τοσούτων ἀγαθῶν; εἰ γάρ τις ὑπισχνεῖτό σοι δείξειν ἐμὲ τοιαῦτα αἰτοῦντα ἐν τῷ βουλευτηρίῳ, οὐκ ἂν ἡδέως ἐπὶ τούτοις καὶ R IV 239 *πάσης ἀπέστης τῷ | δήμῳ τῆς οὐσίας;* 34. *μὴ τοίνυν ζητήσῃς ὅπως τούτους ἀποστερήσεις τῆς ἀμοιβῆς μηδ' αὖ δύο ἢ τρεῖς ἡμέρας μεταδοὺς τῶν ὄντων εἶτ' αὖθις εἰς τὰ αὐτὰ φέρων ἐμβάλῃς τὴν πόλιν, ἀλλ' ἕως ἂν ὑπάρξῃ θερίζειν, τρέφε λογιζόμενος πρὸς αὑτὸν ὅτι, εἰ καὶ στῖφος ἔστι σοι μέγα τὸ μὲν κολάκων, τὸ δ' οἰκετῶν, οὔπω ταῦτα δυνατώτερα δήμου πεινῶντος, ᾧ δικαίως ἂν εἰδείης χάριν ὅτι καὶ πόδας καὶ χεῖρας ἔχοντες κάθηνται ἀκροώμενοι λόγων.* 35. *ταῦτ', εἰ καὶ δυσμενὴς ἄνθρωπος, ἀλλὰ πολλῷ σοι λυσιτελέστερα παραινεῖ τῶν παρὰ τῶν συμποτῶν εἰωθότων λέγεσθαι. δέχου δὲ καὶ συμβουλὴν ἑτέραν οὐδὲν ταύτης ἀτιμοτέραν. ἡ τυραννίς, ὦ πλούσιε, πρὶν μὲν κτηθῆναι μέγιστον εἶναι δοκεῖ τοῖς ἐπιθυμοῦσιν ἀγαθόν, κτηθεῖσα δὲ πικρὸν εὐθὺς τῷ κατειργασμένῳ δείκνυται. ὧν γὰρ ἂν αὐτὸς ἑτέρους δράσῃ κακῶς φοβεῖται μὴ πάθῃ πολλῷ χαλεπώτερα. τὸν φόβον δὲ αὐτὸς ὁμολογεῖ τῇ παρὰ τῶν δορυφορούντων φρουρᾷ.* 36. *οἱ δὲ οὐ τὸν παρ' ἑτέρων παύουσι μᾶλλον φόβον ἢ παρέχουσι τὸν παρ' αὑτῶν. ὁ γὰρ ἵνα μή τις ἐπελθὼν ἀποκτείνῃ*

1 *περὶ Va* | *τῶν* om *B* | *τοιούτων BVa* 2 *γὰρ ὑπισχνεῖτό σοι τίς B* | *αἰτοῦντα* om *BVa* 4 *δημοσίῳ B* 5 *ἀποστερήσῃς CrHBVa* 6 *μὴ δ' HBVa* 7 *ἐς B* | *ἐμβάλλῃς Va* Re 8 *αὐτὸν CrH* edd 9 *στῖφος* scripsi e *CrHV* *στίφος BMVa* edd 12 *λόγον H* 13 *σοι* om *CrHV* *μοι B* 14 *συμποτῶν* om Mor sed inserendum monuit Not f VI[v] 15 *δὴ BM Va* Mor | *οὐδὲ HV* 16 *ἡ τυραννίς* — 201,2 *πολλάκις* omissis verbis *ὦ πλούσιε* citat Macarius fol 79[v] 18 *αὖθις B* 19 *αὐτοὺς* Macar 21 *φορᾷ* Macar | *τῶν Va* 22 *φόβον παύουσι μᾶλλον B* | *φόβον μᾶλλον MVa* Mor 23 *αὐτῶν* libri edd | *ἀπελθὼν MVa* Mor

μισθωθεὶς αὐτὸς ἀντ' ἐκείνου τῷ μισθωσαμένῳ γεγένηται πολλάκις. τίς οὖν ἡ τέρψις τρέμοντα ζῆν; πλούσιος δὲ ἐν δημοκρατίᾳ μόνῃ δύναιτ' ἂν εὐδαιμονεῖν. οὐδεὶς γὰρ αὐτὸν ἀφαιρεῖται τὸ τρυφᾶν. μὴ τοίνυν ἀντ' ἀσφαλείας ἐπιθύμει κινδύνων μηδ' ἀγανάκτει πολιτευομένων πενήτων. πολλοῖς γὰρ αἱ γνῶμαι τῆς τύχης βελτίονες. ἀνέχου τοίνυν καὶ παρευδοκιμούμενος καὶ μὴ διὰ τὴν πρὸς τὸν δεῖνα φιλονεικίαν λιμοὺς ἐργάζου καὶ τηλικαῦτα κακὰ μηδέ γ' ἐπιτρέψῃς τῷ θυμῷ τοιαῦτα αἰτῆσαι | πάλιν. δεινὸν γὰρ ἐπι- R IV 240
σπάσασθαι τὸν ἐκ λιμῶν θάνατον δημηγορίαν πονηράν.

37. *Ἐγὼ μὲν οὖν ἄπειμι κάλλιστον ἔχων ἐντάφιον τὸ προκεκρίσθαι τῆς ἐν λιμῷ προτεινομένης εὐετηρίας. ταῦτά πού τις καὶ ἐπιγράψει μοι κειμένῳ. τοὺς υἱεῖς δὲ ὑμῖν, ὦ βουλή, τοὺς ἐμαυτοῦ παρακατατίθεμαι μεμαθηκότας θαυμάζειν ἅπερ ἐγὼ καὶ δέομαι καὶ ἱκετεύω μὴ περιιδεῖν ὑπὸ τῆς τούτου περιουσίας ἐλαυνομένους. ἴσως γὰρ ἂν ἐκ παίδων ἀντίπαλοι γένοιντο τοῖς τούτου παισὶν ἀντεξάγοντες καὶ αὐτοὶ πλούτῳ καὶ ὕβρει πατρῴαν πρὸς τὸν δῆμον εὔνοιαν.*

---

12 cf. t. II 111, 6; VI 337, 9 16 Plat. apol. p. 34 C

---

1 *ἐκείνου* scripsi e *V* sed *ου* in ras m², Macar, ut coni Re *ἐκείνων CrHBMVa* edd | *γεγένηται* om *V* *γίνεται B* 5 *μήτ'* libri edd 6 *πολλοῖς* — 7 *βελτίονες* ad versum comoediae Atticae *γνῶμαι δὲ πολλοῖς τῆς τύχης βελτίονες* revocabat Kockius Com. Att. fr. III p. 502 n. 509 8 *νὴ Δία* Mor 9 *μὴ δὲ HBVa* | *γε HVBVa* | *ἐπιστρέψῃς Va* 11 *λιμῶν* scripsi *λίθων* libri edd | „*δημηγορίᾳ πονηρᾷ malim*" Re 12 *ἐντάφιον ἔχων B* 14 *τάχα VBVa* | *ποῦ Va* | *τίς BM* Mor | *υἱοὺς B* 15 *ὑμῖν* om *CrHV* 18 *αὐτοὶ* ante *ἀντίπαλοι* edd delevi | *τούτου* scripsi e *CrHV* *τοῦδε BMVa* edd 20 *πατρῴαν* (*πατρῷαν H*) *HBVa*

XXXVI.

Declamatio inscripta *Νόμος τὸν θορύβου καὶ στάσεως αἴτιον ἀποθνήσκειν. πένης ῥήτωρ ἐχθρὸς ἦν πλουσίῳ τὰ πολιτικά. ἐν λιμῷ καὶ πολιορκίᾳ ὁ πλούσιος ἐπηγγείλατο νίκην, εἰ τοῦ πένητος ἡ γλῶττα τμηθείη. ἔλαβε. νυκτὸς ἐξελθὼν ἀπεδίωξε τοὺς πολεμίους. τὴν ἡμέραν δημηγοροῦντος αὐτοῦ ὁ πένης παρὼν ἐδάκρυσε. κατέλευσεν ὁ δῆμος τὸν πλούσιον καὶ ὁ πένης ὑπάγεται τῷ νόμῳ*, qua rhetor collegam pauperem qui a divite adversario lingua privatus lacrimis in contione populum adduxerat ut illum lapidibus occideret tumultus et seditionis crimine liberat, facundiae Libanianae amicis haud ingrata fuit.[1]) Itaque non 'corporis' finibus coercita mansit sed etiam in eclogas transiit. Codices autem quibus ad hanc aetatem pervenit sunt hi 25:

Incipio a 'corporalibus'.

1. Laurentianus LVII 21 (= L) saec. XIV/XV fol. 275. Correctus est manu secunda. Vide t. V p. 158 sq. Contulit meum in usum Stephanus Gloeckner.

Ex hoc fluxerunt duo codices:

2. Monacensis gr. 96 (= Mon) saec. XVI fol. 128. Collatus est a Reiskia in usum mariti qui eum littera *B* insignitum Bavaricum secundum appellavit. Vide t. V p. 364 sq.

et

3. Matritensis N-130 saec. XVI fol. 127v. Vide t. I p. 428 sq. et t. V p. 364.

---

1) Cf. schol. codicis *L* ad p. 233, 6 sq.

Similis originis est codex

4. Vaticanus Ottobonianus gr. 46 saec. XVI/XVII fol. 88. Vide t. VI p. 2 sq.

5. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 381. Vide t. I p. 24 sq. Meum in usum contulit Pius Franchi de Cavaleriis.

Corpus mutilatum reddunt codices:

6. Athous Iberon 193 saec. XIV/XV fol. 68v. Vide t. II p. 227

et qui cum hoc consentit

7. Cremonensis 12228 saec. XV fol. 117. Vide t. II p. 186 sq.

et

8. Ambrosianus P 116 sup. (638 in catalogo Martinii et Bassii) saec. XV fol. 179. Vide t. V p. 223.

Transeo ad ‘eclogarios’.

9. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 88v. Correctus est duabus manibus recentioribus, una (*y*) crebro, altera (*n*) raro. Vide t. V p. 168 sq. Contuli.

10. Laurentianus LVII 44 (= La) saec. X fol. 13, sed folia 13 et 14, quibus titulus et initium declamationis usque ad p. 217, 5 *θόρυβον* continentur, manu saeculi XVI suppleta sunt. Correctus est tribus manibus *p*, *f*, *s* quarum ultima etiam scholia rhetorica in margine adiecit. Vide t. I p. 224 sq. Contuli.

11. Vindobonensis philos. et philol. IV 82 (= Vi et ViII) saec. XIV declamationem bis exhibet: prius (foliis 47 usque ad 52v) integram, iterum (foliis 83 usque ad 87v) initio et fine privam (= ViII). Nam folium 83 incipit voce *αὐτὸν* p. 210, 9, folium 87v lin. 6 desinit vocibus *κόλακας καὶ* p. 231, 12, reliqua vero huius folii pars vacua remansit. Uterque textus e *La* ipso vel codice huius simillimo fluxit, alter (ViII) tamen etiam codice *M* adhibito, prior (Vi) manu secunda e *L* correctus est. Vide t. V p. 169 sq. Contuli.

12. Laurentianus LIX 30 saec. XV fol. 301v. Vide t. I p. 417 sq.

13. Athous Laurae S. Athanasii Ω 123 saec. XIII fol. 103. Vide t. I p. 323 sq.

14. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 83 (291). Correctus est duabus manibus recentioribus (= m^2 et m^4). Vide t. IV p. 410. Contuli.

15. Parisinus gr. 3016 (= Par) saec. XV ineuntis fol. 257ᵛ declamationem mutilam exhibet. Nam perierunt post 259ᵛ duobus foliis amissis verba *καὶ παρεῖχεν* p. 214, 14 usque ad *οὐ διώκεις* p. 220, 19 et post folium 262ᵛ, quod desinit verbis *ἀναιρεῖ ταῦτα* p. 232, 10, uno folio amisso finis declamationis. Correctus est manu secunda e codice cum *LM* cognato. Vide t. I p. 53 sq. Contuli.

16. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 63ᵛ. Correctus est manu secunda. Vide t. I p. 48 sq. Contuli.

17. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 38. Vide t. I p. 426 sq.

18. Escurialensis T-II-11 (147 in catalogo Milleriano) saec. XVI fol. 150. Vide t. V p. 366 sq.

19. Parisinus gr. 3014 saec. XIV f. 133. Adhibitus est a Morello. Vide t. II p. 375 sq. et t. VI p. 509.

20. Parisinus gr. 3018 saec. XV fol. 206ᵛ. Vide t. V p. 173 sq.

21. Laurentianus LVII 23 saec. XIV fol. 172ᵛ. Vide t. V p. 176 sq. et supra p. 3.

22. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 119. Vide t. V p. 178 sq.

23. Vaticanus gr. 937 saec. XV fol. 85. Vide t. I p. 329 sq.

24. Mosquensis bibliothecae synodalis 489 antea 317 (304 in catalogo Mattheiano) saec. XV fol. 35. Vide t. V p. 180 sq.

25. Marcianus gr. 445 saec. XV olim Parisios advectus[1]) fol. 171. Folium 175 verbis *συμμάχων ἠτυχηκότων* p. 220, 15 desinit. Codex nullius pretii est. Vide t. II p. 51.

Ab archetypo prioris illius classis codicum quae Hiero-

1) Cf. Bastium Greg. Cor. p. 88 ed. Schaefer.

solymitanis S. Crucis 57 et S. Sepulcri 107, Vaticano gr. 940, Chisiano R VI 43, Laurentiano LVII 27 Wolfenbuttelano continetur quod declamatio afuit aegre ferendum est. Ex alterius vero classis quae sola eam servavit codicibus in censum vocandos esse duxi *MLLaViVi*^II^*ClParBVa*. Qui et ipsi in duas discedunt familias, quarum prior codicibus *M L*, altera codicibus *La Vi Vi*^II^*ClParB Va* continetur, ita tamen ut non solum *Vi* et fons codicum *ClPar* communis vim codicis *L*, sed etiam *Vi*^II^ vim codicis prioris familiae experti sint.

Necessitudinis vinculum quo singuli codices inter se coniuncti sunt hoc tibi reddet stemma:



Codicis Monacensis (*Mon*) qui e *L* fluxit non omnes sed tantum paucas quae ad illud probandum maxime idoneae essent lectiones in apparatum recipere e re esse visum est.

Fides fere par est qua utraque familia archetypum reddidit, qui et ipse iam multas lectiones duplices exhibuit, quarum modo haec modo illa recepta est.

Testimonia fere desunt. Nam solus Macarius Chrysocephalus[1]) usus ille codice familiae *d* tres locos laudavit.

In lucem protracta est declamatio anno 1606 a Fed. Morello (= Mor) Liban. opp. vol. I p. 882—897 qui

1) Cf. t. I p. 351.

praeter Parisinum gr. 3014 apographo codicis *M* usus esse videtur.[1]) Nonnulla huius editionis vitia ope codicis Monacensis 96 Reiskius (= Re) sustulit, pauca ex ingenio correxit, sed uxor quae editionem (t. IV p. 707—723) curavit vel monstra Morelliana Monacensiaque retinere quam mariti emendationes omnes in textu reponere maluit.

Pauca ad textum corrigendum Fr. Iacobsius cum alibi tum in 'Lectionum'[2]) libro et Cobetus contulerunt.

---

1) Cf. supra p. 78.
2) Cf. t. I p. 77 et t. V p. 198.

XXXVI.

Νόμος τὸν θορύβου καὶ στάσεως αἴτιον ἀποθνήσκειν. πένης ῥήτωρ ἐχθρὸς ἦν πλουσίῳ τὰ πολιτικά. ἐν λιμῷ καὶ πολιορκίᾳ ὁ πλούσιος ἐπηγγείλατο νίκην, εἰ τοῦ πένητος ἡ γλῶττα τμηθείη. ἔλαβε. νυκτὸς ἐξελθὼν ἀπεδίωξε τοὺς πολεμίους. τὴν ἡμέραν δημηγοροῦντος αὐτοῦ ὁ πένης παρὼν ἐδάκρυσε. κατέλευσεν ὁ δῆμος τὸν πλούσιον καὶ ὁ πένης ὑπάγεται τῷ νόμῳ.

Ῥήτορος ἀπολογία.

1. *Ὁ μὲν πολλὰ φθεγξάμενος ἐπὶ τούτου τοῦ* R IV 708
βήματος, ὦ δικασταί, πολλάκις ἢ κρίνων κακούργους

M = Codex Marcianus gr. 439
L = Laurentianus LVII 21
La = Laurentianus LVII 44
Vi = Vindobonensis philos. et philol. IV 82 fol. 47
*Vi*II = codex idem fol. 83
Cl = Berolinensis gr. 195 olim Claromontanus
Par = Parisinus gr. 3016
B = Barberinus II 41 (nunc Vaticanus Barb. 220)
Va = Vaticanus gr. 82

5 Thuc. III 108, 2; VI 102, 3

8 *Ἡ στάσις ἀντίληψις ἁπλῆ ἀπ' αὐτοῦ τοῦ πεπραγμένου καί τινος ἐπισυμβεβηκότος κρινομένου LVa ἀντίληψις M*

3 *ἐπηγγείλατο ὁ πλούσιος M* 4 *εἰ Cl* sed ex *ἡ* corr m[4] | *γλῶσσα ClParBVa* | *ξίφει* post *τμηθείη LMon* et in marg *Vi*[2] 5 *ἔλαβε* inserui e *LLaClParBVa* *εἷλε M* om *Vi* sed add in marg m[2], edd | *ὁ πλούσιος* post *ἐξελθὼν Vi* | *ἐδίωξε ClPar* 7 *ὡς κακίστην αἰτήσαντα δωρεὰν* post *πλούσιον Vi* 8 *πένης* scripsi e *MLLaVi* et *γρ* in marg Mor *ῥήτωρ ClParBVa* edd | *τῷ* om *ClPar* | *τῷ κελεύοντι τὸν θορύβου καὶ στάσεως αἴτιον ἀποθνήσκειν* post *νόμῳ Vi* 9 *Ῥήτορος ἀπολογία* om *LaViClVa* 10 *τούτου* in marg *Vi*[2] 11 *δικασταί* scripsi

ἢ βοηθῶν ἀδικουμένοις ἕστηκε σιωπῇ νῦν ἐν ταῖς ἑτέρων γλώτταις τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων, δεῖ δὲ ἡμᾶς οἷς ἔτι περίεστί ⟨τι⟩ φωνῆς καὶ συγχωροῦσιν οἱ πλούσιοι, πᾶν ὅσον ἐστὶν ἐν ἡμῖν συναγωνίσασθαι καὶ μὴ περιιδεῖν τῇ τοῦ φεύγοντος ἀφωνίᾳ βλαπτομένην τὴν τῶν δικαίων ἰσχύν, οὐ μόνον ὅτι πανταχοῦ προσήκει τούτου τοῦ μέρους ποιεῖσθαι πρόνοιαν καὶ τοῖς ἀδυνάτοις τοὺς ἔξω τῶν συμφορῶν ἀμύνειν, ἀλλ' ὅτι καὶ ἡμῖν πολλάκις συκοφαντουμένοις ὁ νῦν εἰς ἡμᾶς βλέπων οὑτοσὶ παρέστη καὶ συνδιέσωσε. 2. καὶ πάντων ἂν εἴημεν κάκιστοι τὰς ἀμοιβὰς ἐν οὕτως ἀναγκαίοις καιροῖς ἐκλείποντες, ἄξιον δὲ καὶ ὑμᾶς, ὦ δικασταί, τό τε δίκαιον αἰδεσθέντας καὶ τὸ πάθος ἐλεήσαντας μὴ προσθεῖναι τῷ πένητι μεῖζον κακόν, τὸ δοκεῖν παραβεβηκέναι νόμον. 3. αὐτὸς μὲν οὖν ὁ πένης οὐ δέδοικε τὸν θάνατον, ἀλλὰ καὶ σφόδρα βούλοιτ' ἂν ἀπελθεῖν, ὁ γὰρ ἐκ τοῦ λέγειν εὐδοκιμῶν καὶ

4 sq. Dem. cor. p. 233, 19 10 cf. t. V 265, 14

e *MLLaViBVa* et γρ in marg Mor ἄνδρες *ClPar* cf. p. 208, 13; 209, 10 et 18; 210, 13; 212, 1; 226, 5; 227, 13; 228, 4; 229, 5; 230, 1 et 8; 232, 1

2 γλώσσαις *MClPar* 3 ὑμᾶς *ViClParBVa* | ἧς *La* | φωνῆς περίεστι *ClPar* | τι inserui om libri edd sed τι φωνῆς vel φωνὴ scribendum coni Mor Not f. VII 4 4 comma post πλούσιοι posui e *ViCl* om *MLaParBVa* edd | ἐστὶ in marg *Vi*[2] | ὑμῖν *ClBVa* sed in hoc υ ex η corr m[2] 6 τὰ ante πανταχοῦ *LaVi* 7 τοῦ inser *Par*[2] 9 ὑμῖν *ViCl* 10 ὑμᾶς *Cl* | διέσωσε *LLaViBVa* 11 εἴη μὲν *La* | κάλλιστοι *Vi* sed κάκιστοι in marg m[2] 12 ἐκλείποντες *M* sed κ in λ corr *y* ἐκλιπόντες *Cl* ἐκλ^(ει)ιπόντες *Par* | καὶ om *Par* Mor | ἡμᾶς *M* sed η in υ corr *y* 13 δικασταί scripsi e *MLLaViBVa* ἄνδρες *ClPar* cf. p 207, 11 | τοῦ πάθους *B* et supra τὸ πάθος *Va*[2] 14 προθεῖναι *La* | τῶ *LLaViClParBVa* 17 ἂν καὶ ἀπελθεῖν Mor sed γρ ἂν ἀπελθεῖν in marg

παραμυθίαν ἔχων τῇ πενίᾳ τὴν πολιτείαν εἶτα τοῦ δύνασθαι παραινεῖν ἐστερημένος κέρδος ἂν ἡγοῖτο τὴν τελευτήν· οὐ μὴν ὑμᾶς γε πρέπει, διότι τῷ κρινομένῳ βαρὺ τὸ περιεῖναι, καταψηφίσασθαι θάνατον. δεῖ γὰρ τὸν ἐν ὑμῖν φεύγοντα μὲν ἀδίκως, τῷ δὲ κεχρῆσθαι συμφορᾷ τῆς τελευτῆς ἐπιθυμοῦντα σώζεσθαι μὲν ὑφ' ὑμῶν, ὕστερον δὲ αὑτῷ περὶ τούτου διαλέγεσθαι. τὴν γὰρ ψῆφον, οἶμαι, οὐ πρὸς τὰς ἐπιθυμίας τῶν ἀγωνιζομένων, ἀλλ' | R IV 709 *ἀπὸ τοῦ δικαίου προσήκει φέρεσθαι.* 4. *οὐκ οἶδα δέ, ὦ δικασταί, τίνα χρὴ γενόμενον τοῦτον τὸν ἄθλιον ἐκφυγεῖν τὴν παρὰ τῶν εὐπόρων ἐπήρειαν. ὅτε μὲν γὰρ ὑπὲρ ὑμῶν ἐχρῆτο τῷ λέγειν, ἀπεστερεῖτο τῆς γλώττης ὑπὸ τῶν ἐχθρῶν ὡς οὐδὲν ἔτι λυπήσων, πάλιν δὲ σεσιγηκὼς ὡς ἀδικῶν κρίνεται. εἰ δὲ καὶ λέγων καὶ μὴ λέγων ἐν ἐγκλήμασιν ἔσται καὶ κακοῖς, τί ζητήσας ἀδείας τεύξεται;* 5. *τοῖς οὖν ἁπανταχοῦ δεινὰ πάσχουσι καὶ μηδ' ἀναπνεῖν ἐωμένοις μία καταφυγὴ τὸ παρ' ὑμῶν, ὦ δικασταί, φιλάνθρωπον. οὗ καὶ νῦν τοῦτον ἀπολαῦσαι δίκαιον, ἄλλως θ' ὅτι τῷ μὲν δοκεῖν ὁ πένης κρίνεται, τῇ δ'*

---

2 *τέλος Va* sed *κέρδος* suprascr m[2] 3 *τὸ περιεῖναι βαρὺ τῷ κρινομένῳ LaViVa* sed in hoc *τὸ* eras 4 *καταψησίσασθαι Va* sed *τὸ περιεῖναι* suprascr m[2] 5 *ἡμῖν MPar* 6 *ἐπιθυμοῦντι La* 7 *ὑμῶν* scripsi e *ViParVa* sed in hoc *υ* in ras *ἡμῶν MLLaClB* edd | *αὑτῷ* scripsi e *M* *αὐτῷ LLaViClParB Va* edd | *διαλέγεσθαι περὶ τούτου M* | *τὴν* — 9 *φέρεσθαι* in marg *Vi*[2] *τὴν γὰρ ψῆφον Par* sed *ῆ* ex *ῶ* et *ο* ex *ω* corr m[2] *τὰς γὰρ ψήφους Cl* 10 *ἄνδρες ClPar* edd cf. ad p. 207, 11 11 *τὸν ἄθλιον τοῦτον LPar* Re *τὸν ἄθλιον* inser *Va*[2] 12 *ὑμῶν* scripsi e *ClParBVa* sed in hoc *υ* in ras m[2] *ἡμῶν MLLaVi* edd 13 *ἀπεστέρητο M* 16 *καὶ* eras *M* om *Vi ClPar* | *ζήσας LaViVa* sed in hoc *τή* inser m[2] 17 *μὴ δ' Vi ClParVa* | *ἀναπλεῖν Par* sed *ν* supra *λ* m[2] 18 *καταννγὴ Vi* sed *καταφυγὴ* in marg m[2] | *ὑμῖν Cl* | *ἄνδρες ClPar* cf. ad p. 207,11 19 *καὶ* om *B* | *δίκαιον M* sed *δ* in ras *y* 20 *ἀλλ'*

ἀληθείᾳ ὁ δῆμος δοκιμάζεται. καὶ γὰρ τὸ περὶ τὸν πλούσιον ἔργον ἐκείνου, ὥστε τῆς ἐφ' ἑκάτερα ψήφου τῷ φεύγοντι τὸν δῆμον ἀνάγκη κοινωνεῖν. 6. *μηδεὶς δὲ ὑμῶν ὡς εὐεργέτου βεβλημένου τοῖς λίθοις τὴν γνώμην ἐχέτω μηδ' ὑπαγέσθω τοῖς ἐγκωμίοις ἃ σεμνύνων τὸν πλούσιον ὁ κατήγορος διῄει τραγῳδῶν μὲν τὴν πολιορκίαν, θαυμάζων δὲ τὴν ἄτοπον ἔξοδον, αἴρων δὲ τῆς νίκης τὸ τάχος. ἂν γὰρ ἡσυχῇ καὶ τοὺς παρ' ἡμῶν δέξησθε λόγους, οἴομαι δείξειν αὐτὸν οὐχ ὅπως εὐεργέτην, ἀλλὰ καὶ πονηρὸν εἰς ὑμᾶς καὶ κατεσκευακότα τὸν πόλεμον, ἀλλ' οὐ κινδύνους αὐτομάτους λύσαντα.*

7. *Δότε δέ, ὦ δικασταί, μικρὰ πρότερον διαλεχθῆναι τῷ πένητι. τοῦτο γὰρ αὐτῷ λοιπὸν λεγόντων ἀκούειν. εἰς ταῦτά σε κατέστησεν ἡ σὴ πολιτεία, κακόδαιμον. εἰς τοῦτό σε συμφορῶν προήγαγε τὸ μὴ γνωρίζειν τὴν τύχην. ἀπὸ τῶν ψηφισμάτων σοι τῶν γενναίων τοῦτο τὸ δεινὸν ἐφύετο, ἀπὸ τῶν συμφερόν-*

ὡς θ' La ἀλλ' ὥσθ' Vi | *τὸ LaViClPar* | *τῇ δ' ἀληθείᾳ* scripsi e *MLBVa τὸ δ' ἀληθὲς LaVi* sed in hoc *τῇ δ' ἀληθείᾳ* in marg m², *ClPar* sed in hoc *ὲς* ex *ῶς* corr m², edd

1 *τὸ Par* sed *ὁ* ex *ῇ* corr m² 2 *καὶ* ante *τῆς ML* et in marg *Vi*² edd delevi 3 *τὸν δῆμον* e *τῷ δήμῳ* corr *Par* 4 *γρ κεκλημένου* in marg Mor 5 *ἑλέτω* Mor | *μὴ δ' LVi ClParBVa* 6 *μὲν* om *Cl* 8 *νυκτὸς LaVi* 9 *οἶμαι BVa* | *δόξειν B* | voce *αὐτὸν* inc *Vi*II 10 *οὐκ* ante *εὐεργέτην* libri edd delevi cum Cobeto Coll 299 Misc 157 | *ἡμᾶς MCl* | *καὶ* om *Par* 11 *τὸν* om *Vi*II 13 *δέ* reposui e libris *δὴ* edd sed *γρ δὲ* in marg Mor | *ὦ* om *Vi*II | *ἄνδρες ClPar* edd cf. ad p. 207, 11 14 *λέγοντα Va* sed *α* in ras et *όντων* suprascr m² 15 *σὴ* om *Cl* inser *Par*² | *ὦ* ante *κακόδαιμον ClPar* 16 *σε* om *Vi*II*Cl* | *προσήγαγε* Mor sed *γρ προήγαγε* in marg | *μὴ δὲ B καὶ L* sed *μὴ* in marg 17 *σου ClPar* 18 *τὸ γενναῖον L* sed in *τῶν γενναίων* corr m² *γενναίων Va* sed *'ων* in ras m² | *τὸ* om *Vi* | *τῶν* inser *Par*² om *LaViVi*II*ClBVa*

των νόμων, ἐκ δημοτικῆς παρρησίας. 8. *λαμπρὸν ἦν εἰπεῖν | γνώμην ἀρίστην καὶ πεῖσαι τὰ δέοντα* R IV 710 *καὶ κωλύσαι πραχθῆναι τὰ μὴ προσήκοντα, λαμπρόν, ἀλλὰ σφαλερόν. δίκαιον τῇ πατρίδι συμπονεῖν καὶ κήδεσθαι τῆς ἐλευθερίας καὶ διελέγχειν σκευωρούμενον πλούσιον, δίκαιον, ἀλλ᾽ οὐκ ἀσφαλές. τοῖς νόμοις ἐθάρρεις εἰς ἐπικουρίαν. εἶτ᾽ οὐκ ᾔδεις ὅτι καὶ νόμοι πολλάκις ἡττῶνται χρημάτων; οὐκ ἤκουες τῶν ποιητῶν* **ᾀδόντων τοῦ πλούτου τὴν ἰσχὺν καὶ ὡς ἄγει τὰ τῶν ἀνθρώπων ᾗ βούλεται;* 9. *ἀλλ᾽ ἤλπισας τρόπῳ δικαίῳ κρατήσειν περιουσίας, σὺ πλούτου κρατήσειν ἄνθρωπος μόλις ἱμάτιον κεκτημένος σαπρόν; οὐκ ἦν ἄμεινον ἔλαττον φρονεῖν καὶ συλλέγειν ἀργύριον καὶ τὸν οἶκον συναύξειν; ἀλλ᾽, ὦ πολυπρᾶγμον σὺ καὶ σαυτὸν ἀγνοῶν, προσέκρουες, ἐμισοῦ, παρώξυνες ἄνθρωπον ῥᾷστα ἂν καὶ τυραννίδα κτησάμενον. τοιγαροῦν εἰς τὴν φωνὴν ἐζημίωσαι δι᾽ ἧς ἐλύπεις καὶ σιγᾷς ἄκων ἑκὼν οὐ σω-*

---

5 cf. ad t. V 205, 6 et praef. ad decl. XL   9 cf. ad p. 108, 6

---

1 *παρρησίας Va* sed *γρ παντείας* suprascr m[2] *πολιτείας B* | *ἦν* inserui e *LLaViVi*^II^*ClBVa* *ἂν* inser *Par*[2] om *M* edd 2 *καὶ πεῖσαι* — 3 *προσήκοντα* om *B* 3 *κωλῦσαι M* sed ˜ in ʹ corr *y*, *LClVa* sed in hoc *κω* in lac 2 litt inser m[2], fortasse recte at cf. ad t. I 272, 5 | *τὰ μὴ προσήκοντα* inser *L*[2] et in marg *Vi*[2] om *LaVi*^II^*ClParVa* 4 *συμπνεῖν Cl* 6 *δίκαιον* in marg *Vi*[2] 7 *ἐπικουρίαν M* sed *ρ* in ras *y* | *καὶ νόμοι* — 8 *χρημάτων* praemissis verbis *τῆς μελέτης ἐν ᾗ πένης ῥήτωρ διὰ πλουσίου ἀριστείαν* (*ἀριστίαν* cod) *τὴν γλῶτταν τμηθεὶς καὶ δακρύσας αὖθις ὑπάγεται τῷ νόμῳ* citat Macarius Chrysocephalus fol 79r 9 *πλουσίου* (*'του*) *L* | *καὶ* om *M* 10 *ᾗ* del *Va*[2] | *ἤλπισε Vi* | *δικαίῳ* inser *Par*[2] om *Cl* 11 *ἄνθρωπος* om *B* | *κεκτημένος μόλις ἱμάτιον M* 12 *σαθρόν* Cobetus Misc 158 at cf. ad p. 84, 5 14 *ὡς ClPar* *ὁ Vi*^II^ | *πολυπρᾶγμον M* sed ˜ in ras *y* *πολυπράγμων Vi*^II^*Par* 15 *γρ ῥᾷστον* in marg Mor 17 *ἐζημίωσαι* scripsi e *MLLaViBVa* *ἐζημίωσας Vi*^II^ *ἐζημιώθης ClPar* edd sed *γρ ἐζημίωσαι* in marg Mor

14*

φρονήσας. 10. ἐπειδὴ γάρ, ὦ δικασταί, πάντα στρέφων καὶ πεῖρας οὐδὲν παριεὶς οὔτ᾽ ἐκ συκοφαντίας τοῦτον εἶχεν ἑλεῖν οὔτε χρήμασι μεταστῆσαι καὶ γενέσθαι πεῖσαι τῶν περὶ αὑτὸν μισθοφόρων, ἐβούλετο δὲ παρανομεῖν, ὁ δὲ οὐκ ἐπέτρεπεν, εἶδεν ὅτι τῆς μὲν πόλεως εὐφραινομένης οὐκ ἔστι λαβεῖν παρὰ τοῦ πένητος τὴν δίκην, δεῖ δὲ κίνδυνον φέροντα ἐπιστῆσαι τῷ κοινῷ καὶ τὰ πράγματα οὕτως εἰς στενὸν ἐλπίδων ἀγαγεῖν ὥστε τὸν δῆμον πάντα εἶξαι καὶ παριδεῖν πρὸς τὸν φόβον τοὺς νόμους. 11. τί οὖν ἐπιχειρεῖ; θεάσασθε, ὡς σοφῶς πόλεμον εἰς τὴν χώραν εἰσάγει καὶ κινεῖ στρατὸν ἐφ᾽ ἡμᾶς. πάντως δὲ οὐ χαλεπὸν στρατηγοῖς καὶ ταξιάρχοις ἀναλώσαντα χρυσίον καὶ τἄλλα συμπράξειν ἐπαγγειλάμενον πεῖσαι τὰ ὅπλα λαβεῖν. ἐπεὶ δ᾽ οὖν ἐνέπεσεν ἐξαίφνης εἰς τὴν χώραν ὁ πόλεμος,
R IV 711 ἡμεῖς μέν, ὅπερ ἦν ἀνδρῶν ἀγαθῶν, ἐξιέναι, | κωλύειν, ἀποκρούεσθαι, τὰ τοιαῦτα ἐνεθυμούμεθα, ὁ δὲ πλασάμενος σχῆμα δεδιότος καὶ τοῖς παροῦσιν ἀχθομένου τὸ βῆμα καταλαβὼν κατεῖχε τὸν δῆμον μακρολογῶν νῦν μὲν πολλῆς βουλῆς δεῖσθαι τὸ πρᾶγμα λέ-

1 ὦ om Vi^{II} | ἄνδρες *LClPar* edd cf. ad p. 207, 11 | πάντως *Cl* 2 παριεὶς *Va* sed ι eras παρεὶς *Vi* παρίει Vi^{II} | οὔτε *LLaViBVa* et γρ in marg Mor | ἐκ inser Vi^{2} om *LaBVa* et γρ in marg Mor | γρ συκοφαντίαν in marg Mor | τοῦτον εἶχεν scripsi e *MLaVi*Vi^{II} εἶχε τοῦτον *LClParBVa* edd 3 μεταστῆναι Vi^{II} | καὶ γενέσθαι πεῖσαι in marg Par^{2} 4 αὐτὸν libri edd | ἠβούλετο Vi^{II} 5 οἶδεν *Par* 6 τὴν om *M* 7 ἐπιφέροντα Vi^{II}*B* 8 ἐλπίδος *La* 9 καὶ ante τὸν *M* edd delevi | παρὰ? 10 φόνον *L* | γρ θεάσασθαι in marg Mor 11 σαφῶς *Cl* σοφῶ Vi^{II} | punctum post σοφῶς libri edd delevi „*sic distinguo*: θεάσασθε ὡς σοφῶς (*scil.* ἐπεχείρησε); πόλεμον“ Re 12 στρατιὰν *Cl* | δ᾽ Vi^{II} 13 καὶ ταξιάρχοις in marg inser Vi^{2} om *La* | ἀναλώσαντα *Par* sed ω ex υ corr m^{2} | τἆλλα *La*Vi^{II} 14 ἐπηγγελμένον *Cl* | ἐπεὶ δ᾽ ἂν *Par* sed ἂν in οὖν corr m^{2} ἐπειδὰν *Cl* 15 εἰς τὴν χώραν ἐξαίφνης *Cl* 16 ἀνδρῶν om Re 17 ἐνθυμούμεθα Vi^{II}

γων, νῦν δὲ τὴν τῶν ἐπελθόντων δύναμιν ἄμαχον εἶναι διήει καὶ τῆς ὑστεραίας ὅμοια καὶ πάλιν παραπλήσια. καὶ οἱ μὲν τῷ τείχει προσήεσαν, ἡμεῖς δὲ ἠκούομεν λόγων, ὁ δ' ἀντιλέγων ἐπεστομίζετο, ὁ δὲ σῖτος ἐξανάλωτο. 12. *γνοὺς δὲ ὁ γενναῖος ἐκεῖνος εἰς ἔσχατον ἀθυμίας ἡμᾶς ἥκοντας καὶ νομίσας ἤδη τὴν βουλὴν αὑτῷ πρὸς τὸ πέρας ἰέναι ὁ μεθ' ἡμῶν καὶ πρὸ ἡμῶν τρέμων καὶ συστελλόμενος θρασὺς ἐξαίφνης καὶ ἀνδρεῖος ἀπὸ τῆς τρυφῆς ἦν ἴστε καὶ τί ζητεῖτε; φησί. λελύσθαι τὴν πολιορκίαν; ἐγὼ δίδωμι τοῦθ' ὑμῖν. ἐγὼ πρυτανεύω τὴν νίκην. ἐγὼ κύριος μηκέτ' ἐνοχλεῖσθαι τὴν πόλιν. ἀλλὰ δεῖ δή με δωρεὰν προλαβεῖν.* 13. *ὑπηκούσαμεν, ὁ δ' εἰς τὴν αἴτησιν καταστὰς οἵαν, οἵαν, Ἥλιε, φωνὴν ἀφῆκεν. ὁ κηδεμὼν τῶν σωμάτων καὶ τῶν νόμων καὶ τρόπαιον ὑπισχνούμενος οὐ πλέθρα γῆς ᾔτησεν, οὐ σίτησιν, οὐ στῆναι χαλκοῦς, ταῦτα δὴ τὰ τῆς δημοκρατίας ἐπιχώρια. μέτριον δ' ἂν ἦν, εἰ φόνον ᾔτησε τοῦ πένητος. εἰ γὰρ καὶ λίαν ὠμὸν καὶ θηριῶδες, ἀλλ' οὐκ ἔστι γε*

---

1 *νῦν* scripsi e *LLaViVi*II*ClParVa* *νυνὶ MB* edd | *τῶν* inser *My* 2 *διήει* ante *ἄμαχον ClPar* *διήει L* sed *ὼν* supra *ει* m2 *διιὼν M* et *γρ* in marg Mor Re sed cf. t. III praef. p. XI | *τῇ ὑστεραίᾳ Vi*II „*malim καὶ τὰ τῆς ὑστεραίας ὅμοια καὶ πάλιν καὶ παραπλήσια, ubi καὶ πάλιν idem erit atque simplex πάλιν*“ Re 3 *δ' B* 4 *ἀπεστομίζετο Vi*II 5 *ἐξανάλωτο* scripsi e *ML* *ἐξανήλωτο Vi*II *ἐξῆνάλωτο* (α supra) *Par* *ἐξηνάλωτο LaViClBVa* edd 6 *ἡμᾶς* inserui om libri edd 7 *αὐτῷ* libri edd | *ἰέναι Va* sed ῾ in ᾿ corr m2 8 *τὲ* ante *καὶ ClPar* | *συνεσταλμένος Vi*II 10 *λελῦσθαι ViVi*II*Va* sed in hoc ῀ e ´ corr m2 | *τοῦθ'* scripsi e *LClParBVa* *τοῦτο MLaViVi*II edd 12 *τοῦ* ante *μηκέτ'* inser *Cl*4 | *μηκέτι Par* | *δὴ δεῖ* Mor | *δή M* sed *ή* in *εῖ* corr *y* 13 *προςλαβεῖν B* | *ὃ LaVi*II *ὃ ViVa* | *εἰ Mon* Re 14 *οἷαν*(2) om *LaViVi*II 17 *οὐ* ante *ταῦτα Cl* 18 *δ'* inserui e *Vi* om reliqui libri edd | *οὖν* Mor sed *γρ ἂν* in marg | *καὶ* ante *φόνον Vi* 19 *γὰρ Vi* sed *δὲ* in marg m2 *δὲ M*

τοῖς ἀπελθοῦσιν ὧν πεπόνθασιν αἴσθησις. τῷ δὲ οὐδὲ τοῦτο ἐξήρκεσεν, ἀλλ', ὦ θεοὶ καὶ δαίμονες, ὢ καινῆς τιμωρίας, ἐπὶ τὴν γλῶτταν ὥρμησε τῶν πολιτῶν ἑνός. μισθὸν ᾔτησε τῆς ἀριστείας τὴν ἀφωνίαν τοῦ ῥήτορος σχήματι δημοκρατίας ἀναμίξας τυραννίδος ὠμότητα. καὶ ψήφισμα μὲν ἡ δωρεά, τυραννικὸν δὲ τὸ τόλμημα. καὶ παρ' ἡμῶν μὲν ᾔτει λαβεῖν ὡς νόμων ὄντων, ἐξή-
R IV 712 τει | δὲ λαβεῖν ἃ κεκώλυται τοῖς νόμοις. 14. ὁ μὲν οὖν δῆμος ὡς ἤκουσεν, ἐπλήγη τῷ ῥήματι, καὶ εἰς ἀλλήλους ἐβλέπομεν μισοῦντες μὲν τὴν αἴτησιν, ἀλγοῦντες δὲ τῇ πολιορκίᾳ καὶ διηποροῦμεν μέσοι γεγενημένοι δωρεᾶς τε ἀτόπου καὶ καιροῦ δυσκόλου, μελλόντων δὲ ἡμῶν ὁ μεγαλόψυχος οὗτος καὶ τῇ πολιτείᾳ ζῶν ἔχων ἀντειπεῖν ἡσυχάζειν ᾑρεῖτο καὶ παρεῖχεν αὑτὸν μάλα ἐρρωμένως τῇ τομῇ καὶ χρημάτων ἀπορῶν ἐπέδωκεν ἡμῖν τὴν γλῶτταν. 15. τετελεσμένης δὲ ἤδη τῆς καλῆς δωρεᾶς ἀνεμένομεν τὴν νίκην καὶ τίς ποτε ὁ τρόπος ἔσται διεσκοποῦμεν. τοὺς ὁπλίτας λαβὼν ἔξεισιν; ἀλλ' ἐπὶ τοῖς τοξόταις τὸ ἔργον ποιήσεται; λόχον καθιεῖ; τί τοσοῦτον εὕρηκεν ᾧ καταπλήξει στρατόπεδον οἷς κατώρθωκεν

---

sed γὰρ suprascr y, L sed in ras, et γρ in marg Mor | ἔστιν ἐν Vi sed ἔστι γε in marg m² | γε om Cl

1 ὡς πεπονθῶσιν Vi II | τῶν δὲ οὐδὲν Vi II 2 ὦ(2) Vi 6 τὸ inserui e libris om edd 7 ἡμῶν scripsi e MClPar ὑμῶν LLaViVi II BVa edd | μὲν om Vi II 10 μισοῦν et ἀλγοῦν Vi II 13 ἡμῶν scripsi e MB sed in hoc η ex υ corr, Va ὑμῶν LLaViVi II ClPar edd 14 καὶ — 220, 19 διώκεις om Par 15 αὑτὸν Cl sed ' e ' corr m⁴ αὐτὸν LLaVi edd | ἐρρωμένως reposui e libris (ἐρρωμένος Vi II) ἐρρωμένον edd | καὶ in marg Vi² om La 16 ἀπέδωκεν Va sed α in ε corr | ἡμῖν scripsi e MCl ὑμῖν reliqui libri edd | τετελεσμένος Vi sed τετελεσμένης in marg m² 18 ὁ om B 19 εἰ ante λαβὼν Vi | γρ τῶν τοξοτῶν in marg Mor 20 χόλον Vi sed λόχον in marg m²

ἐπηρμένον; ταυτὶ μὲν ἡμεῖς, ὁ δὲ εἴσω τειχῶν εἰς ἑσπέραν αὐτὴν ἀνειμένως ἐβάδιζε, νυκτὸς δὲ ἤδη μέσης τὰς πύλας ὑπερβὰς συνεγένετο τοῖς πολεμίοις, οἱ δὲ ᾤχοντο καθάπερ στρατηγοῦ κελεύοντος. 16. *ταῦτ᾽ οὐχὶ βοᾷ, ταῦτ᾽ οὐχὶ κέκραγεν ὅτι τὸ πᾶν ὑπὸ τοῦ πλουσίου συνέκειτο καὶ διῴκητο καὶ πρὸς τὴν ἐκείνου γνώμην ἐπῆλθόν τε καὶ πάλιν ἀπῆλθον; οὐ γὰρ ἔχω σκοπούμενος ἰδεῖν πῶς ἂν νίκην τοῦτο καλοίην. εἷς ἐλαύνει στρατόπεδον ὅλον, ἡττημένος νενικηκός, καταπεκλεισμένος πολιορκοῦν; πλούσιος ἐλαύνει στρατόπεδον, ἁβροδίαιτος, μαλακός, διατεθρυμμένος, ἁπλοῦν μὲν οὐδὲν οὐδὲ γενναῖον οὔτε ἀσκήσας οὔτε μαθών, ἐν φιλονεικίᾳ δὲ καὶ μικροψυχίᾳ καταναλώσας τὸν βίον;* 17. *καὶ τῶν μὲν ἄλλων ὑμῶν τοσούτων ὄντων καὶ φιλοπόνως ἐκ παίδων τὰ πολεμικὰ μελετώντων οὐδεὶς τοῦτο εἶδεν ὅτι χρὴ νυκτὸς συμπεσεῖν οὐδὲ ἐθάρρησεν, ὁ δὲ χρηματιστὴς καὶ τὴν ὅλην σπουδὴν ἐνταῦθα ἔχων, ὥσπερ τις δαίμων, μετέστησε τοῖς πολιορκοῦσι τὴν προσεδρείαν εἰς φυγήν; οὐκ ἔστιν. ἀλλ᾽ ἔδει προσκαθῆσθαι τοὺς πολεμίους ἄχρι | τῆς τοῦ* R IV 713

15 Thuc. II 39, 1 et 2

1 *αὐτῶν* post *τειχῶν* *Vi*II | *ἐς* *LClBVa* 2 *αὐτὴν* *M* sed *ην* ex *ὸν* corr *y* om *Vi*II 4 *ταῦτα* *LaBVa* Mor 5 *οὐχὶ* scripsi e *MCl* *οὐκ* *La* Mor *οὐ* *LViVi*II*BVa* Re | *ἔκραγεν* *La* Mor 5 *τὸ* om *Cl* 6 *καὶ* (2) inser *L*² om *BVa* 7 *οὐδὲ* *Vi*
8 *τοῦτο νίκην* *ClViVi*II | *τοῦτο* om *La* | *καλοίη* *Vi*II
9 *ὅλον;* *Vi* | *νενικηκός* scripsi auctore Cobeto Coll 299 *νενικημένος* libri edd 10 *πολιορκοῦν* *L* sed corr m² *πολιορκῶν* *La Vi* *πολιορκία* *ClBVa* 11 *ἅβροδίαιτος* *Va* 12 *οὔτ᾽* *Vi*II*Cl*
13 *καταναλώσας* *Va* sed *ω* ex *υ* corr m² *καταλύσας* *LaVi* sed in hoc *καταναλώσας* in marg m² 14 *ἡμῶν* *M* et *γρ* in marg Mor 15 *ἐκ παίδων* om *LaVi* 16 *τοιοῦτον* *Cl* | *οἶδεν* *Vi*II | *συμπεσεῖν* scripsi auctore Re *ἐμπεσεῖν* libri edd | *οὐδ᾽* *Vi*II *Cl* 18 *κατέστησε* *LaVi* sed in hoc *μετέστησε* in marg m²
19 *προσεδρείαν* *M* sed *ει* in ras *y*, *Va* sed *ει* ex *ι* corr *προσεδρίαν* *LB* 20 *ἤδει* *Vi* | *ἄχρι* scripsi e *MLViVi*II*BVa* *ἄχρις* *LaCl* edd

πένητος συμφορᾶς, παθόντος δὲ ἃ δὴ πέπονθεν ἐδόκει τῷ πλουσίῳ, καὶ ἀπηλλάττοντο. 18. ἀλλ' ἐῶ ταῦτα, μὴ δόξω τισὶν ἀπὸ τοῦ πράγματος λέγειν. τὰ τοίνυν ἐφεξῆς, εἰς ἐκκλησίαν ἐκάλει πάντας σεμνυνόμενος τῇ λαμπρᾷ νίκῃ, συνθεόντων δὲ πολλῶν ἐχώρει καὶ οὗτος ὁ ῥήτωρ ὀψόμενος τὸν σύλλογον. ὡς δὲ εἶδεν οὗτός τε ὑμᾶς καὶ τοῦτον ὑμεῖς, ὁ μὲν ἐδάκρυσεν, ὑμεῖς δ' ᾠκτείρατε καὶ λαβόντες εἰς ἔννοιαν οἵαν ἐδώκατε δωρεὰν δίκην ἐπράττεσθε τῶν βεβιασμένων. 19. τότε ἐθεασάμην ἐκκλησίαν ἔννομον, δῆμον ἐλεύθερον, λίθων βολὴν τῇ πολιτείᾳ πρέπουσαν. ἔπιπτεν ἅνθρωπος ἐπὶ τοῦ βήματος ὁ καταισχύνας τὸ βῆμα τῷ ψηφίσματι. καλῶς ἀπελογήσασθε πρὸς τοὺς Ἕλληνας τοῖς λίθοις, καλῶς ἐλύσατε τὴν ἐπὶ τῆς ἀνάγκης ἀδοξίαν τοῖς ἐπὶ τῆς ἀδείας ἔργοις. ἐδείξατε τοῦ καιροῦ τὴν χειροτονίαν, οὐ τοῦ τῆς πόλεως ἤθους.

20. Ἡμεῖς μὲν οὖν ἀλλήλοις συγχαίρομεν τοῦ θυμοῦ καὶ τῆς δικαίας ὀργῆς καὶ τὰ πάντων ὁσιώτατα νομίζοντες εἰργάσθαι διάγομεν, τῷ πένητι δὲ τὸ κακὸν

16 Dem. Timocr. p. 753, 10 sq. cf. t. VI 357, 18

1 δ' *Vi*^{II} *Cl* 3 ἄπο *ML* et e *Mon* Iacobs Lect 138 Ach T 785 | λέγειν inser *Va*^{2} | εἶτα *M* sed e τὰ corr *y*, *Vi*^{II} 4 εἰς in marg *Vi*^{2} 5 τε καὶ μακρᾷ post λαμπρᾷ *M* edd delevi | συνθεόντων *Va* sed ο ex ω corr m^{2} συνελθόντων *L* et in marg *Vi*^{2} 6 ὁ ῥήτωρ in marg *Vi*^{2} | οἶδεν *Vi*^{II} 8 δὲ *Cl* | οἵαν reposui e libris ἣν edd 9 τὸν βεβιασμένον *MVi*^{II}*Va* sed in hoc τῶ βεβιασμένω suprascr m^{2} τῶ βεβιασμένω *B* τῶν βεβιωμένων *Vi* | τότ' *LaVi*^{II} 10 εὔνομον Mor 11 βουλὴν *La* | ἅνθρωπος scripsi ἄνθρωπος (ἄνθρωποι *La*) libri edd 13 ἀπελογήσασθε — λίθοις in marg *La* | ἀπελογήσασθε *Va* sed η ex ι corr m^{2} 14 „*sic distinguo*: ἀδοξίαν. τοῖς ἐπὶ τῆς ἀδείας ἔργοις ἐδείξατε“ Re 15 ἔδειξε *LaVi* sed in hoc ἐδείξατε in marg m^{2}, *Va* sed in ἐδείξατε corr m^{2} 16 ἤθους *M* sed η ex ε corr *y* 17 μενοῦν *M* edd | τῶ^{ον} θυμῶ^{οῦ} καὶ τῆ^{ῆς} δικαία^{ας} ὀργῆ^{ῆς} *LVa* τῶ θυμῶ καὶ τῆ δικαία ὀργῆ *LaVi* 18 πάντα *Vi*^{II} 19 ἐργάσασθαι *Vi*^{II} | διάγωμεν *La* | καλὸν *Cl*

οὐχ ἵσταται, ἀλλ' εἰσάγεται καὶ κρίνεται καὶ παραβῆναι νόμον αἰτίαν ἔχει τὸν περὶ θορύβου καὶ στάσεως. τοῦτο γὰρ λοιπὸν τὸν φύλακα τῶν νόμων ἐν τοῖς παρανομοῦσι τετάχθαι. 21. *καὶ τί λέγων, ὦ βέλτιστε, τὸν θόρυβον ἐμβέβληκε; δημεύειν ἔγραψε τῶν πλουσίων τινὰς καὶ στάσις ἐνέπεσε; τοὺς πένητας ἔγραψε σιωπᾶν καὶ στάσιν ἐποίησε; τοὺς ὁπλίτας τοῖς ἱππεῦσι συνέκρουσε, τοὺς τοξότας τοῖς σφενδονήταις, τοὺς στρατηγοὺς τοῖς ταξιάρχοις διαβάλλων ἐν μέρει; ποίῳ ψηφίσματι διέστησε τὴν πόλιν; ποίᾳ γνώμῃ διεῖλε τὸν δῆμον;* 22. *οὐκ αἰσχύνῃ, πρὸς τοῦ Διός, ἄνθρωπον ἄφωνον αἰτιώμενος θορύβου, ὥσπερ ἂν εἴ τις αὐτὸν τοῦτον ᾐτιᾶτο τοῖς πολεμίοις χορηγεῖν; ἐμβρόντητε, περὶ | τῆς ἀναγκαίας τροφῆς ἡ φροντὶς τῷ ταλαι-* R IV 714 *πώρῳ. καὶ σὺ τοίνυν σκέψαι τὴν γλῶτταν τοῦ ῥήτορος καὶ παῦσαι τῶν ἐγκλημάτων. νῦν δὲ ποιεῖς μικροῦ παραπλήσιον ὥσπερ ἂν εἰ καὶ τοὺς ἀνδριάντας ἐμέμφου θόρυβον ἐν τῷ δήμῳ ποιεῖν.* 23. *τῶν λεγόντων, ὦ συκοφάντα, καὶ πολιτευομένων καὶ γραφόντων αἱ τοιαῦται κατηγορίαι καὶ τοιούτοις ὁ νόμος διαλέγεται τὰς συμβουλίας ἐνίων ὑποπτεύων. λόγος γὰρ ἀσύμ-*

---

13 Dem. cor. § 243 p. 308, 4

---

15 *πρόσωπον ὅπερ εὑρίσκεται ἐν ἀντιλήψει La*^{s} *τὸ πρόσωπον M*^{rubr}

---

5 *ἐκβέβληκε Vi* sed *ἐμβέβληκε* in marg m^{2} *ἐ*^{μ}*κβέβληκε L* 6 *τοὺς* — 7 *ἐποίησε* om *B* 8 *σφενδονήταις* scripsi e *M* sed *η* ex *ι* corr *y*, *LVi*^{II}*B* *σφενδονίταις LaClVa* sed in hoc *αις* in ras, edd *σφενδονισταῖς Vi* sed *σφενδονήταις* in marg m^{2} 9 *ταξιάρχαις MViVi*^{II}*Cl* sed in hoc *α* (3) in *ο* corr cf. p. 212, 13 12 *αἰτώμενος Vi* sed *αἰτιώμενος* in marg m^{2} | *θορύβου L* sed *ου* in ras m^{2} 13 *τοῦτον* reposui e libris *τοῦτο* edd 18 *δικαστηρίῳ Cl* 20 *τούτοις ML* sed in hoc *τοι* supra *τ* (1), *LaVi*^{II} 21 *λόγος* — 218, 8 *ἄνεισι* omissa particula *γὰρ* citat Macarius fol. 79^{r} | *ἀσύμφορος* — 218, 3 *νομίζειν* praemisso *κείμενον* in marg *Va*^{2}

φορος πιθανῶς συντεθεὶς πέφυκε παραιρεῖσθαι τῶν ἀκουόντων τοὺς λογισμοὺς καὶ τὰ μὲν βλαβερὰ χρηστὰ νομίζειν ἔπεισε, τὰ δὲ χρηστὰ ἐπιζήμια. οὕτω καὶ πόλις πρὸς αὑτὴν ἐκπολεμοῦται καὶ δῆμος εἰς στάσιν ἐκφέρεται. καὶ δεῖ τότε τῶν παρὰ τοῦ δήμου δρωμένων ὑπεύθυνον εἶναι τὸν παρασχόντα τὴν ἀφορμήν. ἃ γὰρ οὐκ ἂν ἐπέπρακτο μὴ τῶν λόγων εἰρημένων, ταῦτα πεπραγμένα διὰ τοὺς λόγους εἰς τὸν εἰρηκότα ἄνεισι. πῶς οὖν ὁ μὴ μετέχων λόγου τούτων αἴτιος ἃ μόνων ἐστὶ τῶν λεγόντων; ἀλλ' ὁ νῦν δι' ἑτέρων ἀγωνιζόμενος οὗτος ἐτάραττε τὸν δῆμον, ὁ σιωπῶν, ὁ μὴ διαίρων τὸ στόμα;

24. Ποῦ δὲ καὶ στάσιν ἄξιον τὸ πραχθὲν ὀνομάζειν; ὁ δῆμος ἔλαβε δίκην πονηρᾶς δωρεᾶς μιᾷ γνώμῃ πρὸς τοὺς λίθους χρησάμενος, ὁμοφρονήσας, κοινῇ παροξυνθείς. θόρυβος δὲ οὐκ ἦν τῶν μὲν ταῦτα, τῶν δὲ ἕτερα βουλευομένων, ἀλλὰ πάντες τε ἐμίσουν καὶ κατέλευον. 25. στάσις δέ ἐστιν, ὅταν τὸ διάφορον τῆς ἐπιθυμίας ταράττῃ πρὸς ἑαυτούς, ὅταν σχιζόμενοι ταῖς

---

13 ὅρος ἔτι κατ' ἔνστασιν *La*ˢ ὁ ὅρος *M*ʳᵘᵇʳ

---

1 *συντεθεὶς* scripsi e *MLLaViVi*ᴵᴵ*BVa* Macar *συντιθεὶς* *Cl* edd 3 *χρηστὰ δὲ* *LaCl* Macar 4 *αὐτὴν* *LaVa* sed ʿ e ʾ corr *La*ᵖ *Va*² *αὐτὴν* *LCl* | *ἐκπολεμᾶται* *Vi* sed *μοῦ* in marg m²
5 *δὴ* *La* sed *εῖ* suprascr *p*, Mor | *τοῦ* om *Vi* 8 *πραττόμενα* Macar | *ἄνεισιν* Macar 9 *λόγων* (ου suprascr) *Vi* | *μόνον* *M* sed o(2) in ω corr *y*, *La* 10 *διετέρων* *La* 11 *μὴ δὲ* *BVa*
12 *στῶμα* *La* sed *ῶ* in *ό* corr *s* et *γρ* *καὶ στόμα* in marg *p*
οἷς οι
14 *ἔλα* *La* 15 *πρὸς* om *ClB* | *τοὺς λίθους* *Va* *τοῖς λίθοις* *ClB* | *κοινῇ* *ViClVa* 16 *πᾶσ ὀξυνθείς* *Cl* | *δ'* *LaVi*ᴵᴵ*Cl*
17 *ἑτέρως* *Vi* sed *ἕτερα* in marg m² | *βουλομένων* *MVi*ᴵᴵ et *γρ* in marg Mor *βεβουλευμένων* *BVa* | *τε* om *ClBVa* 18 sq. *ὅτ' ἂν* *La* 19 *ταράττῃ* *L* sed *αρ* in ras m² *πράττῃ* *Cl* | „*fort.*

γνώμαις οἱ μὲν τὰ μετέωρα καταλαμβάνωσιν, οἱ δὲ τοὺς λιμένας κατέχωσιν, ὅταν διατειχίζωσιν, ὅταν ἐπ' ἀλλήλους καλῶσι συμμάχους, ὅταν ἡ πόλις μὴ μία μένῃ. τὸ δὲ τιμωρίαν λαβεῖν παρ' ἀνδρὸς ἀπανθρώπου τίς θόρυβος ἢ ποία στάσις;

26. *Ἀλλ' ἔστω καὶ θόρυβος καὶ στάσις τὰ περὶ τὸν πλούσιον. ἀλλ' οὐχ οὗτός γε αἴτιος.* | *τίς* R IV 715 *γὰρ ἤκουσε λέγοντος; βάλλετε, ὦ ἄνδρες πολῖται, τυραννικὴν κεφαλήν. βάλλετε πλούσιον ἐπεμβαίνοντα τῷ καιρῷ. παρῆλθον οἱ κίνδυνοι. πράξασθε δίκην. τούτων οὐδὲν εἶπεν, οὐδὲ γὰρ ἦν οἷόν τε βουλομένῳ. πῶς οὖν ἐκ σιωπῆς ὑπὸ τὸν νόμον ἄγεται, πρὸς τῶν θεῶν;* 27. *εἰ τούτου σιωπῶντος ἕτερος τούτοις χρησάμενος ἐκίνησε τὸν δῆμον πρὸς τὸ ἔργον, ἆρ' οὐκ ἂν ἐπ' ἐκεῖνον ἦγον τὴν αἰτίαν ἰσχυριζόμενοι τοῖς λόγοις; οἷς τοίνυν ἔκρινον ἂν τὸν εἰρηκότα, τούτοις ἀφιᾶσι τὸν οὐ φθεγξάμενον.*

28. *Ἀλλ' ἧκε, φησίν, εἰς τὴν ἐκκλησίαν. καὶ*

---

10 Dem. Mid. p. 579, 22

---

6 *μετάστασις κατὰ ἀντιπαράστασιν La*[s] 16 *ὑποφορά La*[s] 18 *ἀνθυποφορὰ κατὰ ἀντίληψιν La*[s]

ταράττῃ αὐτοὺς πρὸς ἑαυτούς" Re cui oblocutus est Iacobsius Anth Pal III 453 | *ταῖς γνώμαις* reposui e libris *τὴν γνώμην* edd sed *γρ ταῖς γνώμαις* in marg Mor

1 *καταλαμβάνωσι* edd 2 *κατέχωσι Vi* | *μετ' L* et in marg *Vi*[2] 3 *ἀλλήλοις LaViVi*II*ClBVa* | *λαλῶσι Vi* sed *κ* supra *λ*(1) m[2] | *οὐ Cl* 7 *οὗτος δὲ LVi* 8 *βάλλετε M* sed *λ*(1) eras | *τυραννικὴν ὦ πολῖται κεφαλὴν BVa* | *πολῖται* om *ML* 9 *κεφαλὴν τυραννικὴν LaVi*II 11 *οἷόν* (*οἷον B*) *τε ἦν BVa* | *ἦν* om *Cl* 12 *τῷ* ante *βουλομένῳ B* edd delevi | *τὸν* om *Cl* | *γρ τοῦ νόμου* in marg Mor 13 signum interrogationis post *θεῶν* posui, post *ἄγεται* edd colon post *ἄγεται* libri delevi | *πρὸς θεοῦ M* 15 *ἀρ' La ἄρ' Vi*II 16 *ἔκριναν BVa* | *ἂν*] *ἄλλον Vi*II 17 *τούτοις οὐκ ἀφιᾶσι τὸν μὴ φθεγξάμενον; Vi* | *οὐ* inser *Cl*[2] 18 *τὴν* om *MLaViVi*II*Cl*

τίς κεκώλυκε νόμος; καὶ παρεστηκὼς ἐδάκρυε. καὶ ποῦ τὸ θρηνεῖν ἀδίκημα; πολίτης δυστυχῶν μετεῖχε τῆς ἐκκλησίας δακρύων. τούτων δὲ οὐκ οἶδα κρίσεις οὐ παρ' ἡμῖν γεγενημένας, οὐ παρὰ τοῖς προσχώροις, οὐκ ἐφ' ἡμῶν τῶν ἔτι ζώντων, οὐκ ἐπὶ τῶν προγόνων. ἀλλὰ καὶ μειδιᾶν ἐφεῖται καὶ δακρύειν δέδοται καὶ τὴν φύσιν οὐκ ἔστιν εὐθύνας ἀπαιτῆσαι. ἀλλ' ὥσπερ ἀναπνεῖν καὶ πεινῆν καὶ χαίρειν καὶ γελᾶν καὶ σκυθρωπάζειν καὶ ἀρρωστεῖν καὶ τὰ τοιαῦτα πάσχειν οὐκ ἔστιν ἀδικεῖν, οὕτως οὐδ' ἐκ τοῦ θρηνεῖν καὶ δακρύειν οὐκ ἔστιν ὑπόδικον εἶναι. 29. *ὁρᾷς τοὺς ἐπὶ τὰ μνήματα ἀκολουθοῦντας τοῖς τετελευτηκόσιν; οὗτοι δακρύουσιν, ἀλλ' οὐ κρίνονται. ὁρᾷς τοὺς τεμνομένους ὑπὸ τῶν ἰατρῶν; οὗτοι κλαίοντες οὐκ ἐγκαλοῦνται. πόσοι δὲ ῥήτορες μεμνημένοι συμμάχων ἠτυχηκότων δάκρυα μετὰ τῶν λόγων ἀφιᾶσι, πόσοι δὲ δῆμοι συμφορὰς ἀκούοντες ἀποίκων κατηνέχθησαν εἰς θρῆνον. εἰ μὲν οὖν ὅλως τὸ δακρύειν ἐν ἀδικήμασιν ἀριθμεῖς, πολλοὺς ἀδικοῦντας οὐ διώκεις· εἰ δ' ἐπὶ τῶν ἄλλων ἀνεύθυ-*

---

2 *ἐπιχείρημα ἀπὸ προσώπου* La^s 7 *ἐργασία ἡ ἀπὸ τῶν ἐναντίων τοῖς ἀπὸ τῶν ἴσων* La^s 11 sq. *ἐργασία ἀπὸ τοῦ ἴσου α', β', γ', δ'* La^s

---

1 *παρεστὼς L*   2 *τῆς ἐκκλησίας μετεῖχε BVa* sed in hoc *μετεῖχε* inser   3 *δὲ* om *Cl* *δ'* $LaVi^{II}$ 4 *ὑμῖν L* | *προχώρων* Vi^{II} 5 $\overset{\text{ῶν}}{\text{ἡμῖν}}$ $\overset{\text{ῶν}}{\text{τοῖς}}$ *ἔτι* $\overset{\text{ʹντων}}{\text{ζῶσιν}}$ *Va*   6 *δίδοται Vi* sed *δέδοται* in marg m²   8 *πεινᾶν* $LaVi^{II}$ *πίνειν Cl* | *καὶ χαίρειν* om *BVa*   10 *οὐδὲ Cl* | *οὐκ ἔστιν* bis *M* | *οὐκ* om *B*   15 *δακρύων* Vi^{II} 16 *τῶν* inserui e $LLaViVi^{II}Cl$ om *MB Va* edd | *συμφορᾶς ViCl*   17 *ἀπ' οἴκων Vi*   18 *ὅλως Vi* sed *ὅμως* in marg m² | *δακρύον Cl* | *τί* ante *πολλοὺς* inser *My*   19 *γρ ἀδικοῦντας διώκεις* in marg Mor | voce *εἰ* denuo inc *Par* | *δὲ* $LaVi^{II}ClPar$

νον τὸ πρᾶγμα, περιεργάζῃ τῷ παρόντι. 30. *σὺ δὲ εἰπέ μοι, πότερον κρείττων εἶ τῆς ἐπὶ τοῖς πάθεσι λύπης ἢ λυπούμενος εἶτα δίκην ἀπαιτούμενος στέργοις ἄν; ἀλλ' οὐχ οὕτως οὔτε νικᾷς τὴν φύσιν οὔτε ἀναισθήτως ἔχεις. μὴ τοίνυν ἧς αὐτὸς ἀξιοῖς ἀπολαύειν ἐξουσίας, ταύτης ἕτερον ἀποστέρει. | ὅλως δὲ οὐ νο-* R IV 716 *μοθετήσων εἰσῆλθες, ἀλλὰ τοῖς πάλαι κειμένοις ἀκολουθήσων. δεῖξον οὖν ἐν τοῖς κυρίοις μετὰ τῶν ἀδικημάτων ἠριθμημένα τὰ δάκρυα.* 31. *τοὺς γὰρ ἀδικοῦντας καὶ μὴ τούτῳ διαγινώσκομεν τῷ τοὺς μὲν τολμᾶν ἃ κεκώλυται, τοὺς δὲ πράττειν ἃ συγκεχώρηται. οἷον τὸν κλέπτην καὶ τὸν μοιχὸν καὶ τὸν ἀνδροφόνον εἰς δικαστήριον ἄγομεν. διὰ τί; ὅτι ποιοῦσιν ἃ μὴ ποιεῖν γέγραπται· τὸν λαλοῦντα καὶ βαδίζοντα καὶ τὼ χεῖρε κινοῦντα καὶ βοῶντα καὶ συνάγοντα τὸ πρόσωπον οὐκ ἄγομεν οὐδὲ κρίνομεν. διὰ τί; ὅτι νόμους οὐ παραβαίνουσι.* 32. *δεῖ δὴ καὶ σὲ τοῦτο δεικνύειν ἐγγεγραμμένον· ἐὰν δὲ δακρύῃ τις, κολαζέσθω*

---

15 cf. p. 23, 3

---

6 *γνώμη νομοθέτου La*[s]

---

1 *τί* ante *περιεργάζῃ My Vi* | *παρόντι* e *παρ' ὄντι Va* 2 *κρεῖττον ViCl* sed in hoc in *κρείττων* corr m[2] 3 *ἢ* inser *Par*[2] | *ἡττώμενος Cl ἡττώμενος Par* sed *γρ* [*λυπούμενος* abscisum] in marg m[2] 4 colon post *οὕτως* edd delevi 5 *οἷς M* sed in *ἧς* corr *y* | *ἀπολαύειν ἀξιοῖς ἐξουσίας La Vi*[II] *ἀπολαύειν ἐξουσίας ἀξιοῖς B Va* 6 *νομοθετήσων La* sed *μο* inser *s* *γρ νουθετήσων* in marg Mor 7 *ἀκολούθησον* Mor 8 *καιρίοις La* sed *αι* ex *υ* corr, *Vi*[II] | *μετὰ* Mor sed *γρ τὰ* in marg om *M* 13 *διατί ClViVi*[II] *Par Va* | *δὴ* post *ὅτι LCl* et in marg *Vi*[2] 14 *ποιεῖν* inser *Va* 16 *διατί ClViVi*[II]*Va* | *τοὺς* ante *νόμους L* Re 17 *παραβαίνουσιν La* sed *α* (1 et 2) in ras *f* 18 *δὲ* om *B Va* | *τίς ViVi*[II]*ClVa*

καθάπερ οἱ τὰ ἄλλα κακουργοῦντες. εἰ δὲ οὐκ ἔχεις, ἐπηρεάζεις καὶ ποιεῖς τοὺς συκοφαντεῖν εἰωθότας χαλεπωτέρους παιδεύων αὐτοὺς καὶ διδάσκων πᾶν τὸ παραπεσὸν πρόφασιν ποιεῖσθαι γραφῆς.

33. Ἀλλ' εἰ μὴ παρὰ τοῖς νόμοις, ἐν τῷ ψηφίσματι τῆς δωρεᾶς δεῖξον διειρημένον· μὴ φαινέσθω δὲ ἐπ' ἐκκλησίας ὁ πένης μηδὲ ὀδυρέσθω τὸ πάθος μηδὲ ἀλγείτω τῇ συμφορᾷ. ἀλλὰ τούτων γε οὐδὲ ὁ δυσμενὴς καὶ μηδὲν ὀκνῶν ἀπεστέρει. σὺ δὲ ἡμῖν βαρύτερος ἀναφαίνῃ τοῦ πλουσίου. 34. ἔτι τοίνυν, εἰ μὲν ἀπαθὴς ὢν καὶ μηδὲν ἔχων στένειν ἐξεπίτηδες ἐδάκρυσεν ἀνερεθίζων τὸν δῆμον, αὐτὸς ἂν ἐμεμφόμην, αὐτὸς ἂν ἐγραφόμην· νῦν δὲ οὐδ' εἰ σφόδρα πειρῷτο, μὴ θρηνεῖν εὔπορον, ἀλλ' ἐπὶ τῆς γλώττης τὸ πάθος κείμενον κινεῖ τὴν τῶν δακρύων φοράν. μὴ γὰρ εἰς
R IV 717 παράδειγμα καταφεύγειν | ἔστι τῷ ῥήτορι καὶ τυχεῖν ἐξ ὁμοίων ῥᾳστώνης; 35. οὐ παῖδα ἀποβέβληκεν, οὐκ ἀτιμίαν κατέγνωσται, ταῦτα δὴ τὰ τοῖς πολλοῖς

10 συγγνώμη La[s]

1 καὶ ante τὰ L | τἄλλα ClPar | δ' LaViIIClPar 2 ποιεῖς Mor sed γρ ποιεῖν εἰς in marg 5 μὲν Vi | παρὰ La sed ambo α in ras f „malim παρὰ τοὺς νόμους (scil. γέγονε τὸ γενόμενον ὑπὸ τοῦ πένητος, id est τὸ ἐλθεῖν εἰς τὴν ἐκκλησίαν καὶ τὸ δακρύσαι,) ἔν γε τῷ ψηφίσματι τῆς δωρεᾶς δεῖξον διειρημένον" Re 6 διειρημένον scripsi auctore Re coll t. VI 254, 3 εἰρημένον M διηρημένον reliqui libri edd | φαινέσθω La sed ι inser f | δὲ om LaViIIPar 7 μὴ δὲ LViClBVa μὴ δ' LaViIIPar 8 μὴ δὲ MLViBVa μὴ δ' LaViIIClPar | οὐδὲ om ClPar 9 „post δυσμενὴς videtur ἐκεῖνος deesse" Re | οὐκ ante ἀπεστέρει inser Cl 10 βαρύτερα Vi sed βαρύτερος in marg m[2] | ἔστι Mor 12 ἂν ἐρεθίζων LVi ἐρεθίζων Cl | ἐγραφόμην L 13 ἐμεμφόμην L | δ' MClPar edd | πειρᾶτο Cl 14 μὴ om Vi | εὔκολον B et γρ in marg Va 17 ῥαστώνην LMon 18 „malim ἀτιμίᾳ" Re | τοῖς om LaViIIClPar

συμβαίνοντα, οὐ τὴν χεῖρα ἀπεκόπη κατὰ ψήφισμα τοῦ δήμου καὶ παραμυθεῖται τῇ γλώττῃ τὸ πάθος, ἀλλ' ᾧ τῶν ἀλόγων ζώων διαφέρομεν, τῷ χρῆσθαι λόγῳ πρὸς ἀλλήλους, τοῦτο εἰς ἑτέρου τέρψιν ἀπολώλεκε. καὶ νῦν ἕστηκεν ἴσα τοῖς λιθίνοις ἄφωνος ὁ πρῴην ἐπὶ τοῦ βήματος ῥέων. τί καὶ χρὴ καλέσαι τὸν ἄνθρωπον; ἡ μὲν τέχνη κελεύει ῥήτορα, ἡ γλῶττα δὲ οὐκ ἐᾷ. 36. *οὐ γέγονεν ἐλεεινότερον πάθος ἐκ τοῦ παντὸς αἰῶνος. σπουδάζων περὶ τὸν δῆμον κολάζομαι καὶ τῇ φωνῇ τὸ κοινὸν ὠφελῶν τῆς φωνῆς ἀποστεροῦμαι καὶ γίγνεταί μοι τῆς εὐνοίας ἀμοιβὴ σιωπὴ καὶ τέμνομαι τὴν γλῶτταν ἐχθροῦ κελεύοντος πλουσίου. πᾶν μὲν γὰρ ἀφόρητον ἐμοὶ καὶ τὸ σμικρότατον, ὅταν ὁ λυπῶν ᾖ δυσμενής, εἰς γλῶτταν δὲ ζημιούμενος τί χρήσομαι;* 37. *πρόσθες δὴ καὶ τὸν ῥήτορα. καὶ γὰρ τούτῳ πλεῖστον διαφέρει. ὁ γὰρ ῥήτωρ οὐδέν ἐστιν ἕτερον ἢ φωνή. καὶ κουφοτέρα τῷ τοιούτῳ συμφορὰ τὸ τοὺς*

---

6 *ἐνθύμημα α' La*[s]

---

1 *ἀπεκόπη κατὰ Vi* sed *η κατὰ* inser m[2] | *καταψήφισμα Vi*II 3 *διαφέρομαι* (*όμεθα* suprascr) *Vi* 4 *ἀπολώλεκεν Va* 5 *ἴσα ClPar Va* | *λιθίνοις* scripsi e *LaVi* sed in hoc *λίθοις* in marg m[2], *Vi*II*ClPar Va* sed in hoc *λίθοις* suprascr, et *γρ* in marg Mor cum Iacobsio Ach T 816 et Anth Pal III 674 *λίθοις ML* sed in hoc *λιθίνοις* in marg, *B* edd | *πρώην Cl Va* *πρὶν LaVi*II 6 *τί καὶ* scripsi e *MLLaVi*II*BVa* et *γρ* in marg Mor *τί ViClPar καὶ τί* edd | *καὶ* ante *καλέσαι ClPar* 7 *δ' ClPar* 8 *τοῦ* om *Vi* | *παρόντος BVa* 9 *παρὰ Vi* sed *περὶ* in marg m[2] 11 *γίνεταί LLaVi*II*Va* 12 *καὶ* om *Vi* 14 *ὅτ' ἂν La* 15 *τί χρήσομαι*] „*scil. ἐμαυτῷ nisi hoc addendum est*" Re 16 *δὲ LBVa* sed in hoc *ἡ* supra *ε* m[2], et in marg *Vi*[2] | *καὶ* ante *τούτῳ LClPar* | *τοῦτο M* sed e *τούτω* corr *y*, *Par* *τοσούτω Vi*II | *πλεῖστον La* sed in *πλείστων* corr *p* *πλείστω Vi*II 17 *ἕτερόν ἐστιν LaVi*II*ClPar* 18 *τὸ τοὺς*] *τότε LaViVi*II*Par BVa* et *γρ* in marg Mor *τό γε M* Mor

ὀφθαλμοὺς ἢ τὴν γλῶτταν ζητεῖν. ὁ μὲν γὰρ ἰδιώτης ἴσως οἴσει μετρίως, οὐ γὰρ ἐν τῇ φωνῇ τὴν εὐδοξίαν κέκτηται, ῥήτορα δὲ στερῆσαι τῆς γλώττης ἴσον ἐστὶ καὶ χειρῶν παλαιστήν. 38. θαυμάζεις οὖν εἰ δακρύει ῥήτωρ ἄφωνος; ἄλλο γάρ τι τούτῳ νομίζεις εἶναι τὸν βίον ἢ τὸ δακρύειν; οἴκοι θρηνεῖ πρὸς ἑκάστην χρείαν νεύματι χρώμενος. ἐπ' ἀγορᾶς θρηνεῖ τοὺς γνωρίμους προσφωνεῖν οὐκ ἔχων. καὶ τί θαῦμα τὸν πεπονθότα δακρύειν, εἰ ἡμεῖς πρὸς τὴν θέαν τοῦ ῥήτορος εἰς δάκρυα πίπτομεν; 39. ἐδάκρυσε ποθῶν τὴν φωνήν. τί καινόν; ἕκαστος τοῖς παροῦσιν ἀφθόνως χρῆται, τού-
R IV 718 τῳ δὲ οὐ γεγηθέναι | πάρεστιν. εἰ γὰρ καὶ μὴ πρότερον ἐδάκρυσεν, οὐκ ἂν ἐκίνησεν ἡ ἐκκλησία τὸν ὀδυρμόν; εἶδεν ὁ ῥήτωρ τὰ παλαιὰ παιδικά, βῆμα καὶ προέδρους, συμβούλους καὶ δῆμον, ἐπιστάτην καὶ πρυτάνεις, εἶδεν αἴροντα τὴν χεῖρα τὸν ἐχθρόν, ᾔσθετο

---

15 cf. p. 51, 12 sq.

---

3 ἐργασία ἀπὸ τοῦ ὁμοίου La[s] 12 τὰ ⟨τῆς⟩ ἀπ' ἀρχῆς ἀχρηστίας La[s]

---

1 τὴν om M | γλῶσσαν B edd 2 ἴσως om Par 3 στερῆσαι reposui e libris στερεῖσθαι edd | τῆς om L La Vi Vi^{II} Cl Par Va | γλώσσης Vi | ἶσον La Cl Va 5 signum interrogationis posui e M Vi Vi^{II} Par punctum L La B Va edd comma Cl | γὰρ τί Cl Par | καὶ τοῦτο ante νομίζεις Vi | τούτῳ νομίζεις Par sed τούτω e του^{τ} corr m^{2} τούτου (sed ω supra ου) νομίζεις La τοῦτο νομίζεις Cl νομίζεις τούτῳ M L B Re 6 θρηνεῖν Par

8 ἔχε^{ων} Va | θαυμαστὸν Cl Vi sed in hoc θαῦμα τὸν in marg m^{2}, Par 9 εἰ om Cl Par 10 ἐδάκρυε La sed ε in ras 2 litt, Cl ἐδάκρυ Vi^{II} ἐδάκρυες Par sed ες in σε corr m^{2} 11 γὰρ post ἕκαστος L Mon 12 καὶ om Re 13 ἐδάκρυεν La Vi sed in hoc ἐδάκρυσεν in marg m^{2}, Vi^{II} Par B Va 15 καὶ ante συμβούλους M Mor

λαρυγγίζοντος, ᾔσθετο τοῦ κήρυκος βοῶντος· τίς ἀγορεύειν βούλεται; καὶ ζητῶν τὴν φωνὴν οὐχ εὗρεν. ἀντέθηκεν οὖν πρὸς τὴν ἔμπροσθεν ῥητορείαν τὴν παροῦσαν σιγὴν καὶ φανερώτερον εἶδε τὴν αὑτοῦ συμφορὰν ἐν τῇ δημηγορίᾳ τοῦ πλουσίου καὶ σχῆμα θεώμενος ἐν ᾧ ποτε καὶ αὐτὸς ἠγάλλετο μνήμῃ τῶν πρεσβυτέρων ἐπλήγη τὴν ψυχήν. 40. *εἴ τῳ σταδιοδρόμῳ πηρώσας τὸ σκέλος εἶτ' ἄγοις αὐτὸν ἐπὶ θέαν δρόμου, πρὸς τὸ στάδιον ὁμοῦ καὶ τὸ σκέλος ἰδὼν πολλὰ τῶν δακρύων ἀφήσει. εἰ γενναίῳ στρατηγῷ τὴν δεξιὰν ἀποκόψας ἄγοις ὀψόμενον μάχην, παραθεὶς τῷ τῶν δοράτων ἔργῳ τὴν ἀπουσίαν τῆς χειρὸς οὐκ οἴσει τὴν ὄψιν ἀδακρυτί. καὶ ζωγράφῳ τοὺς δακτύλους λυμηνάμενος εἰ πίνακα δείξαις, μνήμῃ τῆς τέχνης εἰς ὀδυρμὸν ἐμπεσεῖται. δύναται γὰρ καὶ τόπος καὶ σκεῦος καὶ πρᾶξις παλαιᾶς εὐτυχίας ἀναμνῆσαι, τοῦτο δὲ ἐπάγει τὰ δάκρυα.* 41. *εἶδε καὶ ῥήτωρ ἄγλωττος ἐκκλησίαν καὶ τῶν ὅτε εἶχε τὴν φωνὴν ἀνεμνήσθη πραγμάτων. πάντως ἐνεθυμήθη που πρὸς αὐτόν· ἐγώ ποτε παρή-*

---

1 Dem. cor. p. 323, 1

---

7 sq. *ἐργασία ἀπὸ τοῦ ὁμοίου α' β' γ' La*[s] 19 *ἔτι τὰ λοιπὰ τῆς ἀπ' ἀρχῆς ἀχρηστίας La*[s]

---

1 *λαβυρίζοντος Par* sed in *λαρυγγίζοντος* corr m² | *ῥητορεύειν L* 3 *πρόσθεν Par* 4 *αὐτοῦ* libri edd 7 *εἴ τῳ* scripsi e *ClPar* *εἰ τῷ MLLaViVi*ᴵᴵ*BVa* edd | *σταδιοδρόμω Par* sed *ω* in *ου* corr m² 8 *πηρώσας* scripsi e *ClPar* *πηρώσαις MLaViVi*ᴵᴵ*B* sed in hoc *η* in ras, edd *πυρώσαις Va* *πειρώσεις* (*αι* supra) *L* | *εἶτα M* edd | *ἄγεις* (*οις* supra) *ParVa* *ἄγεις Vi* | *πρὸς BVa* 9 *ὁμοῦ* om Mor 11 *ἄγεις ViCl* | *τῷ*] *τὰ Vi* 12 *τῆς*] *τὴν Vi*ᴵᴵ 13 *ζωγράφου Vi* 17 *εἰ δὲ Cl* | *ἄφωνος Cl* | *ἐπ'* ante *ἐκκλησίαν Cl*, *εἰς* inser *Par*² 19 *ποῦ ClB* Re *τοῦ LaVi*ᴵᴵ*Par* sed in hoc in *που* corr m² om *M* | *τοῦτο* ante *πρὸς M* edd

ειν ἐνταῦθα καὶ ἀνέβαινον ἐπὶ τὸ βῆμα καὶ εἰσηγούμην καὶ ἐκροτούμην καὶ δι' ἐμοῦ τὰ πλεῖστα τῶν αὑτῆς ἡ πόλις ἐποιεῖτο, νῦν δὲ ἕστηκα δίκην εἰκόνος, μάρτυς ἀλλοτρίων ἀγαθῶν. ἰδοὺ καὶ ὑμεῖς, ὦ δικασταί, δακρύετε. τί οὖν τοῦτον εἰκὸς ἦν παθεῖν;

42. *Εἰ δ' ἑαυτὸν μὲν οὐκ ἐδάκρυσε, γνώμην δὲ εὑρὼν συμφέρουσαν εἶτ' ἀδυνατῶν εἰπεῖν ἐδάκρυσε τὴν πόλιν οἵων ἐστέρηται συμβούλων, διὰ τοῦτο δίκην ὀφείλει τῇ πόλει; τίνος δὲ καὶ τιμωρίαν ἀπαιτεῖς; εἰ*
R IV 719 *μὲν | τῶν δακρύων, ἐξῆν δακρύειν· εἰ δ' ὅτι τὸν δῆμον ἐκίνησεν, οὐκ ἦν μάντις οὐδὲ προῄδει τὸ μέλλον. ἀγνοίας δὲ οὔκ εἰσι δίκαι. τίς γάρ, ὅτι μὴ τὸ συμβησόμενον προεώρακε, κεκόλασται; σὺ δ' εἰ μὲν ᾔδεις τὴν ἐσομένην ὀργήν, τί τάχιστα οὐκ ἀπήλαυνες*

---

7 *γνώμη ἀφ' ὑποθέσεως ποίᾳ γνώμῃ ἐδάκρυσε La*^{s}
11 *παραγραφὴ καὶ ὃ παρευρίσκεται ἐν ἀντιλήψει La*^{s}

---

delevi | *ἑαυτόν M* *αὐτὸν LaViVi*^{II}*ClPar* | *παρείην Vi* Mor

2 *εἰσηγούμην La* sed *εἰ* in ras 2 litt *p* *εἰσηγόμην ClPar* „*num ἐπῃνούμην laudabar?*" Re | *ἐκρατούμην Vi* sed *ἐκροτούμην* in marg m² *ἐκεντούμην Par* sed *κεν* del 3 *τῆς Vi* sed *τῶν* in marg m² | *αὐτῆς* libri edd 5 *γὰρ* ante *καὶ BVa* et inser *Par*² edd delevi | *δικασταί* scripsi e *MLVi* *ἄνδρες LaVi*^{II}*ClParBVa* edd cf. ad p. 207, 11 | *οὖν* om *LLaViVi*^{II}*ClParBVa* | *τούτων Par* 7 *εἰ δ' ἑαυτὸν* scripsi e *ClPar* sed in hoc ex *οὐδὲ αὐτὸν* corr, *B* *εἰ δὲ ἑαυτὸν MLLaVi*^{II}*Va* edd sed *γρ εἰ δὲ αὐτὸν* in marg Mor *εἰ δὲ αὐτὸν Vi* | *δ' ClPar* 8 *εἶτα Vi*^{II} | *ἀδύνατον* Mor 9 *συμβόλων Vi*^{II} | *διατοῦτο ViVi*^{II}*ClVa* 10 *τῇ πόλει* om *BVa* 13 *ἀγνοίας — δίκαι* omissa particula *δὲ* citat Macarius fol 79^{r} | *δ' ClParVa*
συμ
14 *ἐκβησόμενον L* *ἐκβησόμενον ClPar* cf. p. 230, 8 | *προεώρα B*
μ
ἑώρα ClPar | *δὲ ClPar* 15 *ὀργὴν L*

πρὶν παθεῖν τι τὸν δῆμον; εἰ δ' οὐ προῄδεις, τί μᾶλλον λαμβάνεις ἢ δίδως δίκας; 43. *ἀλλὰ γὰρ οὐ λέληθας τοῦτον μὲν πρόφασιν θέμενος, κατηγορῶν δὲ τοῦ δήμου. ἐγὼ δὲ τί φημι; ὁ δῆμος ἔμελλε τοῦτο δράσειν ὃ δὴ καὶ πεποίηκε, κἂν εἰ μηδεὶς πένης μήτε ἧκε μήτε ἐδάκρυσεν. οἱ γὰρ ἃ μὴ βούλονται δοῦναι βιασθέντες, ἐπειδὰν εἰς ἐξουσίαν ἔλθωσιν ὧν ἄκοντες παρεχώρησαν, τιμωρίαν ἀπαιτοῦσιν ἐξ αὐτῶν ὧν ἔδοσαν πολεμοῦντες τῷ λαβόντι. τίς γὰρ πολέμου τύχη, τίς ἀκαιρία χαλεπὴ τοιοῦτον ἠνάγκασεν ἐν τῇ πόλει κυρωθῆναι ψήφισμα· ἀ π ο κ ο π ή τ ω γ λ ῶ τ τ α π ο λ ί τ ο υ; διὰ τί; ὅτι μικρὰ κεκτημένος ἀντιπολιτεύεται τῷ πλουσίῳ.* 44. *τούτῳ δέ, ὦ δικασταί, τῷ ψηφίσματι κατελύετο μὲν ἡ δημοκρατία, κατελύοντο δὲ νόμοι καὶ ἱερὰ καὶ ὅσια, ἐχραίνετο δὲ ἡ γῆ καὶ ὁ πάντα ἐφορῶν ἥλιος, ἐταράττετο δὲ ὁ θεσμὸς καὶ μεθίστατο πρὸς δεσποτείαν τὸ τῆς ἰσηγορίας καλόν, ἐπληροῦτο δὲ τοῦ μύσους ἡ πόλις, ἐκοινωνεῖτε δὲ τῆς ὠμότητος τῇ χειροτονίᾳ.*

---

2 *γνώμη ποίᾳ γνώμῃ κατηγορεῖ La*[s] 4 *ἀντέγκλημα La*[s]

---

1 *παθεῖν* (μ supra) *L* | *οὐ* ante *μᾶλλον LMonVi* 2 *οὐ Par* sed ex *ἢ* corr m², *Va* et *γρ* in marg Mor | *δίδου Vi* sed *ως* supra *ου* m² | *γὰρ* om *BVa* Mor 3 *πρόφασιν μὲν τοῦτον L* et e *τοῦτον μὲν πρόφασιν* corr *Vi*² 4 *ἤμελλε B* edd 5 *καὶ* inser *L* om *ViBVa* | *πεποίηκεν, ἂν LaVi*II | *κἂν Vi* sed *ἂν* in marg m² 6 *ἐδάκρυεν Vi*II*ClPar* 8 *ἀπαιτοῦσιν* inser *Vi*² | *καὶ* ante *πολεμοῦντες LaViVi*II*ClParVa* Mor sed in hoc om *γρ* in marg, ras 3 litt *L* delevit Re 9 *ἀγκαρία Cl* 10 *τῇ* om *Vi*II | *κριθῆναι Vi* 11 *γλῶσσα* edd | *διατί LaViVi*II*ClParBVa* 12 *κεκτημένος La* sed *κε* inser *p* | *τῷ* om *MLLaViVi*II*ClPar* 13 *τούτῳ* — 228, 2 *πλουσίῳ* in marg *Par*² | *ὦ δικασταί* om *L* | *δικασταί* scripsi e *MViCl* *ἄνδρες LaVi*II*Par*²*BVa* edd cf. ad p. 207, 11 14 *ἱεροὶ καὶ ὅσιοι LMonVi* „*non male*" Re 17 *μίσους LViVa* sed in hoc *ι* in *υ* corr m², Mor 18 *ἐκοινώνει LaVi*II

δῆλον οὖν ἦν ὅτι καταστάντων τῶν πραγμάτων ὁ τῆς ἡσυχίας καιρὸς καιρὸς ἔσται καὶ τιμωρίας τῷ πλουσίῳ καὶ συνέπεσε τοῖς τοῦ πένητος δάκρυσιν ἡ τοῦ δήμου κρίσις. 45. *Οὔκουν ἡμάρτετε, ὦ δικασταί, τοῖς λίθοις τότε χρησάμενοι κατ' ἀνδρὸς ἐν τοῖς ὑμετέροις τρυφήσαντος κακοῖς, ἀλλ' οὐδ' ἂν ἀπετρίψασθε τοὔνειδος*
R IV 720 *μὴ τοὺς λίθους ἁρπάσαντες. | πῶς γὰρ ἂν εἰς τοὺς νεὼς ἤλθετε; πῶς ἂν ἐθύσατε; πῶς ἂν τὰς ἑορτὰς ἐπληρώσατε; πῶς ἂν ᾐτήσατε παρὰ τῶν θεῶν τἀγαθὰ τοῦ πλουσίου τῇ μιαρᾷ χειρὶ συνεφαπτομένου. τῶν ἱερῶν; τίς δ' ἂν σύμμαχος καλούμενος εἰς κοινωνίαν ἔργων ὑπήκουσεν;* 46. *οὐκ ἴστε ὅτι τὰ τῶν πόλεων ἤδη τοῖς ψηφίσμασι γνωρίζεται καὶ πρὸς τὴν ἐκείνων ἀρετὴν ἢ κακίαν καὶ ταῦτα δοξάζεται; τίνες οὖν ἐνομίσθητ' ἂν τοὺς τρόπους στάντες ἐπὶ τῆς δωρεᾶς καὶ μὴ καθηράμενοι τῷ φόνῳ; ἐγὼ μὲν γὰρ οἶμαι, τῶν βαρβάρων ἀγριώτεροι. ἀλλὰ νῦν δέδεικται πᾶσιν ὅτι οὐκ ἄρα τῆς πόλεως ἦν ἡ δόσις καὶ τοῖς δευτέροις τὰ πρότερα συσκιάζεται. πέπτωκεν ἄνθρωπος*

---

14 *ἐπιχείρημα ἀπὸ τοῦ πράγματος La*^{s}

---

1 *τῶν* inser *La*^{p} 2 *καὶ τιμωρίας ἔσται καιρὸς BVa* 4 *κρίσις* in marg *Vi*^{2} | *ἡμάρτομεν LMonCl* *ἡμάρτητε Vi* sed *μὲν* supra *τε* m^{2}, *Vi*^{II} *ἥμαρτεν Par* sed in *ἡμάρτετε* corr m^{2} | *δικασταί* scripsi e *MLVi* *ἄνδρες LaViClParBVa* edd cf. ad p. 207, 11 5 *ἡμετέροις ViClParBVa* Mor *ὑμετέροις* (*ἡ* supra) *L* 7 *ἂν* om *BVa* 8 *πῶς ἂν ἐθύσατε* om *Va* Mor | *ἂν* (2) om *Cl Par* 9 *ἂν* om *LVi* | *παρὰ La* sed ambo *α* in ras *f* *περὶ Va* | *τοῦ θεοῦ M* 10 *τὰ ἀγαθὰ MLLaViVi*^{II}*BVa* cf. p. 20, 4 | *μιᾷ La* sed in *μιαρᾷ* corr, *Vi*^{II} *ἱερᾷ Par* sed del et *μιαρᾷ* suprascr m^{2} | *χερὶ Cl* edd 12 *ἐπήκουσεν LaVi*^{II} 14 *καὶ ταῦτα* om *Vi* 16 *μὴ* inserui e libris cum Iacobsio Lect 138 om edd | *γὰρ μὲν Cl* | *γὰρ Va* sed *ἀρ* in ras m^{2} 18 *ἄρα*] *ἐκ Vi*^{II} 19 *συσκιάζετε* Mor

ἐν ἐλευθερίᾳ τυραννίδος ὠμότητα παρελθών. πέπτωκεν ἄνθρωπος μαθὼν ὑπερβαίνειν δημοκρατίας ἔθη. κατελεύσθη πλούσιος ἐπὶ τοῖς νόμοις εὐπορῶν. εἶτ' ἀγανακτεῖ τις τῇ τελευτῇ καὶ γράφεται καὶ κρίνει; 47. *φοβοῦμαι, ὦ δικασταί, τὸν κατήγορον, τυράννου τεθνεῶτος ἀλγεῖ. καίτοι πότερον μεθ' ὑμῶν ἠφίει τῶν λίθων ἢ οὔ; εἰ μὲν γὰρ μετεῖχε τῆς βολῆς, πῶς ὧν ἔπραξε κατηγορεῖ; εἰ δὲ μόνος ἀπείχετο, μανίαν κατεγνώκει τοῦ δήμου.* 48. *εἰ δέ μοι λέγεις τὴν νύκτα καὶ τὴν νίκην, τέχνην λέγεις, ἀπάτην λέγεις, χρημάτων ἔργον λέγεις. εἰ δέ γε τοσοῦτον ἴσχυεν ὥστε φανεὶς τρέπεσθαι καὶ πλέον ἁπάσης ἐδύνατο τῆς πόλεως μόνος, οὐκ ἂν μὲν ἔλαθε τοὺς πολεμίους ἡ φήμη τῆς ἀνδρείας, οὐκ ἂν δὲ ἐπεστράτευσαν | πόλει παρ' ᾗ* R IV 721 *τοιοῦτος στρατιώτης τρέφεται, ἀλλ' ἐκεῖνος μὲν δυοῖν ἔδωκε δίκην, τῆς τε πολιορκίας ἣν κατεσκεύασε καὶ τῆς δωρεᾶς ἣν ᾔτησεν.*

---

6 *παραγραφὴ καὶ ὅμοιον τῷ πρὸ αὐτοῦ La*^{s} 9 *βίος καὶ ὅρος πρὸς τὴν ἀντίστασιν φερόμενα La*^{s}

---

1 *τυραννίδος ὠμότητα] τὰ τυραννίδος ὠμὰ MLLaViVi*^{II}*Cl* et *γρ* in marg Mor *τὰ τῆς τυραννίδος ὠμὰ Par* sed *ὠμότητα* in marg „*mallem si haec lectio praeferatur, τὰ τυραννίδος ὠμότατα*" Re | *ὠμότητα Va* 2 *κατελεύθη B* 3 *εἶτα BVa* edd 4 *τίς LaViVi*^{II}*B* | *τὴν τελευτὴν M* et *γρ* in marg Mor 5 *δικασταί* scripsi e *MLLaViVi*^{II} *ἄνδρες ClBVa* edd cf. ad p. 207, 11 6 *πρότερον Vi*^{II}*ClParVa* et *γρ πρότερον* in marg Mor | *ἡμῶν Cl* | *ὑφίει Vi*^{II} | *τὸν λίθον M τοὺς λίθους La* sed e *τῶν λίθων* corr *f*, *Vi*^{II} *τ λίθ B* 7 *μετέχει* Mor | *τῶν λίθων* ante *τῆς B* | *βο λῆς La βουλῆς LViVi*^{II} 8 *κατηγόρει Vi* sed in *κατηγορεῖ* corr m^{2} | *μανία δὲ Vi* 9 *νίκην καὶ τὴν νύκτα LaVi*^{II} 10 *ἀπάτην λέγεις* in marg *Va*^{2} om *B* | *ἔργα Par* 12 *τῆς πόλεως ἐδύνατο BVa* | *ἠδύνατο L* 13 *ἔλαθεν ἡ φήμη τῆς ἀνδρείας* (*ἀνδρίας B*) *τοὺς πολεμίους BVa* Mor | *ἀνδρίας MVi* 14 *ἐστράτευσαν ViVi*^{II} | *τῇ* ante *πόλει LMon ClPar* 15 *τρέφεται* (ἐ supra, ο supra αι) *L ἐτρέφετο M* et *γρ* in marg Mor *φαίνεται LaVi*^{II} | *δυοῖν L* sed *οι* in ras, *Va* sed *ει* supra *οι* m^{2}

49. Ὑμεῖς δέ, ὦ δικασταί, μὴ τὴν ἐκ τοῦ ψηφίσματος αἰσχύνην ἀνανεώσησθε τῇ ψήφῳ μηδὲ τὸν ἠδικημένον ὡς ἀδικοῦντα ἀποκτείνητε μηδὲ ἐλέγξητε τὴν τῶν λίθων βολὴν τῇ γνώσει. ὁ νόμος φησὶ τὸν θορύβου καὶ στάσεως αἴτιον. ὁ δὲ ἀναίτιος, ἐσιώπα γάρ. ἐλθὼν εἰς ἐκκλησίαν ἐδάκρυε. τούτων δὲ ἀμφοτέρων ἐξουσία. τῷ πάθει κατηνάγκαστο κλαίειν. ἠγνόει τὸ συμβησόμενον. 50. σώσατε οὖν, ὦ δικασταί, τὸν συκοφαντούμενον, τὸν ἡμαρτηκότα μὲν οὐδ' ὁτιοῦν, πεπονθότα δὲ καινότατα. εἴ τοι γε καὶ ˙τῶν ἀλλοφύλων τις εἰς τοῦτο ἀφῖκτο συμφορῶν, πάντως ἂν ἰδόντες ᾠκτείρατε. γνώρισμα δὲ τῆς ὑμετέρας φιλανθρωπίας ὁ σύλλογος οὗτός ἐστιν. 51. ὁ ῥήτωρ ἐκεῖνος ὁ δημοτικός, ὁ λυπῶν τοὺς πλουσίους ὑπὲρ τῶν νόμων, ὁ πολλὰς μὲν γνώμας εἰπών, πολλὰ δὲ ψηφίσματα γράψας, πολλὰς δὲ πρεσβείας ὑποστάς, ὁ συμμάχους προσαγόμενος, ὁ πόρους ἀνευρίσκων, ὁ τιθεὶς νόμους χρηστούς,

---

1 ἐπίλογος ἀνακεφαλαίωσις La^s 13 ποιότης La^s

---

1 δικασταί scripsi e *MLVi* ἄνδρες *LaVi*^{II}*ClParBVa* edd cf. ad p. 207, 11 | ἀπὸ *ClPar* 2 ἀνανεώσητε *B* | 2 et 3 μὴ δὲ *MLViVi*^{II}*ClParBVa* 3 ἀδικοῦντ' *ClPar* | ἐξελέγξητε *Vi* 4 τῇ γνώσει *M* sed τῇ μεταμελείᾳ suprascr *n* 5 ἀποθνήσκειν post αἴτιον *Vi* | ὃ *La* ὅ *Par* | δ' *LaVi*^{II}*ClPar* 6 ἐδάκρυε^{σε} *L* ἐδάκρυσε *ClVi* ἐδάκρυεν *Va* 7 κατηνάγκαστε *La* sed αι supra ε s κατηνάγκασται *Vi*^{II} 8 δικασταί scripsi e *MLVi* ἄνδρες *LaVi*^{II}*ClParBVa* edd cf. ad p. 207, 11 | συκοφαντούμενον *La* sed ενον in marg 9 τὸν om *Par* 10 εἴ τοι γε scripsi εἴ τοι^{ισ} γε *L* εἴ τοι *Par* sed τοι in τι corr m², edd εἴ τι *Vi* εἴ τις *MBVa* et γρ in marg Mor εἰ γὰρ *La* sed in ras 4 litt, *Vi*^{II} εἴ γε *Cl* „malim τοι abesse“ Re 11 τίς *LaViVi*^{II}*Va* om *M* et γρ in marg Mor 11 πάντες *ViPar* | ἂν] δὲ *Par* 15 ἐπειπών *La* sed ex ἐπὶ τῶν corr *p*, *Vi*^{II} 16 προσεπαγόμενος *L* sed γρ ἐπαγόμενος suprascr m² ἐπαγόμενος *Vi* sed προσ antepos in marg m², et γρ in marg Mor 17 εὑρίσκων *L* et in marg *Vi*²

ὁ λύων πονηρούς, ὁ πολλοῖς μὲν πράγμασιν ἐπιστάς, διαμείνας δὲ ἐν πενίᾳ, οὗτος εἷς ὃν ἐν ταῖς χρείαις ἐβλέπομεν, ἀπόδοτε δὴ τῷ δυστυχεῖ τὴν χάριν εἰς τὴν σωτηρίαν καὶ μὴ ποιήσητε φανερὸν ὅτι παραπαίουσιν οἱ τὰ ὑμέτερα θεραπεύοντες. 52. *τίνι γὰρ βοηθήσετε τῶν ἁπάντων, εἰ μὴ τοῦτον ἐλεήσετε; εἰς τίνα δὲ ἔσεσθε φιλοικτίρμονες τούτου καταμελήσαντες; οὔτ' εὐνούστερον εὕροιτ' ἂν ἄνθρωπον οὔτ' ἀθλιώτερον, ὃς καὶ τὰ τῶν μύθων ἄτοπα τοῖς ἑαυτοῦ πάθεσιν ἐπιστώσατο. ἦγε | μὲν ὁ πλούσιος ἀπὸ τῆς ἐκκλησίας* [R IV 722] *λαβών, ὁ δὲ ὥσπερ αἰχμάλωτος εἵπετο. περιστήσας δὲ τοὺς κόλακας καὶ τῆς παρρησίας ἀναμνήσας καὶ τὸ ψήφισμα ἐπιδείξας πρόβαλλε τοίνυν, ἔφη, γλῶτταν τὴν ἐμοὶ δυσμενῆ, τὴν δημοτικήν, τὴν οὐ φοβηθεῖσαν πλοῦτον, τὴν κρείττονα τῆς τύχης. καὶ ὁ μὲν ἐκέλευεν, ὁ δὲ ὑπεῖχε, καὶ ἐξεκόπτετο φωνὴ τὰ τῆς πόλεως ὀρθοῦσα.* 53. *εἶθ' ὑμεῖς προσκαταγνώσεσθε τοῦ τὰ τοιαῦτα πεπονθότος καὶ ᾧ παραμυθίαν οὐκ ἔστιν εὑρεῖν, τούτῳ προσθήσετε συμφοράς; καὶ πότερον τοῦτον ἢ τὸ κοινὸν καταβλάψετε;*

7 cf. t. IV 169, 9. Plat. Menex. p. 244 E 9 cf. t. IV 1103, 6 sq. R

1 *ὑποστάς Va* 2 *δ' MLa* Vi^{II} edd | *τῇ* ante *πενία ClPar* 3 *δὲ LLa* Vi^{II} | *τὴν*(2) om *Vi* Vi^{II} 4 *μὴ* in ras *B* om *Va* | *ποιήσητε B* sed *η*(2) in ras, *Va* sed *η* in *α* corr 5 *ἡμέτερα MClPar* | *βοηθήσητε Va* sed *ε* supra *η*(3), *Par* 6 *πάντων LLaViClPar* | *ἐλεήσητε VaPar* 7 „*fort. οὗ οὔτ'*“ Re 8 *ἂν* inser *My* om *Cl* | *οὔτε MViB* edd 9 *αὑτοῦ Par* 12 *καὶ* ante *τοὺς BVa* edd delevi | voce *καὶ* des Vi^{II} | *κολακίας Va* sed *ί* in *ει* corr m^2 13 *πρόβαλλε M* sed *λ*(1) eras *πρόβαλε LViClPar* 14 *τὴν* ante *γλῶτταν ViBVa* | *ἐμὴν M* sed *ὴν* in *οὶ* corr *y* 15 *τῆς* om *M* 16 *ὃ*(2) *Par* | *δ' Cl Par* 17 *ἡ* ante *φωνὴ Vi* | *πόλεως La* sed *ω* ex *ο* corr *p* 18 *προκαταγνώσεσθε BVa* | *τὰ* om *ML* | *παθόντος L* et in marg Vi^2 19 *παραμυθίας Vi* | *εὑρεῖν οὐκ ἔστιν BVa* | *προσθήσεσθε* Mor 20 *τὸν Vi*

ἱκανῶς, ὦ δικασταί, συνέστειλε τοὺς πένητας τὸ περὶ τῆς γλώττης ψήφισμα, ἱκανῶς ἀπέφηνεν ὡς ἐπικίνδυνον ἡ τῆς εὐνοίας τάξις. εἰ δὲ καὶ κατεγνωσμένον τοῦτον ἐν δικαστηρίῳ θεάσαιντο, πότε δώσουσιν αὑτοὺς εἰς τὰ ὑμέτερα προθύμως; τίς ἐρεῖ; τίς πρεσβεύσει; τίς ἔσται δίκαιος δρῶν τοιαῦτα ἆθλα τῇ δικαιοσύνῃ κείμενα; 54. οὐκοῦν οἱ μὲν μετατάξονται καὶ νομιοῦσιν εὐβουλίαν τὸ συνεστάναι τοῖς πλουσίοις, τοῖς δὲ ἄδεια καταθεῖν τὴν πολιτείαν; ταῦτα δημοκρατίαν ἀναιρεῖ, ταῦτα ὀλιγαρχίαν εἰσάγει. ἀπὸ τοιούτων σπερμάτων φύεται δήμῳ δουλεία. ἑνὶ δὴ τούτῳ τῷ σώματι συγκινδυνεύει τὸ κοινόν.

55. *Σὺ* δὲ ἀνάβηθί μοι δεῦρο καὶ συνεισένεγκαί τι. εἰσί σοι χεῖρες, ἔστι σοι δάκρυα. οὐ λείπονταί σοι πρὸς ἱκετείαν ἀφορμαί. εἰ δ' οὐκ ἀποχρήσει ταῦτα,

1 *δικασταί* scripsi e *MLVi* *ἄνδρες LaClParBVa* edd cf. ad p. 207, 11 3 *καὶ* in marg *Vi²* 4 *θεάσαιντο* scripsi e *LaClPar* *θεάσοιντο M* sed *αιν* supra *οιν n*, *LViBVa* edd | *αὑτοὺς* scripsi e *MBVa* *ἑαυτοὺς Cl* *αὐτοὺς LaViPar* edd 5 *ἡμέτερα MLViPar* | *προθύμους M* et *γρ* in marg Mor 6 *ἄθλα MLaB* edd 7 *κείμενα* reposui e libris *προκείμενα Par* sed *προ* antep m², edd sed *γρ κείμενα* in marg Mor 8 *νομίσουσιν LVi* 9 *ἄδειαν Par* sed *αν* in *α* corr m², *Va* | *καταθεῖν* scripsi e *MClParB* et *γρ* in marg Mor coll t. V 308, 8 *καταθεῖναι Va* *καταμαθεῖν L* sed *μα* del, *LaVi* edd „*fort. καταπατεῖν*" Re | signum interrogationis posui colon libri edd | *δημοκρατίας Par* sed *ς* in *ν* corr m² 10 voce *ταῦτα* des *Par* | *τὴν* ante *ὀλιγαρχίαν M* | *ὀλιγαρχίαν La* sed *γαρ* in ras *f* *ὀλιγωρίαν Vi* sed *ὀλιγαρχίαν* in marg m² 11 *δήμου Cl* | *δὴ* scripsi e *MLLaViCl* *δὲ BVa* edd sed delendum censet Re | *τούτῳ* om *BVa* 12 *τῷ* inserui auctore Re om libri edd | *συγκινδυνεύσει L* *κινδυνεύει M* *κινδυνεύειν Vi* 13 *συνεισένεγκαί* scripsi e *M* sed *αι* in *ε* corr *y*, *LLaViClVa* sed in hoc *αι* in *ε* corr m² *συνεισήνεγκαί B* *συνεισένεγκέ* edd | *τι Va* sed *τ* in ras m² 14 *οὐ* inserui e *MLBVa* et *γρ* in marg Mor om *LaVi* sed in hoc in marg m², *Cl* edd 15 *ἱκετείαν* scripsi e *MLVi* *ἱκεσίαν LaBVa* edd *ἱκετηρίαν Cl* | *ἀπόχρη σοι LaCl* sed in hoc *γρ ἀποχρήσει* in marg

δεῖξον τὴν γλῶτταν. ὁρᾷς ὡς ἐκάμφθησαν οἱ δικασταί; θάρρει δὴ περὶ τῆς ψήφου καὶ μὴ μέμψῃ τῷ δήμῳ. στένων ἐψηφίζετο τὴν δωρεὰν νικώμενος ὑπὸ τοῦ καιροῦ. πολλοὶ πολλάκις ἐπέδωκαν αὑτοὺς ὑπὲρ τῶν πατρίδων εἰς σφαγήν. ἔλυσας καὶ σὺ τῇ τομῇ τὴν πολιορκίαν. ἐν | ταῖς εὐεργεσίαις καὶ τὸ πάθος ἐγ- R IV 723
γράψω. 56. *τοῦ μὲν οὖν ψηφίσματος ἐπιλανθάνου, μέμνησο δὲ τῆς καλῆς ἐκκλησίας καὶ τῶν λίθων. τήρει μοι τὴν ἀρχαίαν γνώμην καὶ φύλαττε τὴν προαίρεσιν, δέομαί σου, καὶ σιωπῶν πρὸς τὰ κοινά. γράφε συμβουλάς. ἐγὼ δὲ ἀναγνώσομαι, κἂν εὕρω τινὰ γνώμην, ἀνακοινώσομαί σοι. σὺ δὲ ἀνάνευε καὶ κατάνευε καὶ πολιτεύου τοῖς νεύμασι. σύνθες ἀπολογίαν ὑπὲρ τοῦ δήμου, πρέπει σοι καὶ πεπονθότι κοσμεῖν τὴν πόλιν, σύνθες παράκλησιν εἰς προθυμίαν τοῖς πένησιν, ἔξελε τὸν φόβον, ἐπίρρωσον πρὸς τὴν εὔνοιαν. σὲ δὲ ἡ πόλις δημοσίᾳ θρέψει παραμυθουμένη ῥήτορα ἄφωνόν τε καὶ πένητα.*

---

17 Thuc. II 46

---

6 sq. *γενναῖα ταῦτα πάντα καὶ κομιδῇ ὡραῖα καὶ ὄντως ῥητορικὰ καὶ τοῦ μόνου τούτου τοὺς λόγους ἐμψυχώσαντος Λιβανίου ἄξια L*

---

2 *παρὰ Vi* | *μέμφη B Va* 3 *ὁ δῆμος* ante *τὴν Vi* | *τοῦ* om *LLaViCl* 4 *αὐτοὺς LLaViCl* sed in hoc *οὺς* in ras m², edd 5 *εἰς σφαγὴν ὑπὲρ τῶν πατρίδων La* 6 *ἐγγράφω La Va* sed in hoc *γ*(1) eras et *φ* in *ψ* corr m², *Cl* *ἐγράψω B* et *γρ* in marg Mor *ἐγράφου Vi* sed *ἐγγράψω* suprascr m² *ἐγλίθων γραφε* Mor 8 *λόγων Va* 10 *σιωπῶν* scripsi auctore Re *σιωπῶντος* libri edd | *γράφε πρὸς τὰ κοινὰ συμβουλάς MLViB* 11 *καὶ εὕρω τίνα γνώμην ἀνακοινώσομαί σοι* coni Re 15 *παραμυθίαν L* | *ἔξει τί Vi* 16 *τὸν* om *Vi*

XXXVII.

Declamatio inscripta *Πλούσιος ἀριστεύσας ᾔτησεν εἰς τὴν δωρεὰν τοὺς φυγάδας ἐπανελθεῖν. αὖθις ἀριστεύσας ᾔτησε τοὺς ἀτίμους ἐντίμους γενέσθαι. τρίτον ἀριστεύσας καὶ δεσμωτῶν αἰτησάμενος λύσιν τυραννίδος ἐπιθέσεως ὑπὸ ῥήτορος κρίνεται*, qua dives iuvenis fortis praemiis virtutis ter petitis tyrannidis affectatae accusatus se defendit, ut singulari arte composita est, ita multorum gratiam iniit lectorum. Itaque non 'corporis' finibus coercita mansit sed in plures transiit eclogas satisque magnus est numerus codicum quibus ad hanc aetatem pervenit. Sunt autem hi 28:

Incipio a 'corporalibus'.

1. Hierosolymitanus S. Crucis 57 (= Cr) palimpsestus saeculi XI/XII continet folio 77[vr] initium declamationis inde a p. 240, 7 *Ὁ μὲν εὐσεβὴς* usque ad p. 245, 5 *τῶν βελῶν* et folio 68[vr] partem posteriorem sed hanc fere omnino abrasam, ut in folio 68[v] nihil, in folio 68[r] tantum verba p. 254, 5 sq. *μόλις ἀπαλλαγέντες. ὅτι μὲν οὖν τυραννίδος ἔχειν* dispiciantur. Vide t. V p. 154 sq. Excussi et quae legi potuerunt adnotavi.

2. Hierosolymitanus S. Sepulcri 107 (= H) saec. XIV fol. 130. Vide t. V p. 150 sq. Contuli.

3. Laurentianus LVII 27 anno 1392 e codice cum his cognato descriptus fol. 53. Vide t. I p. 59 sq.

Ex hoc descriptus est

4. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 57[v]. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti qui eum littera W insignivit.

5. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI descriptus ex editione Ferrariensi quae Wolfenbuttelanum fontem habuit. Vide t. I p. 67.

6. Laurentianus LVII 21 saec. XIV/XV fol. 239. Vide t. V p. 158 sq.

7. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 409ᵛ. Vide t. I p. 24 sq. Contulit meum in usum Pius Franchi de Cavaleriis.

8. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 28 e Barberino ipso vel eius fonte descriptus. Vide t. V p. 7 sq. et supra p. 182.

Corpus mutilatum reddit codex

9. Parisinus gr. 3019 saec. XIV/XV fol. 109ᵛ. Vide t. IV p. 306 sq.

Transeo ad 'eclogarios'.

10. Vindobonensis philos. et philol. IV 82 (= Vi) saec. XIV fol. 33. Vide t. V p. 169 sq. Contuli.

11. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 24ᵛ. Correctus scholiisque ornatus est manibus et librarii ipsius (*m*) et duabus recentioribus, quarum altera rubro atramento usa est (*rubr*), altera littera *n* a me significatur. Vide t. V p. 168 sq. Contuli.

12. Laurentianus LIX 30 saec. XV fol. 247. Vide t. I p. 417 sq.

13. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 328 (120). Vide t. IV p. 410. Contuli.

14. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 16. Correctus est passim manu secunda, raro manu quarta quae rubro atramento usa est. Vide t. I p. 48 sq. et supra p. 74. Contuli.

15. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 16. Vide t. I p. 426 sq.

E communi fonte fluxerunt tres codices:

16. Parisinus gr. 3018 saec. XV fol. 16ᵛ. Vide t. V p. 173 sq.

17. Parisinus gr. 3015 saec. XIV fol. 17. Vide t. V p. 175 sq.

18. Laurentianus LVII 23 saec. XIV fol. 1. Vide t. V p. 176 sq.

Ex hoc descriptus est

19. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 8. Vide t. V p. 178 sq.

20. Athous Laurae S. Athanasii Ω 123 saec. XIII fol. 103. Vide t. I p. 323 sq.

21. Vaticanus gr. 937 saec. XV fol. 109. Vide t. I p. 329 sq.

22. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 186. Vide t. I p. 363 sq.

Ex eodem quo hic Ambrosianus fluxit codice

23. Parisinus gr. 3017 saec. XV fol. 178. Collatus est a Bastio et Boissonadio. Vide t. II p. 4 sq.

269 24. Ambrosianus B 101 (123 in catalogo Martinii et Bassii) (= A) bombycinus formae quartae saec. XIII/XIV diversis manibus exaratus olim Georgii Tribiziensis Graecorum Venetiis habitantium sacerdotis deinceps Georgii Merulae Alexandrini et scholae Hieronymi Calchi testibus inscriptionibus folii 1: *Est Georgii Merulae Alexandrini et amicorum 1479 Venetiis. ἐγὼ ὁ παπᾶς γεώργιος ὁ τριβιζίας ὁ κρὴς ὁ τῶν ἐν βενετίαις γραικῶν ἱερεὺς ἐπώλησα τὴν ῥητορικὴν ταύτην τοῦ ἑρμογένους τῶ κυρῶ διδασκάλω τῶ κυρῶ γεωργίω τῶ ἀλεξανδρεῖ χρυσίνου ἑνὸς καὶ ἡμίσεως: εἰς ͵αη νοθ κατὰ λατίνους· καὶ ἀπέλαβον τὰ εἰρημένα χρήματα* et folii 2: *Hic liber est scholae domini Hieronymi Calchi*[1]) et *Collegii Chalchorum* continet post Apthonii progymnasmata et Hermogenis artem rhetoricam scholiis ornatam inde a folio 152r usque ad 155 (= 1—4), quo finitur, manu saeculi XIII exeuntis bene exaratam declamationem inscriptam

λιβανίου μελέτη· πλούσιος ἀριστεύσας ᾔτησεν εἰς τὴν δωρεὰν αὐτοῦ φυγάδας ἐπανελθεῖν· αὖθις ἀριστεύσας ᾔτησε τοὺς ἀτίμους ἐντίμους γενέσθαι. τρί-

1) Cf. Martinii et Bassii Catal. codd. graec. bibl. Ambros. p. XIV.

τον ἀριστεύσας καὶ δεσμωτῶν αἰτησάμενος λύσιν τυραννίδος ἐπιθέσεως ὑπὸ ῥήτορος κρίνεται.

Fluxit ex eodem fonte quo *Cl.* Contuli.

Nisi ex hoc ipso, certe e fonte communi fluxit codex

25. Bodleianus Canonicianus gr. 41 (= Can) saec. XV cuius non solum initium periit — nam folium 1 incipit voce *τρίτην* p. 250, 5 — sed etiam quae foliis 1 et 2 continebantur magna e parte diruta sunt. Vide t. V p. 186 sq. Contuli, sed postquam eum fere cum codice *A* consentire, ubi vero ab hoc recedat, errare intellexi[1]), lectiones eius ab apparatu critico seclusi.

26. Smyrnaeus bibliothecae scholae evangelicae B—9 saec. XVIII fol. 397. Descriptus est ex editione Morelliana. Vide t. V p. 415.

27. Hierosolymitanus S. Sepulcri bibliothecae patriarchalis 79 saec. XV continet declamationem foliis 28, 11, 14, 31, 32, 34, 10, cuius in textu constituendo quam temere manus interpolatrix grassata sit vel e titulo cognoscas in hanc formam mutato: *ἐν δημοκρατίᾳ τινὶ δοροδοκηθέντες τινὲς ἐξόρισαν τιμὰς* (corr. *τινὰς*) *τῶν πολιτῶν ἀσεβεῖς αὐτοὺς κρίναντες ἀδίκως. τὶς ἀναστὰς εἶπε τούτοις ἐναντία· καὶ κατάξας ἐκείνους μετ' ἐκείνων τοὺς πολεμίους ἐτρεπώσατο· καὶ τροπώσας ἑτέρους δεσμώτας ἐκ τοῦ δεσμωτηρίου ἐκβάλλει· καὶ κρίνεται ὡς βουλόμενος τυραννεῖν.* Vide t. V p. 451 sq. et 457. Lectiones nonnullas a textu Reiskiano recedentes, dum codex in bibliotheca archiepiscopali Londinensi est, in schedas suas quae codice Musei Britannici Burneiano 513 continentur rettulit Carolus Burney; e quibus descriptionem codicis publici iuris fecit H. J. Todd in 'Transactions of the Royal Society of the Literature' vol. I part. I p. 158 sq. Vide t. V p. 456.

1) Ut paucis defungar, cum *A* praebet p. 250, 15 *ἔλεγον* (*ἀπέλεγον Cl*, *διέπτυον* reliqui codd. recte), p. 252, 17 *οὖν* pro *γοῦν*, p. 255, 18 *νικῶν* pro *νικᾶν*, p. 258, 5 *οἰκειοῦνται* pro *ᾠκειοῦντο*, p. 251, 14 *καὶ* insertum ante *κατήγορος*. Ab *A* discrepat p. 253, 8, sed quod ipse praebet *ἀρίστους* etiam magis a vero *ἀριστέα* recedit quam quod in illo est *ἀρίστου*.

28. Vaticanus Palatinus gr. 350 saec. XVI continet folio 21 finem declamationis inde a verbis ἔχειν αὐτοὺς p. 257, 4. Vide t. II p. 4.

Ex his quos in censum vocandos esse duximus codices octo *CrHViAClBVaM* rursus in duas discedunt familias, quarum prior codicibus *CrHVi*, altera *AClBVaM* continetur. Necessitudinis vero vinculum quo singuli codices inter se coniuncti sunt hoc tibi reddet stemma:



In universum quidem hic quoque pretium prioris familiae paulo maius est quam alterius.

Etiam testimoniorum copia satis magna est. Nam Ioannes Doxapatri in commentario ad Hermogenis περὶ εὑρέσεων libellum[1]) conscripto usus ille quidem codice alterius familiae non solum prooemii tantam habuit rationem ut integrum illud in medium proferret, sed etiam duos alios locos magni ambitus exscripsit. Item Macarius Chrysocephalus[2]) duas sententias laudavit, singulos locos rei grammaticae rationem habentes Thomas Magister et Andreas Lopadiota auctor lexici Vindobonensis.[3])

---

1) Cf. t. II p. 86 et t. V p. 125. Descripsi e codice Barocciano gr. 175. Lectiones codicis optimi Vaticani gr. 2228 et a Graeveno exscriptas Parisini gr. 2922 debeo liberalitati Hugonis Rabe.

2) Cf. t. I p. 351 sq.

3) Cf. t. I p. 238.

In lucem protracta est declamatio anno 1517 editione Ferrariensi (= Ferr) fol. 35r—41r quae e Wolfenbuttelano codice prioris familiae fluxit.[1]) Hanc Fed. Morellus editione anno 1606 foras missa Liban. opp. t. I p. 727—739 (= Mor) repetivit paucis correctis vel cum γϱ. in margine positis[2]) quae e codice simillimo codicis *M* sumpsit.[3])

Pauca huius editionis vitia Reiskius (= Re) editionis Ferrariensis plane immemor cum ope codicis Wolfenbuttelani tum ex ingenio correxit, sed uxor quae editionem curavit t. IV p. 540—552 ne haec quidem omnia in textu reposuit.

Pauca ad hunc corrigendum Fr. Iacobsius cum alibi tum in 'Lectionum' libro[4]) et Cobetus contulerunt.

---

1) Cf. t. I p. 75.

2) Cf. p. 249, 2; 257, 14; 258, 5.

3) Hunc codicem bibliothecae Regiae fuisse ipse Not. f. VII 2 ad p. 242, 3 testatur verbis: „*Scribitur etiam in mnsc. Reg. μαχόμενον*". Ex iis autem qui hodie in bibliotheca Nationali sunt codicibus nullus in censum venire potest nisi Parisinus gr. 3018.

4) Cf. t. I p. 77 et V p. 198.

XXXVII.

Πλούσιος ἀριστεύσας ᾔτησεν εἰς τὴν δωρεὰν τοὺς φυγάδας ἐπανελθεῖν. αὖθις ἀριστεύσας ᾔτησε τοὺς ἀτίμους ἐντίμους γενέσθαι. τρίτον ἀριστεύσας καὶ δεσμωτῶν αἰτησάμενος λύσιν τυραννίδος ἐπιθέσεως ὑπὸ ῥήτορος κρίνεται.

Μελετῶμεν τὸν φεύγοντα.

R IV 540 1. *Ὁ μὲν εὐσεβής, ὦ δικασταί, καὶ φιλάνθρωπος δῆμος ἀμφότερά μου θαυμάζει καὶ δικαίως τήν τε*

Cr = Codex palimpsestus Hierosolymitanus S. Crucis 57
H = Hierosolymitanus S. Sepulcri 107
Vi = Vindobonensis philos. et philol. IV 82
A = Ambrosianus B 101
Cl = Berolinensis gr. 195, olim Claromontanus
B = Barberinus II 41 (Vatic. Barb. 220)
Va = Vaticanus gr. 82
M = Marcianus gr. 439

---

6 *στοχασμός M* et *γρ* in marg Mor

---

1 *Προθεωρία.* ante *Πλούσιος* edd delevi 2 *τοὺς*] *αὐτοῦ A* 6 *Μελετῶμεν τὸν φεύγοντα* om *ViB Va* Ferr *Λόγος πλουσίου φεύγοντος* post *φεύγοντα.* Mor Re delevi 7 voce *Ὁ* inc *Cr* fol. 77v *Ὁ* — 241, 15 *δυσμενεῖς* praemissis verbis *ἀλλὰ καὶ ἐπὶ τοῦδε τοῦ ζητήματος· πλούσιος ἀριστεύσας ᾔτησε τοὺς ἀτίμους ἐντίμους γενέσθαι, τρίτον ἀριστεύσας καὶ δεσμωτῶν αἰτησάμενος λύσιν τυραννίδος ἐπιθέσεως ὑπὸ ῥήτορος κρίνεται καὶ ἐπὶ τούτου γοῦν τοῦ ζητήματος τὸν φεύγοντα μελετῶν προοιμιάζεται οὕτως* citat Ioannes Doxapatri in commentario ad Hermogenis *περὶ εὑρέσεων* librum cod. Vat. gr. 2228 fol 204v; Barocc. gr. 175 fol. 20v | *ὦ δικασταί*] *ὅδε CrH* 8 *καὶ* om *CrHVi*

κατὰ τῶν πολεμίων ἀνδρίαν καὶ τὴν ὑπὲρ τῶν ἀτυχούντων ἐπαγγελίαν. οὐ γὰρ κακίας τὴν αἴτησιν ἔλεγχον, ἀλλ' ἀρετῆς ἐπίδειξιν ἔκρινεν. ὅθεν αἰτοῦντος ἤκουε μὲν εὐμενῶς, ἐδίδου δὲ ἀνυπόπτως τὴν χάριν καὶ προθυμότερος τοῦ λαμβάνοντος ἦν τὴν ἐκ τοῦ πράγματος ὠφέλειαν κρίνων. 2. *ἐπειδὴ δ' ὁ σοφὸς οὗτος καὶ τῷ λόγῳ δημοτικὸς κατηγορεῖ μὲν ἐμοῦ, φθονεῖ δὲ τοῖς εὐτυχοῦσι, μισεῖ δὲ τὴν ὁμόνοιαν καὶ τυραννίδος ὑποψίαν ἐμβάλλει κατὰ τοῦ τοσαύτην τῆς ψυχῆς δεδωκότος τὴν πεῖραν, ἓν ἔτι μοι λείπεται πρὸς τὴν τῆς ἀριστείας ἀμοιβήν, ψῆφος δικαστῶν ἀκριβὴς οἷος ἔσομαι πολίτης ἐξ ὧν περὶ τοὺς κινδύνους ἐγενόμην ἀναζητοῦσα καὶ τοσοῦτον* | R IV 541 *τοὺς συκοφάντας μισοῦσα ῥήτορας ὅσον ἐγὼ τοὺς ἀλιτηρίους ἀποστρέφομαι δυσμενεῖς.*

3. *Ὁ μὲν οὖν κατήγορος μόνοις ἀεί με σχολάζοντα τοῖς ὅπλοις εἰδὼς καὶ γραφὰς οὔτε γραψάμενον οὔτε*

---

4 cf. t. V 16, 8 | Thuc. I 146

---

16 *βον προοίμιον A*

---

1 *τῶν* om Re | *ἀνδρίαν* scripsi e *CrBVaM* Doxap *ἀνδρείαν HViA* edd | *ὑπὲρ* om *H* 2 *ἐπαγγελίαν Va* sed γρ *ἐλευθερίαν* in marg m² | *αἰτίαν ACl* Doxap 3 *ἐπίδειξιν* scripsi auctore Cobeto Coll 296 coll t. III 113, 5 *ἐπίδοσιν* libri Doxap edd 4 *ἤκουε μὲν*] *εἶκε μὲν* (superscr. *ὑπετάττετο*) Doxap (Barocc) | *ἀνυπόπτωτος A* | *τὴν* om Mor 5 *λαβόντος CrHVi* 6 *κρίνων Va* sed *προορῶν* in marg m⁴ | *ἐπεὶ CrHViAM* | *δὲ* Doxap 7 *τὸν λόγον Va* sed in *τῷ λόγῳ* corr m² 8 *ὁμόνοιαν* scripsi e *CrHViACl* et γρ in marg *Va* et Doxap *εὐνομίαν BVa* edd *εὐκοσμίαν M* 9 *κατὰ τοῦ*] *κατ' ἐμοῦ* Doxap (Barocc) 12 *ἐγινόμην* Doxap 16 *ὁ μὲν* — 242, 14 *λογισμούς* praemissis verbis *τούτοις ὅμοιον καὶ παρὰ τῷ Λιβανίῳ ἐν τῷ τοῦ ἀριστεύσαντος πλουσίου ζητήματι καὶ αἰτήσαντος κτλ.* citat Doxap l. l. (Vat. 2228 fol. 218ʳ; Barocc. 175 fol. 44; Vindob. 73 fol. 62ᵛ) | *οὖν* om Doxap | *ἀεὶ σχολάζοντά με H*

φυγόντα πώποτε μεγάλαις ἥκει τὸν νοῦν ἀναρτήσας ἐλπίσι καὶ νικᾶν σοφιζόμενος οἴεται πάντως ὃν οὐδὲ μιμεῖσθαι μαχόμενος ἤθελεν. ἐγὼ δὲ βῆμα καὶ δικαστὰς ἄρτι πρῶτον ἰδὼν μᾶλλον ἢ οὗτος τεθάρρηκα. 4. εἰ μὲν γὰρ ἕτεροι μὲν οἱ τότε τιμήσαντες, ἄλλοι δὲ οἱ νῦν δικάζοντες ἦσαν καὶ οὔτε τῆς δι' ἡμᾶς ἀσφαλείας οὔτε τῆς εἰς ἐμὲ μετείχετε ψήφου, εἰκότως ἂν εὐλαβούμην μὴ μελέτην οὗτος καὶ βίον ἔχων τὰ δικαστήρια περιέσται ῥᾳδίως τοῦ μηδὲν ἕτερον τέως ἢ πολεμίους νικᾶν ἐγνωκότος· ἐπειδὴ δὲ μέρος ὑμεῖς μοι τοῦ τετιμηκότος γεγόνατε δήμου καὶ τὰς ἐμὰς ἀεὶ μετὰ τῶν ἄλλων ᾄδετε νίκας, οὐκ εὐλαβοῦμαι τοῦ κατηγόρου τὴν τέχνην, οὐ δέδοικα γλῶτταν γενναίαν ψευδεῖς ἔχουσαν λογισμούς.

5. *Οἱ μὲν οὖν ἄλλοι τῶν ἀριστέων σιτήσεως τυχεῖν ἢ ἀτελείας δεόμενοι ἑαυτούς, οὐ τὴν παρέχουσαν ὠφελεῖν σπουδάζουσι πόλιν καὶ μόνοι τοῦ γέρως ἀπολαύουσιν ὡς μόνοι τῶν δεινῶν μετασχόντες κινδύνων·*

---

15 γ̄ *προοίμιον* *A*

---

1 *ἐλπίσιν ἥκειν τὸν νοῦν ἀναρτήσας* Doxap 3 *μαχόμενον* *ViABM* et e *cod. Reg'o* Mor Not f. VII 2 | *ἤμελλεν* *A* 4 *πρῶτον* reposui e *CrHViABVaM* Doxap *πρώτως* *Cl* edd sed *γρ πρῶτον* in marg Mor 5 *μὲν*(1) om Doxap 6 *δ'* Mor sed *δι'* coni Not 7 *μὲ* *Va* | *μετείληφε* *CrH* 10 *ἐπειδὴ* reposui e libris Doxap *ἐπεὶ* edd | *ὑμεῖς* *Va* sed *ὑ* in ras m4 | *μοι* om Doxap *μὲ*[οι] *Va* sed *ε* in ras m4 11 *ἀεὶ* om Doxap 14 „*num ἐροῦσαν an ἐμοῦσαν an τεκοῦσαν?*" Re *χέουσαν* Iacobs Add 330 Lect 127 15 *οἱ μὲν* — 243,12 *χάριν* praemissis verbis (*ὅμοιον*) *καὶ παρὰ τῷ Λιβανίῳ ἐν τῷ τοῦ πλουσίου ζητήματι ἀριστεύσαντος καὶ αἰτήσαντος εἰς τὸ γέρας κτλ.* citat Doxap. l. l. (cod. Vat. 2228 fol. 217r; Barocc. fol. 42v) 16 *ἑαυτούς* om *Vi* | *παρέχουσαν* *Va* sed *γρ παροῦσαν* in marg | *ἀφελεῖν* *Vi* 17 *γεράς* *M* 18 *κατασχόντες* *H* scriptura in *Cr* parum certa | *κινδύνων* om *Cl* et delendum censet Iacobsius App. Pors. Adv. 289 Lect

ἐγὼ δὲ τοὺς ταῦτα ποιοῦντας οὐκ αἰτιώμενος ἑτέραν ἐτράπην καὶ δωρεὰς ᾔτουν, ἐξ ὧν ἐμοὶ μὲν ἔχειν οὐδὲν ἐγίνετο πλέον, οἱ δὲ ἀτυχοῦντες εὐδαιμόνουν πολῖται, καλὸν εἶναι νομίζων καὶ τοῖς ἡμετέροις ἤθεσι πρέπον τοὺς παρὰ τὴν μάχην γενναίους μεγαλόφρονας παρὰ τὸν τῆς εἰρήνης εἶναι καιρὸν καὶ τοὺς πολλῶν ἡμᾶς ἀπαλλάξαντας κινδύνων τοὺς ἰδίᾳ πταίσαντας ἐπανορθοῦσθαι πολίτας. παντὸς μὲν οὖν διὰ ταῦτα κατεφρόνησα κέρδους καὶ οὐ μεταμέλει μοι τῆς εὐβουλίας, περιέστησε δέ μοι τὸ πρᾶγμα συκοφάντης ἄνθρωπος καὶ κακίας ἔλεγχον ποιεῖται τὰ φιλανθρωπίας γενόμενα | χάριν. R IV 542

6. *Ἐβουλόμην μὲν οὖν μήτε τῶν τῆς πόλεως ἔτι μνησθῆναι κακῶν μήτε τοῖς εὖ παθοῦσιν ὀνειδίσαι τὴν χάριν μικροψύχου νομίζων ἀνδρὸς εἶναι καὶ ἀπειροκάλου τὸ πρᾶγμα· νῦν δὲ ἡ πονηρὰ τούτου βουλὴ*

---

15 Dem. cor. § 269 p. 316, 6 sq.

---

10 *περιέστησε εἰς τὸ ἐναντίον ἤγαγεν Mm τοῦτ' ἔστιν εἰς τοὐναντίον ἔστησεν Va*4 (et Wolfenb) 13 *προθεραπεία A* cf. Hermog. de inv. IV 12 ed. Walz rhet. gr. t. III 179, 9

---

2 *δωρεὰν ClM* | *οὐδὲν ἔχειν CrHVi* 3 *ἐγίγνετο ViM* edd | *εὐτυχοῦντες Vi* 4 *οὖν* Doxap | *ὑμετέροις Cl* 5 *περὶ ViACl* | *περὶ Vi* 6 *εἶναι* om *Vi* | *ὑμᾶς Cl* Ferr Mor 7 *ἰδίους BVa* 8 *διαταῦτα ViB* 9 *εὐβουλίας Va* sed *εὐ* in ras m2 10 *περιέστηκε Vi* 11 *γιγνόμενα Cr* sed *γνόμενα* minus certa, *H γινόμενα Vi* 13 *Ἐβουλόμην* — 244, 4 *γνώμης* praemissis verbis *τοιοῦτόν ἐστι παρὰ τῷ αὐτῷ καὶ ἐν τῷ τοῦ πλουσίου ζητήματι τοῦ ἀριστεύσαντος καὶ αἰτήσαντος εἰς τὸ γέρας τήν τε τῶν φυγάδων ἐπανέλευσιν καὶ τὴν τῶν ἀτίμων τιμὴν καὶ τὴν τῶν δεσμωτῶν λύσιν καὶ τυραννίδος ἐπιθέσεως ὑπὸ ῥήτορος κρινομένου· ἐν τούτῳ γὰρ πάλιν τὸν φεύγοντα μελετῶν πλάττεται προοίμιον τέταρτον τοιοῦτον* citat Doxap l. l. (cod. Vatic. fol. 211v; Barocc. fol. 33r) | *οὖν* om Doxap | *τὸν MVa* sed in hoc *ὁ* in *ῶ* corr m4 | *ἔτι* om Doxap 14 *εὐπαθοῦσιν HBVa* Mor Re scriptura in *Cr* parum certa 15 *μικροψυχίαν A* | *εἶναι* om *A* 16 *νυνὶ Vi*

καὶ ἡ παράδοξος κατ᾽ ἐμοῦ τῆς τυραννίδος γραφὴ ἀναγκάζει με συντόμως τά τε περὶ τὸν πόλεμον ὅπως εἶχεν εἰπεῖν καὶ μεθ᾽ ἧς ταῦτα ᾔτουν διηγήσασθαι γνώμης. ἔχει γὰρ οὕτως.

7. Πάλαι παρ᾽ ἡμῖν, ὦ δικασταί, φορὰ πονηρῶν καὶ δωροδόκων καὶ οἷος οὗτος γέγονε ῥητόρων οἳ μικρὰς ἔχοντες κατὰ τῶν πολιτῶν ἀφορμὰς εἰς ὕψος τὰς αἰτίας ἦγον, θορύβου δὲ καὶ κραυγῆς ἀεὶ τὰς ἐκκλησίας πληροῦντες τῶν ὁρίων ἐλαύνειν ἔξω τὸν δῆμον τοὺς οὐδὲν ἢ μικρὸν λυπήσαντας ἔπειθον τῇ τῶν κρειττόνων μεταστάσει τὰς πρώτας ἔχειν αὐτοὶ τιμὰς τῆς πολιτείας ἐλπίζοντες. ὡς δὲ οἱ μὲν τοὺς γενναίους καὶ μεγαλόφρονας ἤλαυνον πολίτας, ἐκηρύττετο δὲ τοῖς πολεμίοις τὸ πρᾶγμα, ἐλάνθανε δὲ αὐτοὺς τῶν γινομένων οὐδέν, τότε πρῶτον μεγάλας κατὰ τῆς πόλεως ἔσχον ἐλπίδας, ὅτε τοὺς ἀμύνοντας οὐκ εἶχεν ὁ δῆμος, ὅτε τῶν διωκόντων πλείους ἦσαν οἱ φεύγοντες. 8. ἐπέρρωσε μὲν οὖν τοὺς δυσμενεῖς ἡ μεγάλη τῆς πόλεως ἄνοια τῇ πολλῇ τῶν φυγάδων ἐρημίᾳ καταφρονεῖσθαι τοὺς λειπομένους ποιοῦσα, ὡς δὲ οἱ μὲν κατελθεῖν διὰ τοὺς ἔνδον συκοφάντας κατέδεισαν, οἱ

5 προδιήγησις Mrubr

3 εἶχε *Vi* 5 παρ᾽ ἡμῖν, ὦ δικασταί] παρ᾽ ἡμῶν ὧδε *Vi* παρῆν ὧδε Par 3017 (Boissonad. Eunap. II, 134) | φορᾶ *CrH* 8 ἀεὶ inserui e *CrHVi* om *AClBVaM* edd 9 τῶν om *CrHVi* 10 μικρὰ *CrHVi* 12 οἱ μὲν τοὺς] τοὺς μὲν *H* scriptura in *Cr* parum certa | ἢ *H* scriptura in *Cr* parum certa 13 ἀνεκηρύττετο *A* 14 αὐτοὺς τῶν γινομένων οὐδέν scripsi ex *HViACl* οὐδὲν αὐτοὺς τῶν γιγνομένων (γινομένων *BVa*) *BVaM* edd 15 πρότερον *Cl* 16 ἔχων *A* 17 ὅτι Iacobs Anth Pal III 709 18 ἐπέρρωσε scripsi e *Vi* coll Thuc. IV 36,2 ἐπτέρωσε reliqui libri sed scriptura in *Cr* incerta, edd | οὖν om *Vi* 20 τοῖς λειπομένοις *H* scriptura in *Cr* incerta 21 ἔσω *BVa*

δὲ ἐξελθεῖν διὰ τοὺς περικαθημένους ἔφριττον δυσμενεῖς, πρῶτος τῶν πολιτῶν ὡπλιζόμην καὶ τοῖς πολλοῖς ἀρετῆς ἐφάνην εἰκών. συρραξάντων δὲ ἡμῶν τοῖς ἐπελθοῦσιν ἀσπὶς μὲν τέως ἀντέκρουεν ἀσπίδι, χρησιμώτερα δὲ ἡμῖν τῶν βελῶν ἦσαν τὰ ξίφη. 9. *καὶ πολλάκις μὲν αὐτοὶ παρ' ἡμῶν, πολλάκις δὲ ὑπ' ἐκείνων ἡμεῖς ἠλαυνόμεθα, ἐνδεδωκότων δὲ τῶν σὺν ἐμοὶ καὶ τὴν ἐπὶ τὸ τεῖχος περισκοπούντων ὁδὸν μόνος λοιπὸν κατὰ πάντων ἐχώρουν, μόνος τὴν πυκνὴν τῶν πολεμίων διέρρηξα φάλαγγα. καὶ θαρρεῖν μὲν αὖθις τοὺς ἐμοὺς διὰ τὴν ἐμὴν ἐποίουν ἀνδρίαν, οἱ δὲ τότε ὡς ἐφ' ἕρμαιον ἥκοντες οὐ μεθ' ὁμοίου τοῦ σχήματος ἀνεχώρουν, ἀλλ' οἱ μὲν ἔπιπτον, οἱ δὲ ἡλίσκοντο, οἱ δὲ τὸν | περὶ τῆς ψυχῆς ἔθεον δρόμον ἐκ πολλῶν* R IV 543 *ὀλίγοι καὶ πολλοὶ κατ' ὀλίγους καὶ οὗ δυνατὸν ἦν δραπετεύοντες.* 10. *θυμοῦ μὲν οὖν ἡ πέμψασα πόλις ἐνεπίμπλατο μείζονος οὐχ ὅσους ἔπεμψεν οὐδὲ οἵους ἤλπιζεν ἀπολαβοῦσα τοὺς ἑαυτῆς, ἐκκλησίαν δὲ ὁ δῆμος μετὰ τὴν νίκην ἐποίει καὶ περὶ τῆς ἐμῆς ἐβουλεύετο δωρεᾶς. καλοῦντος δέ με τοῦ κήρυκος τῇ κοινῇ τοῦ δήμου φωνῇ καὶ λαβεῖν ὅσα ἤθελον ἐπιτρέποντος οὐ*

---

14 Arist. vesp. 376. Her. VIII 74   15 Her. IX 102

---

1 *παρακαθημένους Vi*   2 *τῆς πολλῆς Vi*   3 *δ' H*   5 *δ' HVi* | *ἡμῶν Vi* | voce *βελῶν* des *Cr* fol. 77r *βολῶν A*   6 *δ' Vi*   7 *ἐλαυνόμεθα ACl* | *ἡμῖν ViA*   8 *περὶ ViA* | *ἐπισκοπούντων A* | *ὁδὸν* inserui ex *HViAClBVa* om *M* edd   10 *θανεῖν δὲ A*   11 *ἀνδρείαν HViACl* edd   12 *οὐκ ἔθ' H*   14 *τῆς* om *M*   15 *οὗ δυνατὸν ἦν* scripsi ex *H* *δυνατὸν ἦν Vi* *οὐδὲ τὴν αὐτὴν ClBVaM* edd *οὐ τὴν αὐτὴν A*   16 *οὖν* om *Va* | *πέμψασα* om *B*   17 *ἐνεπίπλατο AVa* | *οὐχ*] *ἀλλ' B* | *οὐδ' ABVaM* edd   19 *περὶ*] *μετὰ Cl*   20 *τοῦ κήρυκος* om *M*   21 *σχῆμα* ante *οὐ* in lac 5 litt inser *A*

στεφάνους ἔχειν, οὐκ ἀτέλειαν ἤθελον, οὐ χαλκῆς τυχεῖν ἐδεόμην εἰκόνος, ἀλλ' ἐπειδή μοι προσδοκώμενος αὖθις ἔμελε πόλεμος καὶ φήμη πονηρὰ καὶ πολεμίων ἰσχὺς πανταχόθεν ἀγειρομένων, τοῦ μὲν πολλοῦ κατεφρόνησα κέρδους, τῆς δὲ κοινῆς ἀσφαλείας ἀντεποιούμην καὶ μίαν εἶδον σωτηρίας ὁδὸν μηδένα εἶναι τῆς πόλεως ἔξω μηδὲ τοὺς διὰ συκοφαντίαν φεύγοντας προσθήκην ἐᾶν τοῖς πολεμίοις γενέσθαι μεγάλην. 11. διὰ ταῦτα φιλανθρώπου τυχεῖν ἠξίωσα ψήφου ἀνδρῶν εὐχόμενος τὴν πόλιν μᾶλλον γενναίων δρᾶν γέμουσαν ἢ πλούτου μείζονος τὴν ἐμὴν ἀπολαύουσαν οἰκίαν. καὶ οὐκ ἐγὼ μὲν οὕτως, ἐμέμφετο δέ μου τὴν κρίσιν ὁ δῆμος, ἀλλὰ τῆς περὶ τὸν πόλεμον εὐψυχίας λαμπροτέραν τὴν περὶ τῆς δωρεᾶς ἐνόμιζεν αἴτησιν καὶ διὰ ταῦτά με μόνον εὔνουν, μόνον φιλόπολιν, μόνον ἐκάλει δημοτικόν. 12. ὡς δὲ πλήρης ἦν τῶν οἰκείων ἡ πόλις, τοὺς μὲν φυγάδας ὁ δῆμος ὁρῶν τῆς ἔχθρας ἐπελανθάνετο καὶ πολίτας ἐκάλει χρηστούς, οἱ δὲ τὴν μέλλουσαν ἰδεῖν ηὔχοντο μάχην ἀμοιβὴν τῆς εὐεργεσίας τὴν προθυμίαν εἰσφέρειν σπουδάζοντες. φανέντος δὲ τοῦ καιροῦ καὶ τῶν πολεμίων ἡμᾶς αὖθις ἐπιτρεχόντων καὶ μείζονα λυπεῖν ὧν ἔπαθον ἐλπιζόντων πρῶτοι

---

1 *οὐκ* reposui ex *HViAClBVa* *οὐδὲ M* edd 3 *ἔμελε* scripsi cum Iacobsio Anth Pal III 489 et Cobeto Coll 296 *ἔμελλε* libri edd sed ante id *ἥξειν* excidisse coni Re 4 *ἀγειρομένων* scripsi ex *HVi* cum Cobeto Misc 156 *ἐγειρομένων A ClBVaM* edd 5 *ὠφελείας BVa* 7 *μὴ δὲ HViClB* 8 *μοι Vi* | *διαταῦτα ViB* 9 *ἐφιέμενος Cl* 10 *ὁρῶν B* 11 punctum post *οἰκίαν* posui, ante *οἰκίαν* Mor Re 13 *εὐτυχίας Vi* 14 *παρὰ Vi* | *ἐνόμιζον BVa* | *διαταῦτά B* 15 *με* inserui ex *HViAClBVa* om *M* edd 16 *τὴν* ante *τῶν Cl* 17 *δὲ H* | *τῆς Va* sed *ῆσ* in ras m² 19 *εὔχοντο Vi* 20 *σπουδάζοντος Vi* 21 *τῶν* in ras *Va²* | *ἡμᾶς αὖθις* in ras *Va²* | *αὖθις ἐπιτρεχόντων ἡμᾶς Vi*

τῶν πυλῶν ἔξω, πρῶτοι τῶν γενναίων ὁρμήσαντες πολιτῶν ἐπὶ τοῦ τῆς φάλαγγος ἔστησαν μετώπου. 13. *μόνους δὲ ὁρῶν αὐτοὺς τῆς ἐμῆς προαιρέσεως μιμητὰς τούτοις ἐπέταττον, μετὰ τούτων ἠγωνιζόμην τοσοῦτον αὐτῶν ἀρετῇ καὶ δρόμῳ προέχων ὅσον ἐκεῖνοι τῶν ἄλλων. δευτέρας | δὲ οἱ πολέμιοι σφαλέντες ἐλπίδος* R IV 544 *ἀνεχώρουν μέν, οὐ μετεμέλοντο δέ, ἀλλ' ὥσπερ οἱ περὶ τὴν παλαίστραν ἀγωνιζόμενοι τὴν τρίτην ἰδεῖν ἀνέμενον πεῖραν καὶ τὸν αὐτὸν καθ' ἡμῶν θυμὸν μετὰ μείζονος εἶχον παρασκευῆς καὶ δυοῖν ἑαυτοῖς ὡρίζοντο θάτερον, ἢ τὴν ἡμετέραν θᾶττον ἑλεῖν ἢ μηκέτι πρὸς τὴν οἰκείαν ἐπανελθεῖν.* 14. *ἐμοὶ μὲν οὖν ἡ πόλις τὸ γέρας αὖθις κατ' ἐξουσίαν ἐδίδου καὶ τὰς πολλὰς κατέλεγε δωρεὰς κρίνειν με τὸ καθ' ἡδονὴν ἐπιτρέπουσα. ἐγὼ δὲ πεῖραν τῆς ἀγαθῆς ἔχων αἰτήσεως καὶ ὅσα τὸν δῆμον οἱ κατελθόντες ὤνησαν φυγάδες ἡδέως λύειν τὰς τῶν πολιτῶν ἐσπούδαζον ὕβρεις. ὁρῶν γὰρ ὅτι πολλοὶ τῶν μεγάλα πράττειν ὑπὲρ τῆς πόλεως εἰδότων καὶ πολλὴν τῆς εἰς τὸν δῆμον εὐνοίας δειξάντων τὴν πεῖραν ἄτιμοι μὲν ἐξ ἐντίμων, ἄδοξοι δὲ ἐξ ἐνδόξων γεγόνασι καὶ τὴν προθυμίαν ἡ ὕβρις ἀνέκοπτε, μίαν πάλιν τῆς ἀριστείας ᾔτησα δωρεὰν τοὺς*

---

4 *τοσούτων H* 5 *ἀρετῆς A* 7 *ὡσ Vi* 8 *οἷ AM* edd | *παρὰ HViAClVa* | *τὴν τρίτην* in ras *Va*^{2} 9 *οὐ* ante *μετὰ Vi*
10 *ἑαυτοῖς* scripsi ex *AClBVa* sed in hoc ras spir. supra *υ* et *ἑ* antepos m^2 *αὐτοῖς M αὑτοῖς H* edd om *Vi* 12 *οἰκίαν Vi* | *αὖθις τὸ γέρας A* | *τὸ γέρας* om *Cl* 14 *κρίνει A* | *μὲν Va* sed *ε* supra *ὲν* m^2 | *τὴν ACl* et Par 3017 (Bast app. ep. crit. 50) | *ἐπιτρέπουσα Va* sed *ουσα* in ras m^2 *ἐπιτρέπουσαν A* 15 *ἐγὼ δὲ πεῖραν τῆς ἀγαθῆς ἔχων* scripsi ex *HVi ἔχων δὲ ἐγὼ πεῖραν τῆς ἀγαθῆς AClBVa* sed in hoc *ἐγὼ πεῖραν* in ras m^2, *M* edd 16 *οἱ* in ras *Va*^{2} 17 *λέγειν H κωλύειν Vi* | *ἰδὼν BVa* 18 *μέγα H* 19 *πολλῆς Cl* | *τὴν Vi*
21 *ἐνέκοπτε AClBVa*

διὰ συκοφαντίαν ἀτίμους τῆς ἀρχαίας ἀπολαύειν αἰδοῦς καὶ μηδὲν τῶν ἄλλων διαφέρειν τοὺς ἐκ τῶν αὐτῶν γεγονότας, ἀλλὰ κοινωνοὺς εἶναι νόμων ἅμα καὶ πολιτείας καὶ μάχης. ἐπαινεσάντων δὲ πάντων καὶ φιλόπολιν αὖθίς με διὰ ταῦτα καὶ δημοτικὸν ὀνομαζόντων ἐλύετο μὲν θᾶττον ἡ ἀτιμία, προθυμότεροι δὲ ἦσαν οἱ τιμηθέντες πάντα λοιπὸν σὺν ἡμῖν ἀγαπῶντες ποιεῖν τε καὶ πάσχειν. 15. *θαρρήσαντες δὲ μᾶλλον ἡμεῖς καὶ μίαν ἐν πᾶσιν ὁρῶντες σπουδὴν οὐκέτι τὰς τῶν πολεμίων ἰδεῖν ἀνεμείναμεν ἐφόδους οὐδ' ἐν ἐκείνοις εἶναι παρέσχομεν τὸ ποιεῖν ἡμᾶς, ὅταν ἐθέλωσιν, ἀνδρείους, λογιζόμενοι δὲ καλῶς ὡς οἱ τοῖς πρώτοις στρατεύσασιν ἀντεπιόντες καὶ τοὺς κινδύνους εἰς τὴν ἐκείνων μεταστήσαντες γῆν τὴν ἐκ τῆς ἀνδρίας δόξαν μετὰ τῆς τοῦ δικαίου λαμβάνουσι μοίρας καὶ τὴν ἀρετὴν ἄμεμπτον αὐτοῖς ἡ πρώτη δείκνυσιν ἔφοδος, ταῦτα εἰδότες ἐπὶ τὴν ἐκείνων ὡρμήσαμεν γῆν μείζονι διδάξαι πείρᾳ τοὺς ἀνοήτους σπουδάζοντες οἵαν θήραν*
R IV 545 *μετῆλθον.* 16. *οἱ δέ, κατέπληττε* | *γὰρ αὐτοὺς νεότης ἄοκνος πρόφασιν ῥᾳθυμίας οὐκ ἔχουσα, μικρὸν εἰς χεῖρας ἐλθόντες ἐπὶ πόδα ἀνεχώρουν ὥσπερ τινὰ Γοργὼ τὴν*

---

19 cf. t. II 256, 9 21 cf. t. I 319, 13 | Greg. Cypr. antil. supra p. 158, 8

---

1 *συκοφαντίας Vi* 4 *πάντων* scripsi ex *HViACl* *πάλιν BVaM* edd 5 *διαταῦτα ViB* | *με* post *ὀνομαζόντων Vi* 9 *ἐν πᾶσιν ὁρῶντες σπουδὴν* scripsi e *ViAClBVaM* *ὁρῶντες ἐν πᾶσι σπουδὴν H* *ἐν πᾶσι σπουδὴν ὁρῶντες* edd | *οὐκ ἔτι H* 10 *οὐδὲν A* 11 *ὅμως Vi* | *θέλωσιν B* 12 *πρώτως Cl* 13 *στρατεύμασιν Vi* 14 *τῶν πολεμίων* post *ἐκείνων Vi* | *ἀνδρείας HViAClVa* sed in hoc ε eras, edd 18 *τοὺς ἀνοήτους* om *M* | *πεῖραν HVi* 20 *καὶ* ante *πρόφασιν* (*πρόφασις* Ferr) *BVaM* edd delevi | *ἔχουσαν A* 21 *πόδασ Cl* | *ἐνεχώρουν H* | *ὥσπερ* — 249, 1 *ἀσπίδα* praemissis verbis *Γοργὼ Γορ-*

ἐμὴν ὁρῶντες ἀσπίδα. ἐπειδὴ δὲ πᾶσα μὲν αὐτῶν κατείληπτο χώρα, φεύγειν δὲ οὐδὲ βουλομένοις ἐνῆν, μηχανήματα δὲ ἡμῖν ἡτοίμαστο καὶ κατὰ τοῦ τείχους ὁ πόλεμος ἦν, ἔγνωσαν ὅπερ ἐχρῆν. πρεσβεῖαι γὰρ εὐθὺς πρὸς ἡμᾶς καὶ λόγοι ταπεινοὶ καὶ φρόνημα μέτριον καὶ πολλαὶ τῶν ταῦτα πεισάντων αὐτοὺς ποιεῖν ἦσαν κατηγορίαι. 17. ἡμεῖς δέ, φιλάνθρωπος γὰρ καὶ πρὸς ἐκείνους ὁ δῆμος, τοὺς ἀπὸ τῶν τειχῶν προτεινομένους ἠλεήσαμεν παῖδας, τοὺς πολλοὺς τῶν πατέρων ᾠκτείραμεν θρήνους καὶ νεότητος ἐφεισάμεθα δυστυχοῦς ἐξ ἀβουλίας πάλαι θρασυνομένης. γενομένων δὲ τῶν σπονδῶν καὶ τοῦ δήμου λαμπρῶς διὰ τὴν ἐμὴν πάλιν ἀναχωρήσαντος νίκην τρίτος ἡμῖν περὶ δωρεᾶς ἐγίνετο λόγος καὶ ὁ περὶ τοῦ γέρως ἀνεγινώσκετο νόμος. 18. καί τις τῶν ἐν μέσῳ καθημένων τοιούσδε πρὸς ἐμὲ διεξήρχετο λόγους· ἡμεῖς, ὦ γενναιότατε, πολλὰ καὶ καλὰ παθόντες ὑπὸ σοῦ οὐδὲν τέως τὸν σὸν ὠφελήσαμεν οἶκον οὐδὲ δωρεὰν ἔσχες, ἀλλὰ μόνος τῶν ἀριστέων μεγάλα

γοῦς Ἀττικοί, Γοργὼ δὲ Γοργόνος ἁπλῶς Ἕλληνες. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ τρισαριστέως citat Thomas Mag. s. v. Γοργὼ p. 76, 5 R | μορμὼ A γρ γοργὼ μορμὼ Cl
2 βουλομένην Ferr Mor sed in hoc γρ βουλομένης in marg 3 ἡμῖν om A 4 ὅλος ante ὁ M edd delevi 5 ὑμᾶς A Re 7 παρηγορίαι Iacobs Lect | γὰρ om Vi 8 τείχων H 10 ᾠκτειρήσαμεν ACl | θρόνους Vi 11 πάλιν Cl 12 ποδῶν A 13 πάλιν διὰ τὴν ἐμὴν ACl | ὑμῖν AClVa | παρὰ Cl 14 ἐγίγνετο ViM edd | ὁ om Cl 15 καὶ τίς Vi 16 ποίους δὲ Vi | ἡμεῖς — 17 σοῦ praemissis verbis ὑπὸ πρόθεσις καὶ ἐπὶ ἀγαθοῦ τίθεται. Λιβάνιος citat Andr. Lopad. lex. Vindob. s. v. ὑπὸ p. 179, 1 ed. Nauck 17 καὶ om Lopad 18 ὠφελήσαμεν οἶκον scripsi ex HViAClBVa ὠφελήκαμεν οἶκον M ὠφελήκαμεν δόμον edd sed γρ οἶκον in marg Mor 19 ἂν post ἔσχες HViAClBVa sed in hoc ἂν eras

μὲν ἡμᾶς ἐκ τῆς ἀνδρίας, μείζονα δ' ἐκ τῶν αἰτήσεων ὤνησας τοσαύτην προσθήκην ἀνδρῶν ταῖς τῆς πόλεως παρασχόμενος χρείαις. οὓς γὰρ ἀπατώμενος ὁ πᾶς ἤλαυνε δῆμος, μόνος σωφρονῶν ἐπανήγαγες καὶ νῦν τρίτην σοι χάριν ὑπὲρ τρίτης ὀφείλομεν ἀριστείας. οὐκοῦν χρήματα αἴτει. ἀτέλειαν λάμβανε. τὰ χρησιμώτατά σοι λοιπὸν σκόπει τῆς πόλεως δῶρα. πλουτεῖ διὰ σὲ σωμάτων ἡ πόλις. πλουτείτω σοι μᾶλλον καὶ δι' ἡμῶν χρημάτων ὁ οἶκος. 19. ἐγὼ δὲ ταῦτα R IV 546 | καὶ πάλαι σκοπῶν καὶ τότε ἀκούσας οὐδὲν μᾶλλον τῆς ἐμῆς ἐφρόντιζον οἰκίας οὐδ' ὅπως πλέον ἔξω τι προὐνοήθην, ἀλλ' ἀρκοῦντα πλοῦτον νομίζων ὅσα μοι τύχη δικαία καὶ προγόνων εὔλογος δέδωκε κλῆρος, ταῦτα μὲν καὶ τὰ τοιαῦτα διέπτυον, τὸ δὲ λεῖπον τῇ κοινῇ τῆς πόλεως εὐδαιμονίᾳ ζητῶν τῶν δεσμῶν τοὺς παρὰ τὸ οἴκημα ταλαιπωροῦντας ἀφῆκα οὐ τὰς ἐκείνων ἀποδεξάμενος πράξεις οὐδὲ δορυφόρους ἔχειν αὐτοὺς ἐπὶ τῆς καλῆς τυραννίδος ἐλπίζων ἀλλὰ σκοπῶν, ὅπερ εἰκός, ὡς πονηρὰ φύσις ἀνελπίστου τυχοῦσα συγ-

---

1 ἐκ τῆς ἀνδρείας ἡμᾶς *ACl* | ἡμᾶς inser *Va*[2] ὑμᾶς Re | ἀνδρείας *HViACl* edd | δὲ *Vi* 2 ἀπαιτήσεων *A* 3 παρεχόμενος *Vi* 5 τρίτη *Cl* | σου *A* 6 ὀφείλομεν om *H* 9 σοι scripsi ex *HVi* σου *AClBVaM* edd | „*num leg.* μᾶλλόν τι δι' ἡμᾶς?“ Re 10 δὲ om *A* 12 οὐδὲ *AClBVaM* edd | ἔξω τι πλέον *ACl* 13 τί *HViCl* | πρῶτον *M* 14 κλῆρος δέδωκε *A M* 15 τὰ om *Vi* | ἀπέλεγον *Cl* ἔλεγον *A* 16 δεσμωτῶν *Vi* 17 περὶ *A* 18 αὐτοὺς om *H* 20 πονηρὰ — 251, 2 τιμήσαντας praemissis verbis τῆς μελέτης ἐν ᾗ πλούσιος τρίτον ἀριστεύσας καὶ δεσμωτῶν αἰτησάμενος λύσιν ἐπιθέσεως ὑπὸ ῥήτορος κρίνεται τυραννίδος καὶ ἀπολογεῖται citat Macarius Chrysocephalus fol. 86[v] | ἡ ante πονηρὰ Macar | πονηρὰ φύσις om *ACl* | τυχὼν τίς *A* τυχών τις *Cl*

γνώμης δυσωπεῖται τὴν χάριν καὶ μεταβάλλει τοὺς τρόπους καὶ μετανοεῖν οὐκ ἐᾷ τοὺς τιμήσαντας.

20. Λαβόντος δέ μου καὶ ταύτην παρὰ τοῦ δήμου τὴν χάριν καὶ πολλῶν πάλιν ἀναπεπνευκότων δι' ἐμὲ πολιτῶν οἱ μὲν ἄλλοι πάντες τὴν ἐμὴν ἐθαύμαζον μεγαλοψυχίαν καὶ τοιοῦτον ἔφασκον οὔπω πολίτην ἰδεῖν, μόνος δὲ ὁ βάσκανος οὗτος περιστρέφει τὰ πράγματα καὶ τυραννίδος ὑποψίαν ἐμβάλλει τὴν ὑπὲρ τῶν ἀτυχούντων σπουδὴν ἔλεγχον τῆς κατὰ τῶν εὐτυχούντων ἐπιβουλῆς ποιεῖσθαι νομίζων. 21. φθόνος μὲν οὖν αὐτὸν ταῦτα λέγειν πικρός, οὐκ ἀγαθὴ τῆς πόλεως κεκίνηκε πρόνοια. τί γάρ με μὴ ταύτην ἐπὶ τῶν φυγάδων τὴν κατηγορίαν ἐγράψατο; τί δὲ μὴ ἐπὶ τῶν ἀτίμων φιλόπολις ἐφάνη κατήγορος; ἀλλὰ τοὺς μὲν ἐπανελθόντας, τοὺς δὲ τιμωμένους ὁρῶν ἐκαρτέρει. οὐκοῦν τὴν νῦν βασκανίαν ἡ τότε σιωπὴ διελέγχει καὶ μόνοις ἄχθεσθαι τοῖς δεσμώταις δοκεῖ ἀθρόα νῦν ἄγων εἰς μέσον ἃ κατὰ διαφόρους μοι πέπρακται χρόνους;

22. Ἀλλὰ τοὺς πονηροτάτους, φησί, τῆς τιμωρίας ἐλευθερῶν τῆς τιμωρίας βεβαιοῖς τὴν

---

7 Dem. cor. § 132 p. 271, 10 sq.

---

12 παραγραφικὸν ἀπὸ τοῦ χρόνου M[rubr]

---

1 αἰδεῖται in marg (Wolfenb. et) Mor 2 τὸν τιμήσαντα Macar 3 τὴν χάριν παρὰ τοῦ δήμου ACl 5 θαυμάζοντες H 6 καὶ om H 7 οὗτος om BVa 8 ὑποψίαν reposui e libris sed ν add M[n] et α supra αν Va[2], ut coni Re ὑποψία Ferr ὑποψίᾳ Mor Re ὑποψίᾳ με βάλλει Iacobs Add 342 Lect | τὴν — 9 σπουδὴν om B 10 ποιεῖσθαι νομίζων ἐπιβουλῆς BVa sed in hoc ἐπιβουλῆς in lac 9 litt m[2] 11 αὐτὸν om ViCl 13 δέ μοι Vi 14 ἀνεφάνη M | καὶ ante κατήγορος A 15 ἐκαρτέρει] ἑώρων ἴσως ἑκάτεροι H ἴσθι ὁρῶν ἐκαρτέρει Vi sed del m[2] 16 ἐλέγχει BVa 17 ἀθρόα scripsi ex HVi ἀθρόον AClBVaM edd 18 μέσους HVi 19 φασὶ A

ὑπόνοιαν. τί τὸ μέλλον, συκοφάντα, μαντεύῃ κακῶς παρὸν τὸ φθάσαν ἐξετάζειν καλῶς; τίς δὲ τῶν σῶν ἀνέξεται λόγων παῖδας ἐλευθέρους δι' ἐμὲ καὶ σωφρο-
R IV 547 *νοῦντα γύναια* | *καὶ θαρροῦσαν βλέπων νεότητα;*

23. *ἐγὼ μὲν οὖν ἔλεγχον ἔχω τῆς γνώμης τὰ τρόπαια, σὺ δὲ ἐκ ποίας με ταῦτα νοσεῖν ἐπιθυμίας ὑπολαμβάνεις; πόθεν δὲ τυραννίδος ἔρως τοιαύτης ἐκράτει ψυχῆς; τῆς παρὰ πάντων χάριν, νὴ Δία, τιμῆς; ἀλλ' ἑκούσιος εὔνοια πόλεως ἀναγκαίας αἱρετωτέρα τιμῆς καὶ εὔλογος αἰδὼς λαμπροτέρα πικροῦ νενόμισται φόβου. ὁ μὲν γὰρ μόνῃ τῇ τύχῃ κρατῶν καὶ τὴν ὠμότητα καλὸν τῆς ἀρχῆς νομίζων ἐνέχυρον δεδιὼς πολιτεύεται καὶ τρέμων καὶ ἀεί τι παθεῖν προσδεχόμενος ὅμοιον, ὁ δὲ τοὺς πολλοὺς ταῖς εὐεργεσίαις καταδουλούμενος καὶ φρόνημα ἔχων ὑπὲρ μὲν τῆς πόλεως μέγα, πρὸς δὲ αὐτὴν ἴσον ἀμετάθετον ἔχει τὴν εὔνοιαν ἀεὶ τῆς μνήμης ἀνανεούσης τὴν χάριν. πολλὴ γοῦν μοι παρὰ πᾶσιν ὑπῆρχεν αἰδὼς καὶ προσηγορίας ἀπήλαυον*

---

1 *συκοφάντη A* *συκοφαντία BVa* *συκοφαντίᾳ M* et *γρ* in marg Mor 2 *ἐξετάξειν Vi* | *τίς* — 253, 12 *εὔνοιαν* praemissis verbis *ἔστι δὲ ὅτε παρ' αὐτῷ ἐν τῇ προτάσει ἀναφαίνεταί τι τῶν ἐπιχειρημάτων καὶ ἓν ἐκ τούτων τὴν ταύτης ἐκπληροῖ χρείαν, ὡς ἔστιν ἰδεῖν αὐτὸν ποιήσαντα ἐν τῷ τοῦ ἀριστέως ζητήματι τοῦ ὅτι ἀριστεύσας ᾐτήσατο εἰς τὸ γέρας τῶν φυγάδων τὴν ἐπανέλευσιν καὶ τῶν δεσμωτῶν τὴν λύσιν κτλ. ἔχει δὲ οὕτως* citat Io. Doxapatri l. l. (ad Hermog. p. 113, 20—114, 5 ed. Walz) | *δὲ* om Doxap 3 ; post *λόγων* inser *Va*[2] 4 *θάλουσαν Cl* *θάλλουσαν* Iacobs Add 224 5 *ἔλεγχον M* sed *ν* in ras *f* | *λέγω* in *ἔχω* corr *M* 7 *ἐκράτει τοιαύτης M* | *τοιαύτης* om *Vi* 8 *παρὰ* in ras *Va*[2] | *πάντα Vi* | *Δία*] *διαίτης καὶ Vi* 9 *ἑκούσιος* — 17 *χάριν* citat Macarius fol. 86[v] | *ἄνοια* Macar 10 *λελόγισται ACl* 11 *τῇ* inserui ex *HViACl* Doxap Macar om *BVaM* | *κρατεῖ Vi* 12 *τύχης* Doxap | *πεπολίτευται Vi* *πορεύεται Cl* 13 *καὶ* (2) om *Cl* | *προσδοκώμενος Va* Doxap 14 *τοὺς* om *B* 16 *ἴσον HViBVaM* Ferr Re *ἴσον καὶ* Mor *ἧσσον ACl* 17 *οὖν A* | *μοι* om *M*

ἐντίμου τῶν πολιτῶν τοὺς μὲν εἶναι, τοὺς δὲ καὶ εὖ εἶναι πεποιηκώς. 24. ἀλλ' οὐ τιμῆς ἕνεκα, πλούτου δὲ μείζονος χάριν πρὸς τὴν ἀκρόπολιν ἔβλεπον; καὶ πῶς οὐκ ἄλογον διδόμενον μὲν παρὰ τῆς πόλεως ἀποστρέφεσθαι πλοῦτον, οὐκ ὄντα δὲ ἐλπίζειν; ἀλλ' οὐ διὰ ταῦτα; ἀλλὰ διὰ τί με τυραννίδος ἐρᾶν ὑπολαμβάνεις; τοὺς μισοῦντάς με κολάζειν ἐβουλόμην πολίτας; καὶ τίς ἀριστέα μισεῖν ποτε πλὴν τῆς σῆς ἀναιδείας ἐτόλμησε; τίς οὐ δεσπότην ἄλυπον ἡγεῖται τὸν πολλῶν κινδυνεύοντα χάριν; 25. ἐμοὶ μὲν οὖν πλείους τῶν παρὰ τῆς ἐκκλησίας ἐγκωμίων οἱ παρὰ τῶν οἰκείων ἐτύγχανον ἔπαινοι καὶ φθόνος οὐκ ἐνίκα τὴν εὔνοιαν, ἐξετάσωμεν δ', εἰ δοκεῖ, καὶ τὰς τῶν δι' ἐμοῦ τετιμημένων βουλάς, πότερον ἀεὶ τοῖς ἐμοῖς ἀκολουθεῖν ἤθελον λογισμοῖς ἢ στρατηγοῦντι μὲν ἠκολούθουν, τυραννεῖν δ' οὐκ ἐπέτρεπον. εἰ μὲν γὰρ τὴν ἀσπίδα ῥίψας ἢ δίκην ἀσεβείας ἁλοὺς σωθῆναι ταῖς τούτων ἐδεόμην φωναῖς καὶ ἴσην ἀπήτουν τὴν χάριν, πάντα | αὐ- R IV 548 τοὺς ᾤμην προθύμως ποιεῖν τὴν ἐκ τῆς ἀχαριστίας φεύγοντας μέμψιν· εἰ δὲ δικαίας εὐεργεσίας αἰσχρὰν ἀπήτουν τὴν ἀμοιβὴν καὶ δημοτικῆς αὐτοὺς ὕβρεως

3 cf. t. VI 620, 12; t. IV 918, 18 sq. R

5 *πλοῦτον ἀποστρέφεσθαι H* | *δ' BVaM* edd | *ἐπιζητεῖν* Doxap | *διαταῦτα ViB* 6 *διὰ — ὑπολαμβάνεις* om *Cl* | *διατί ViB* 7 *μὲν* Doxap | *ἠβουλόμην Cl* 8 *ἀρίστου A* | *πλὴν* om Re | *σῆς* om Doxap | *ἀνδρίας BVa* 9 *τῶν HViA* 10 *οὐ* ante *πλείους BVa* 11 *περὶ ACl* | *τὰς ViACl* Doxap | *περὶ Cl* Doxap „*malim κατὰ*" Re | *τῶν οἰκείων* scripsi *τοὺς οἴκους* (*οἰκείους Va*) libri Doxap edd 12 *καὶ* om Doxap | *οὐ νενίκηκε BVa* 13 *ἐξετάσομεν ViCl* | *τιμηθέντων BVa* 15 *ἠκολούθει H* 16 *δὲ AVaM* edd 17 *ἀλόγου H* | post *ταῖς* ras 4 litt *Va* 18 *τὴν* inserui ex *HVi* om *AClBVaM* edd | *πάντας ABVa* sed in hoc *ας* in ras m[2] | *αὐτοὺς* in ras *Va*[2] 19 *προθύμους M* et *γρ* in marg Mor | *ἐκ* inserui ex *HViClBVa* om *AM* edd 20 *φεύγοντα ViA* | *αἰσχροῦ A* 21 *ἀμοιβὴν* in ras *Va*[2]

ἀπαλλάξας τυραννικῆς ἔπειθον δουλείας ἀνέχεσθαι, πόσοι τὴν ἐμὴν κατέλευον κεφαλήν, πόσοι τὰ ξίφη κατὰ τῆς ἐμῆς ὤθουν πλευρᾶς. καὶ τὸ δικαίως προσῆν. δευτέροις γὰρ περιπίπτειν οὐκ ἐζήτουν κακοῖς οἱ τῶν πρώτων μόλις ἀπαλλαγέντες.

26. *Ὅτι μὲν οὖν τυραννίδος ἔχειν ἀρχὴν οὔτε ἤθελον οὔτε βουλομένῳ παρῆν, ἑτέρας ὁ λόγος οὐ δεῖται προσθήκης· εἰ δὲ δὴ καὶ τὰ μάλιστα ταύτην εἶχέ μου τὴν νόσον ἡ γνώμη καὶ τὴν ἀκούσιον ἀρχὴν τῆς ἑκουσίου προετίμων εὐνοίας, πολλῶν ὅπλων πρὸς ταῦτα καὶ μεγάλης ἐδεόμην παρασκευῆς. ποίας οὖν ἐμὰς κατὰ τὴν πόλιν κεκρυμμένας εὗρες ἀσπίδας; ποῦ μοι τῶν τόξων αἱ ἀποθῆκαι; ποῦ δὲ τὰ πολλὰ συνέκλεισα βέλη; ὅλον εἰσελθών, ἄνθρωπέ, μου περισκόπει τὸν οἶκον κἂν τοῦδε πλέον τοῦ θώρακος εὕρῃς, ἔδειξας τὴν τυραννίδα, φεῦ, ὢ τῆς πόλεως, οὐ μάτην ἐφάνης σοφὸς ἀναμφίλεκτον εὑρὼν τῶν ἐμῶν ἀπορρήτων τὸν ἔλεγχον. ταῦτα μὲν γὰρ σαφῆ τυραννίδος τεκμήρια, ταῦτα τῶν κεκτημένων ἐλέγχει τοὺς τρόπους· εἰ δὲ τούτων εἰπεῖν*

---

10 Xen. comm. Socr. I 2, 11 16 Xen. Ages. 7, 5

---

1 *καὶ* ante *τυραννικῆς* *A* | *ἀνέχεσθαι* scripsi ex *H* ut coni Re *ἀνέξεσθαι* reliqui libri edd 2 *πόση* (sup. *οι*) *A* 3 *κατὰ* om *A Cl* 4 *δευτέροις* *Va* sed *οις* in ras m² 5 *μόλις ἀπαλλαγέντες* *Cr* fol. 68ʳ l. 5 cuius neque prima verba neque reliqua exceptis l. 6 *ὅτι μὲν οὖν τυραννίδος ἔχειν* dispici possunt 6 „*fort. τυραννίδα. nam ἀρχὴν accipio adverbialiter pro prorsus, plane, omnino*“ Re | *μετέχειν* Iacobs Add 28 Lect 7 *οὐ* om *A* 8 *ταμάλιστα* *ViB* 11 *τῆς* ante *παρασκευῆς* *H* 12 *οἰκονομίας* *Vi* | *μοι* reposui e libris *μου* edd 14 *μου* om *Cl* | *περισκόπει μου* *BM* 16 *φεῦ, ὢ* scripsi coll Xen. l. l. *ἐφείσω* libri edd sed „*bene si habet, aliquid aliud significare nequit quam ἔσωσας τὴν πόλιν*“ Re „*consuluisti urbi*“ Iacobs Anth Pal III 116 | *οὐ* om *A* 18 *μὲν* inserui ex *HViACl* om *BVaM* edd | *γὰρ* om *A*

ἔχεις οὐδέν, παῦσαι λοιπὸν ἐμοὶ μείζονα μὲν τῆς δυνάμεως, ἐναντία δὲ τῇ βουλήσει προβαλλόμενος.

27. Ἀλλ' ἑτέραν, φησίν, αἰτεῖν ἔδει σε δωρεάν. καὶ πόθεν ἦν μοι τοσαῦτα τῷ δήμῳ λυσιτελεῖν; ποία δέ μου τοὺς πολεμίους οὕτω κατέπληττεν αἴτησις; πολλὴν ὁ δῆμος προσθήκην ἐκ τῶν ἐμῶν ἔσχεν αἰτήσεων καὶ ἔγωγε ἡδέως ἂν τοῦ σοφοῦ κατηγόρου πυθοίμην· ὅτε μεθ' ἡμῶν οἱ πολλοὶ παρετάττοντο φυγάδες καὶ συναίτιοι τῆς δευτέρας ἡμῖν ἐγίνοντο νίκης, πότερα καλὴν εἶναι τὴν ἐμὴν ὑπελάμβανεν | αἴτη- R IV 549 σιν καὶ δημοτικοὺς ἡμᾶς μετὰ τῶν ἄλλων ἐκάλει ἢ μόνος τὸν τῆς τυραννίδος ἐμαντεύετο πόθον; 28. εἰ μὲν γὰρ τὴν τῶν ἀνδρῶν προθυμίαν ὁρῶν τὴν τοῦ λαβόντος ἐπῄνει προαίρεσιν καὶ τὸν ψηφιζόμενον ἀπεδέχετο δῆμον, πῶς οὐ δεινὰ ποιεῖ τούτοις νῦν ἐγκαλῶν ὧν τότε τὰς πράξεις ἐθαύμαζεν; εἰ δὲ τὴν νίκην ὁρῶν τοὺς συνδράσαντας ἐμίσει πολίτας καὶ τὸ μόνος ἡττᾶσθαι τοῦ μετὰ τούτων νικᾶν αἱρετώτερον ἔκρινε, πῶς οὐκ ἔλεγχον αὐτὸς ταῦτα τῆς περὶ τὸν δῆμον ἔχει κακίας καὶ τυραννίδος ἀπίστου κατηγορῶν φανερᾶς προδοσίας φέρεται μέμψιν;

29. Ὅτι μὲν οὖν τοῦ κοινῇ συμφέροντος χάριν ἡ αἴτησις γέγονεν, αἱ πολλαὶ δι' ἐμοῦ δεδηλώκασι νῖκαι,

---

22 ἀντίληψις M^{rubr}

---

2 βουλῇ *HVi* 3 ἑτέροις *Va* | φησίν om *ACl* | ἔδεισε Ferr Mor 4 τῷ δήμῳ τοσαῦτα *ClM* | τῷ δήμῳ inser Va^2 5 οὕτω om *Vi* 8 οἱ πολλοὶ μεθ' ἡμῶν *Vi* 9 ἐγένοντο *Vi* ἐγίγνοντο *BVaM* edd 10 εἶναι om *Cl* 12 τὸν *Va* sed τ in ras m^2 τῶν *A* 16 ἐθαύμαζον *Vi* 17 μόνους *Cl* 18 τὸ *Cl* | νικῶν *A* | ἔκρινεν *BVaM* edd 19 αὐτὰ *BVa* | παρὰ *A* | ἔχειν *A* 20 καὶ — 21 μέμψιν om *Cl* 22 κοινοῦ *HBVa* 23 δι' ἐμοῦ] τῇ οὐδαμοῦ *H*

ἐμοὶ δ' αἰτεῖν ὁ τῆς πόλεως δέδωκε νόμος πάντα ἐπιτρέπων τοῖς ἀριστεῦσι κατ' ἐξουσίαν λαμβάνειν. καί μοι λέγε τὸν νόμον αὐτόν.

Νόμος

Τοὺς δὲ ἀριστέας λαμβάνειν ὅ τι ἂν ἐθέλωσι γέρας.

Ἔφθασέ σου τὴν συκοφαντίαν ἡ πόλις νόμῳ τὴν ἐξουσίαν ὁρίσασα καὶ πολλὰ μὲν προτείνασα πράγματα, τὸ δὲ καθ' ἡδονὴν αἱρεῖσθαι ποιοῦσα. 30. σὺ δὲ τὴν ἐξουσίαν εἰδὼς μέμφῃ τὴν κρίσιν ὥσπερ ἢ νομοθέτης σοφώτερος ὢν ἢ μεγάλα βλέπων τὴν πόλιν ἐκ τῆς ἐμῆς ἠδικημένην αἰτήσεως καὶ οὐδὲ ἐκεῖνο λογίζῃ ὅτι τὴν ἐμὴν μεμφόμενος αἴτησιν τὴν τῆς πόλεως φιλοτι-
R IV 550 μίαν | ὑβρίζεις καὶ μνησικακεῖν ἀναγκάζεις τοὺς ἑκουσίως ἐπιλελησμένους. τί δ' ἂν οἱ πολέμιοι βλέπειν εὔξαιντο μεῖζον ἢ παλαιῶν ἡμᾶς μεμνημένους ἀδικημάτων τῆς νεωτέρας ἐπιλανθάνεσθαι χάριτος καὶ τὸν κατ' ἐκείνων θυμὸν εἰς τοὺς οἰκείους ἐκδαπανῶντας πολίτας;

31. Τῆς μὲν οὖν ἐμῆς πολιτείας μάρτυρες πολλοὶ γεγόνασι χρόνοι, ὁ δὲ οὐδὲν ἕτερον ἔχων ἢ ὅσα δι-

---

1 καὶ ante ἐμοὶ *H* | δὲ *Vi* om *H* 2 ἀριστεύσασι *HVi* 4 Νόμος rubr *BM* om *HViCl* 5 νόμος post ἀριστέας edd sed „*abesse malim*" Re delevi | ὅτι *ViCl* 7 σου *Va* sed σ in ras et ου suprascr m² 8 καὶ πολλὰ μὲν] οὐ *Vi* | προτείνασα scripsi ex *HViA Par 3017* (Bast append. ep. crit. 50) προτείνουσα *ClBVaM* edd | „*malim* προστάγματα *postulata, flagitata*" Re 10 ὥσπερ ἢ] ὡς ὁ *Vi* 11 σοφώτατος *Vi* 13 μεμφόμενον *A* μεμνημένος *Vi* 19 „*post* πολίτας *videtur tale quid deesse* ἐμφυλίῳ στάσει ἐπιτρίβεσθαι *ob praecedentem infinitivum* ἐπιλανθάνεσθαι, *ut orationis membra inter se similia fiant*" Re 20 μὲν] ἐμῆς *A* | μάρτυρες om *B* | πολλοὶ inserui e *ViACl* om *HBVaM* edd 21 οὐδέτερον *A*

καίως ἔπραξα λέγειν αὖθις τὴν αὐτὴν ἀναβοήσει φωνήν· ἀλλ' οἱ τυραννίδος, φησίν, ἐπιθυμοῦντες φυγάδας καὶ ἀτίμους καὶ δεσμώτας εὐεργετοῦσι συνωμότας ἔχειν αὐτοὺς τῆς κακίας βουλόμενοι. 32. *τί δὲ οἱ τὸν δῆμον ἀγαπῶντες πράττουσιν ἄνθρωποι κινδύνων ἐλπιζομένων μεγάλων; οὐ συμμάχους ἀγείρουσιν; οὐ παρακαλοῦσι τοὺς ἀμελεῖς; οὐ πάντας παντὶ πολεμεῖν παρασκευάζουσι σθένει;* 33. *ἐγὼ μὲν οὖν ταῦτα τῆς κοινῆς χάριν ᾔτησα χρείας καὶ τῆς ἐμῆς ὁ δῆμος ἀπήλαυσεν εὐνοίας συμμάχους ἀγαθοὺς ἐπὶ τῆς ἀνάγκης τοὺς ἀφεθέντας εὑρών, σὺ δὲ μίαν πᾶσι παρέχεις προαίρεσιν καὶ μόνος ἑκὼν ἀγνοεῖς ὡς οἱ μὲν τυραννεῖν ἐπιχειροῦντες τοιούτων δέονται συμμάχων, οὐ μὴν οἱ διὰ τὴν χρείαν τοιούτους τῷ δήμῳ περιποιοῦντες συμμάχους τυραννίδος ἐρῶσιν, ἀλλὰ καὶ φιλανθρωπίας χάριν καὶ σωτηρίας ἕνεκα τοῦ δήμου ταῦτα καὶ τὰ τοιαῦτα φιλοπόλιδες πράττουσιν ἄνθρωποι.* 34. *μὴ τοίνυν τὰς τῶν τυράννων βουλὰς ἐπὶ τὴν ἐμὴν ἄγε προαίρεσιν, ἀλλὰ σκόπει τὰς νίκας πόσαι καὶ διὰ τίνων καὶ τίνος γεγόνασι χάριν. εἰ μὲν γὰρ μνησικακοῦντες τοῖς τετιμηκόσιν ἐφαίνοντο καὶ τῶν κοινῶν οὐ μετέχοντες κινδύνων οὐδὲ λύσιν τοῦ μίσους*

---

11 *ἡ πιθανὴ ἀπολογία κατὰ τὸ μὴ ἀντιστρέφον M*[rubr]

---

1 *ἔπραξε Cl* | *βοήν B* 3 *ἐλευθεροῦσι BVa* 4 *ἔχειν* non ante *αὐτοὺς* sed ante *βουλόμενοι Cl* 6 *τοὺς* ante *συμμάχους Vi* 7 *ἀγείρουσιν* scripsi ex *HVi* ut coni Cobetus Misc 156 *ἐγείρουσιν AClBVaM* edd 8 *ἀλλ'* ante *ἐγὼ HVi* 10 *ἀπέλαυσεν BVaM* edd 11 *ἀφθέντας A ἀφέντας Vi* 12 *πᾶσι* om *ACl* | *παραίνεσιν Vi* 14 *οἱ*] *οὐ* Ferr et *γρ* in marg Mor 15 *περιποιοῦντας A* Mor | *ὁρῶσιν Cl* | *καὶ* om *ClBVa* 17 *ἄνθρωποι πράττουσιν Vi* 20 *τὲ* post *τίνων Vi* | *τίνος*] *τίνας* Re | *χάριν γεγόνασι Cl* 22 *καὶ τυραννίδος ἀπίστου κατηγορῶν, φανερᾶς προδοσίας φέρεται μέμψιν* (= p. 255, 20) post *κινδύνων Cl* | *λῦσιν ViCl*

R IV 551 τὴν ἑκούσιον νομίζοντες | ἄφεσιν, εἶχεν ἂν ἡ ὑποψία λόγον τὴν μελετωμένην προβλέπουσα κακίαν· εἰ δὲ πολλὰ μὲν οὗτοι ποιεῖν, πολλὰ δέ, εἰ δέοι, παθεῖν διὰ τὸν τιμήσαντα δῆμον ᾑροῦντο καὶ ὧν μὲν ἔπαθον ἐπελάθοντο, τὰ δὲ τῆς πόλεως ᾠκειοῦντο δεινά, τί τυραννίδος ὑπηρέτας καλεῖς τοὺς κοινὴν σωτηρίαν ἐκ τῶν ἰδίων ἀνύσαντας πόνων;

35. Ὅτι δὲ πίστιν ὁ τῆς κατηγορίας οὐκ ἔχει λόγος ἐκεῖθεν ἂν μάλιστα θεωρήσαιτε. εἰ γὰρ τῶν πολεμίων τὸ πρῶτον περικαθημένων ἡμᾶς καὶ τοῦ δήμου περὶ τῆς μελλούσης ἐκκλησιάζοντος μάχης καὶ ὅθεν περιέσται ζητοῦντος τῶν σοφῶν τις ἀναστὰς ῥητόρων καὶ τὴν ἐμὴν μιμούμενος πρόνοιαν μίαν εἰσηγεῖτο τῷ δήμῳ νίκης ἐλπίδα τὴν τῶν φυγάδων ἐπάνοδον, τί ποιεῖν ἂν ἢ τί λέγειν τὸν σοφὸν οἴεσθε τοῦτον; εἰ μὲν γὰρ ἀντέλεγε καὶ τὴν ὁμόνοιαν κατεμέμφετο, πῶς οὐ κώλυμα τῆς κοινῆς σωτηρίας ἐγίνετο; εἰ δὲ τὸ λεχθὲν ἀπεδέχετο καὶ δημοτικὸν ἐκάλει τὸν ῥήτορα, πῶς οὐκ ἄτοπον ἐπαινεῖν μὲν πρὸ τῆς πείρας τὸ πρᾶγμα, μετὰ δὲ τὴν νίκην κατηγορεῖν;

---

1 νομίζοντες τὴν ἑκούσιον *M* 2 προβλέπουσαν *Vi*
4 „*malim* καὶ παθεῖν" Re | διηροῦντο Ferr et γρ in marg Mor | μὲν om *Vi* 5 ἔπαθον om *A* | οἰκειοῦντο *B Va* οἰκειοῦνται *A*
6 τῆς ante τυραννίδος *Vi* 8 Ὅτι — 20 κατηγορεῖν praemissis verbis ἐν τῷ τοῦ ἀριστεύσαντος ζητήματι καὶ αἰτησαμένου εἰς τὸ γέρας τῶν φυγάδων τὴν ἐπανέλευσιν καὶ τῶν δεσμωτῶν τὴν λύσιν καὶ κρινομένου τυραννίδος ἐπιθέσεως citat Doxapatr. l. l. (cod. Vat. 2228 fol. 279v; Paris. 2922 fol. 205)
9 θεωρήσαιτε scripsi θεωρήσητε *HViClBM* Doxap edd θεωρήσετε *Va* θεωρήσεται *A* 10 τοπρῶτον *BM* | τὸ om Mor | παρακαθημένων *Vi* ἐπικαθημένων Doxap 12 τίς *HViAClB*
13 εἰσηγεῖτο scripsi ex *HViACl* Doxap εἰσηγήσατο *BVaM* edd 14 νίκης ἐλπίδα τῷ δήμῳ Doxap 15 τί om Doxap
16 κάλυμμα *A* 17 ἐγίγνετο *M* edd ἐγένετο Doxap
20 τὴν νίκην δὲ Doxap

36. *Εἰ μὲν οὖν οἱ πολλὰ λέγειν παρ᾽ ὑμῖν εἰδότες τῶν πολλὰ πράττειν ὑπὲρ ὑμῶν δυναμένων ἰσχύουσι πλέον, παραχωρῶ τῷ κατηγόρῳ καὶ φέρω τὴν τύχην ἀλύπως παρὰ τὰ τῆς πόλεως κολαζόμενος τρόπαια· εἰ δὲ δίκης ὑμῖν καὶ νόμων ἀρχαίων καὶ πολίτου μέλει χρηστοῦ, ἡδέως ἂν ὑμῶν πυθοίμην· τίνων ὑμεῖς ἀδελφοί, τίνων δὲ γεγόνατε πατέρες; εἰ μὲν γὰρ τῶν ἀφεθέντων, ἐπὶ τῆς αὐτῶν ἕκαστος οἰκίας τοὺς ἐμοὺς ἔχετε συνηγόρους· εἰ δὲ τῶν σωθέντων, τὰς ἐμὰς ἐρυθριάσατε νίκας, τὸν τιμήσαντα ζηλώσατε δῆμον, τοὺς τὴν ἐξουσίαν δεδωκότας φυλάξατε νόμους καὶ δείξατε πᾶσιν ὅτι μόνος τῶν ἀριστέων εὐσεβείᾳ τὴν ἀνδρίαν ἐκόσμησα οὔτε | ὑπὸ τῶν πολεμίων* R IV 552 *κακῶς τοὺς ἐντίμους παθεῖν οὔτε ὑπὸ τῶν ἐντίμων τοὺς ἀτυχεῖς ἐάσας πολίτας.*

---

1 *ὑμᾶς* post *οὖν Vi* 4 *παρὰ* scripsi ex *HViClB* *περὶ AVaM* edd 5 *μέλλει H* 8 *ἐπὶ* — 9 *σωθέντων* om *A* | *αὐτῶν* libri edd 9 *ἐτήκετε HVi* 10 *ἠρυθριάσατε Vi* | *τιμήσαντά τε H* *τιμήσαντά γε Vi* 12 *ὡς HVi* 13 *ἀνδρείαν HViACl* edd

XXXVIII.

Declamatio inscripta *Φήμη ἦν συνεῖναι τὸν πλούσιον τῇ τοῦ πένητος γυναικί. ἔθηκεν ὁ πένης νόμον κελεύοντα τοὺς μοιχοὺς ἀκρίτους ἀποκτιννύναι. ἐγράψατο ὁ πλούσιος. εἶλε καὶ κρίνει αὐτὸν ὁ πένης μοιχείας* qua pauper, postquam legem adulteros causa indicta interfici iubentem divite qui cum ipsius uxore adulterium commiserat adversato perferre non potuit, hunc adulterii crimine in iudicium vocat, facundiae Libanianae admiratoribus haud ingrata fuit. Itaque non 'corporis' finibus coercita mansit, sed etiam in eclogas transiit. Neque parvus est numerus codicum quibus ad hanc aetatem pervenit. Sunt autem hi 21:

Incipio a 'corporalibus'.

1. Laurentianus LVII 27 anno 1392 exaratus fol. 59. Vide t. I p. 59 sq.

Ex hoc descriptus est

2. Wolfenbuttelanus 511 Gudianus gr. 77 (= Wolf) saec. XV fol. 64v. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti qui eum littera W insignivit.

3. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI descriptus ex editione Ferrariensi quae Wolfenbuttelanum fontem habuit. Vide t. I p. 67.

4. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 396. Vide t. I p. 24 sq. Contulit meum in usum Pius Franchi de Cavaleriis.

Transeo ad 'eclogarios'.

5. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 15v. Correctus est tribus manibus: *m* quae est librarii ipsius, *f*, *y*. Scholia rhetorica margini adscripta sunt et a *m* et ab alia manu quae rubro atramento usa est (= *rubr*). Vide t. V p. 168 sq. Contuli.

6. Laurentianus LVII 44 (= La) saec. X fol. 36^v. Correctus est quattuor manibus: *p, f, n, s.* Vide t. I p. 224 sq. Contuli.

7. Vindobonensis philos. et philol. IV 82 (= Vi) saec. XIV fol. 99. Descriptus est e codice *La* vel huius fratre gemello. Vide t. V p. 169 sq. et supra p. 74. Contuli.

8. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 18. Correctus est duabus manibus: secunda quae eadem scholia recepit e codice *M*[1]) et tertia. Vide t. I p. 362 sq. et t. IV p. 412. Contuli.

Ex eodem quo hic exemplari fluxit

9. Bodleianus Miscellaneus 208 (= Cl), olim collegii Claromontani Parisiensis societatis Iesu teste inscriptione folii 1: *Colleg. Clarom. Paris. Soc. Iesu* (*228* alia manus addidit), hoc sublato (cf. inscriptionem eiusdem folii: *Paraphé au désir de L'arrest du 5. juillet 1763. Mesnil*) anno 1764 a Gerardo Meermanno[2]), anno 1824 a bibliotheca Bodleiana (Auct. T. II 8) emptus bombycinus formae octavae saeculi XIV hodie pars altera est codicis qui continet orationes Dinarchi, Antiphontis, Lycurgi, olim pars prior fuit codicis nunc Berolinensis gr. 195[3]) quem eodem siglo *Cl* significavi. Continet

folio 73 (num. ant. 194) *Δ]ιέσωσέ τις ἐμπρησμοῦ κτλ.* (R. IV 739)

fol. 79^v (num. ant. 200^v) *Φ]ήμη τις ἦν συνεῖναι* (R. IV 569)

fol. 82^v (num. ant. 203^v) *Φ[ήμη τις ἦν συνεῖναι τὸν πλούσιον τῇ τοῦ πένητος γυναικί. ἔθηκεν ὁ πένης νόμον κελεύοντα τοὺς μοιχοὺς ἀκρίτως ἀποκτιννύναι. ἐγράψατο ὁ πλούσιος. εἷλε. κρίνει αὐτὸν ὁ πένης μοιχείας.*

fol. 85^v (num. ant. 206^v) *ἐγράψατό τις τὸν ἑαυτοῦ παῖδα βουλεύσεως* (R. IV 841). Desinit codex

1) Cf. p. 277, 17.

2) Cf. Bibl. Meermann. sive catal. librorum quos collegerunt Gerardus et Ioannes Meerman, Hagae Comitum t. IV p. 51 n. 327 et 330.

3) Cf. t. IV p. 410 et Mus. Rhen. XL 458.

folio 88 (num. ant. 209) vocibus ἡ ῥοπή (852, 28).

Correctus est tribus manibus quarum prima est librarii ipsius, secunda huic proxima, tertia atramento pallidiore usa est.

Th. Thalheim cum anno 1880 codicem in oratoribus Atticis haud parvae auctoritatis excuteret, ultro Libanianas declamationes meum in usum contulit.

10. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 47. Ὠρθώθη legitur initio prima manu, sed etiam manu secunda correctus est e codice altero. Vide t. I p. 48 sq. Contuli.

11. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 4 e Barberino ipso vel eius fonte descriptus. Vide t. V p. 7 sq.

E communi fonte fluxerunt codices tres:

12. Parisinus gr. 3015 saec. XIV fol. 21^{v}. Vide t. V p. 175 sq.

13. Parisinus gr. 3018 saec. XV fol. 20^{v}. Vide t. V p. 173 sq.

14. Laurentianus LVII 23 saec. XIV fol. 6^{v}. Vide t. V p. 176 sq.

Ex hoc descriptus est

15. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 10^{v}. Vide t. V p. 178 sq.

16. Athous Laurae S. Athanasii Ω 123 saec. XIII fol. 82. Vide t. I p. 323 sq.

17. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 22^{v}. Vide t. I p. 426 sq.

18. Vaticanus gr. 937 saec. XV fol. 127. Vide t. I p. 329 sq.

19. Mosquensis bibliothecae synodalis 489 (olim 317) saec. XV fol. 21^{v}. Vide t. V p. 180 sq.

20. Bodleianus Canonicianus gr. 41 saec. XV fol. 127. Vide t. V p. 186 sq.

271 21. Parisinus gr. 2511 chartaceus formae octavae maioris saeculi XV ineuntis, olim numeris 2990 159 CIↃCCCCLXIII insignitus, reliquias exhibet codicis qui dum

apud cardinalem Nicolaum Rodulphum est, secundum indicem in folio 6[v] scriptum continebat:[1])

Ὀνειροκριτικὸν ἀχμὲτ | νικηφόρου τοῦ πατριάρχου ὀνειροκριτικὸν ¦ μονῳδία ἐπὶ ἰουλιανῷ τῷ αὐτοκράτορι | ἑτέρα ἐπὶ νικομηδεία | πρὸς τὸν ὀδυσσέως πρεσβευτικὸν ἀντιλογία ἀχιλλέως | πρεσβευτικὸς πρὸς τοὺς τρῶας ὡς ἀπὸ μὲν μενελάου ἢ ὀδυσσέως | μελέτη ἡ ἐπὶ τοῦ περὶ τῶν μοιχῶν νόμου, nunc Onirocritica quidem (fol. 1—36), sed Libanii nihil nisi declamationem nomine auctoris privam et posteriore manu *ὑπόθεσις στοχασμοῦ* inscriptam servavit: *φήμη ἦν συνεῖναι τὸν πλούσιον τῇ τοῦ πένητος γυναικί κτλ.* quae unum quaternionem (fol. 37—44) implet.[2]) Quid reliqua codicis parte Libaniana factum sit dicere non queo. Perisse videtur. Saltem codicem qui eam servaverit haud novi.

Prope a *M* stat sed pretio caret. Inspexi.

Ex his quos in censum vocandos esse duxi codices sex *MLaMaClBVa* rursus in duas discedunt familias quarum prior codicibus *MLa*, altera *MaClBVa* continetur, ita tamen ut *B* etiam hic nonnunquam vim codicis *M* expertus esse videatur.

Necessitudinis vinculum quod inter singulos codices intercedit hoc tibi stemma reddet



1) Paulo succinctior est descriptio in indice codicum bibliothecae Rodulphi qui est in codice Parisino gr. 3074 p. 38, 6: *Ὀνειροκριτικὸν ἀμὲχ υἱοῦ σερὴμ — λιβανίου μονῳδίαι β̄. τοῦ αὐτοῦ πρεσβευτικοὶ λόγοι δύο καὶ μελέτη ἡ ἐπὶ τοῦ περὶ μοιχῶν νόμου: περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ τῆς ἁγίας σοφίας καὶ ἄλλα τινὰ διάφορα* (cf. Montfaucon Bibl. bibl. II 733, e N. 6). Ad Rodulphi codicem etiam inscriptio quae in folio 6[v] indici succedit *No. 7*: *quintae* (sc. capsae) spectat.

2) Sed folium 44[v] scriptura vacuum mansit. In folio 45 succedit opusculum: *Περὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας κτλ.* alia manu exaratum.

In universum prior familia fide alteram superat.

Codex Vindobonensis (*Vi*) ubique fere cum *La* concinit; ubi vero discrepat, in malam abiit partem. Itaque quin ex illo vel eius fratre gemello fluxerit non dubito. Lectiones vero eius, cum non, ut alias[1]), e codice alterius familiae correctus sit, ab apparatu critico exulare iussi.

Magnus est numerus testimoniorum. Ioannes Doxapatri in commentario ad Hermogenis περὶ εὑρέσεων libellum conscripto[2]) usus ille codice cum *La* cognato paene totum prooemium exscripsit; Maximus Planudes[3]) sex, auctor florilegii Neapolitani[4]) quinque, Macarius Chrysocephalus[5]) duos locos laudaverunt.

Declamatio in lucem protracta est anno 1517 editione Ferrariensi (= Ferr) fol. 41^r—47^v quae e Wolfenbuttelano fluxit.[6]) Secuta est anno 1606 editio Morelliana Liban. opp. t. I p. 740—753 (= Mor) quae illam quidem paene repetivit paucis locis lectione e codice *M* recepta.[7]) Huius menda editionis Ferrariensis plane immemor cum ope codicis Wolfenbuttelani tum ex ingenio sanavit Reiskius (= Re), sed uxor eius quae editionem t. IV p. 552—568 curavit non omnes mariti emendationes recepit.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum in 'Lectionibus'[8]), C. Sintenis[9]), Cobetus.

1) Cf. supra p. 74.
2) Cf. supra p. 238 et t. II p. 86.
3) Cf. t. I p. 73.
4) Cf. t. V p. 368 sq.
5) Cf. t. I p. 351.
6) Cf. t. I p. 75.
7) Cf. supra p. 78.
8) Cf. t. I p. 77 et V p. 198.
9) Cf. t. I p. 78.

XXXVIII.

Φήμη ἦν συνεῖναι τὸν πλούσιον τῇ τοῦ πένητος γυναικί. ἔθηκεν ὁ πένης νόμον κελεύοντα τοὺς μοιχοὺς ἀκρίτους ἀποκτιννύναι. ἐγράψατο ὁ πλούσιος. εἷλε καὶ κρίνει αὐτὸν ὁ πένης μοιχείας.

Ἡ μελέτη.

1. *Εἰ μὲν ἐβούλετο τὸν νόμον, ὦ δικασταί,* R IV 552
γενέσθαι κύριον οὑτοσὶ τὸν ἔναγχος ὑπ' ἐμοῦ περὶ

M = Codex Marcianus gr. 439
La = Laurentianus LVII 44
Ma = Matritensis 4679, olim N-49
Cl = Bodleianus Misc. 208, olim Claromontanus
B = Barberinus II 41 nunc Vatic. Barb. 220
Va = Vaticanus gr. 82

---

5 *στοχασμός MMa² Par 2511* 7 *ἐκ τοῦ ἀντιθέτου τὸ προοίμιον MMa² Wolf Par 2511*

---

1 *Προθεωρία.* ante *Φήμη* Ferr, *Θεωρία* Mor Re delevi | *Φήμη* — 4 *μοιχείας* praemissis verbis *ὅμοιον τούτοις τοῖς προοιμίοις καὶ παρὰ τῷ Λιβανίῳ ἐν ἐκείνῳ τῷ στοχαστικῷ ζητήματι* citat Io. Doxapatri ad Hermog. *περὶ εὑρέσεων* I 1 Rhet. gr. III p. 69, 19—24 ed. Walz cod. Barocc. fol. 27 | *τις* post *Φήμη Ma* | *ἦν Cl* sed *η* ex *ου* corr m³ 3 *τὸν μοιχὸν M* | *ἀκρίτους* scripsi e Doxap *ἀκρίτως* libri edd cf. p. 295, 3 et 4; 305, 16; 306, 3; 307, 4 et 14 | *ἀποκτινύναι La* 4 *καὶ* om *Cl* inser *Ma³* | *κρίνεται La* 6 *Ἡ μελέτη* Ferr *Πλουσίου κατηγορία Ma* Mor Re om *MLaClBVa* 7 *Εἰ* — 266, 14 *πεποίηνται* praemissis verbis *ποιεῖ αὐτὸν ἐν προοιμίῳ ὁμολογοῦντα τὴν ἔχθραν καὶ λέγοντα* citat Doxap l. l. | *ἐβούλετο*] *οὖν μὴ κεκώλυκε La* | *ἄνδρες La* et γρ in marg Mor cf. ad p. 207, 11 | *ὑπ' ἐμοῦ περὶ τῶν μοιχῶν* scripsi e *LaMaClBVa* *περὶ τῶν μοιχῶν ὑπ' ἐμοῦ M* edd

τῶν μοιχῶν τεθειμένον, οὐκ ἂν νῦν ὑμῖν ἠνωχλοῦμεν γραφόμενοι καὶ κατηγοροῦντες, ἀλλ' ὑπῆρχεν ἂν τοῖς περὶ τὰς γυναῖκας ἀδικουμένοις αὐτοῖς βοηθεῖν· ἐπεὶ δὲ ὁ πλούσιος ἐκεῖνο κεκωλυκὼς τοῦτο ἀναγκάζει ποιεῖν, δέομαι πάντων ὑμῶν ἐνθυμηθέντας ὡς εἰσὶ καὶ ὑμῖν γυναῖκες οὕτω ποιήσασθαι τὴν ἀκρόασιν καὶ μὴ ταὐτὸν παθεῖν τοῖς περὶ τοῦ νόμου δικάσασιν ἐκείνοις, ἐν οἷς ἐγὼ καὶ δικαιότατα καὶ πάσῃ συμφέροντα τῇ πόλει λέξας τούτου καὶ τῆς τούτου δεινότητος καὶ παρασκευῆς ἀπῆλθον ἡττηθείς. ἐξ ὧν συνέβη τοῦτον R IV 553 μὲν φρονῆσαι μέγα, | τοὺς δὲ ἐψηφισμένους ὑπ' ἐνίων ἀκοῦσαι κακῶς, ὡς ἄρα τὴν πρὸς τὸν πλούσιον χάριν περὶ πλείονος αὐτῶν τε καὶ γυναικῶν καὶ παίδων πεποίηνται. 2. ἔοικε δὲ οὐ παντάπασιν ἄχρηστόν μοι γεγονέναι τὸ περὶ τὸν νόμον ἐκεῖνον. εἰ γὰρ καὶ

10 $\bar{\beta}$ον προοίμιον *Ma*² 14 $\bar{\beta}$ον προοίμιον *M* rubr

1 τεθειμένον *La* sed ο ex ω corr *f* | νῦν om *La* | ἡμῖν *M* | ἠνωχλοῦμεν *Va* sed ἠνωχλ in ras m² 3 αὐτοῖς *LaMaCl* sed ‛ ex ʼ corr *LafMa²Cl³* αὐτοῖς *BVa* Doxap edd 4 δ' *La* | τοῦτ' *La* | ἀναγκάζει reposui e libris sed in ἀναγκάζεται corr *Ma*² quamquam ἀναγκάζει denuo suprascr m³, Doxap ἀναγκάζεται edd 5 ἐνθυμηθέντες *Cl* sed ες in ας corr m³, Doxap | εἰσὶ καὶ scripsi e Doxap εἰσὶν libri edd 6 ποιήσασθαι *La* sed αι in ras *s* 7 παρὶ *Va* sed ρὶ in ras m² 8 δικαιότατα scripsi e Doxap δικαιότερα libri edd | πάνυ Doxap 9 λέξας scripsi e Doxap λέγων libri edd 11 ἴσως post μὲν *MaClBVa* | φωνῆσαι Ferr et γρ in marg Mor | δ' *La* sed e δὲ corr *p* | ἐψηφισμένους *La* sed ἐ inser *p* 13 περιπλείονος *La* | αὐτῶν *La* edd | παίδων καὶ γυναικῶν *BVa* 14 ἔοικε — 267, 13 λαβεῖν praemissis verbis ὅμοιον τούτῳ καὶ παρὰ τῷ Λιβανίῳ ἐν τῷ τοῦ πένητος ζητήματι τοῦ κρίνοντος τὸν πλούσιον μοιχείας, ὅτι φήμης οὔσης συνεῖναι τὸν πλούσιον τῇ αὐτοῦ γυναικὶ καὶ ἐπὶ τούτῳ — εἶλεν. ἐν τούτῳ γὰρ τὸν κατήγορον ὁ σοφιστὴς μελετῶν φαύλην ὑπόληψιν ἐμφαινομένην περὶ τὸν φεύγοντα ἐν προοιμίοις βεβαιοῖ λέγων· citat Doxapatr. l. l. ad p. 71, 8—11 (cod Vat. 2228 fol. 210; Barocc. fol. 30) | δ' *La* 15 καὶ om *MCl* inser *Ma*

μὴ γενέσθαι κύριος ἠδυνήθη διὰ τὰς ἐν τοῖς ἀγῶσι τούτου φιλοτίμους ἁμίλλας, ἀλλ' ἄμεινόν γε περὶ τῶν ἐμαυτοῦ μεγάλων κακῶν ἐδίδαξε, καὶ δέδωκεν οὐ μικρὰν ἀπόδειξιν εἰς τὴν νυνὶ ταύτην κατηγορίαν ἡ κατὰ τοῦ νόμου τότε παρὰ τούτου γεγενημένη. ὃς γὰρ μόνος ἐξ ἁπάντων τῶν πολιτῶν ἔδεισε μὴ γένηται τοῖς περὶ τὰς γυναῖκας ἀδικουμένοις ἡμῖν κατὰ τῶν ἀδικούντων ἐξουσία τοῦ φόνου, πῶς οὐ σαφῶς ὡμολόγησεν ἐμὲ μὲν εἰκότως τὰ τοιαῦτα νομοθετεῖν, αὐτῷ δὲ καὶ πεπρᾶχθαί τι τοιοῦτον καὶ τολμᾶσθαι καὶ οὐδὲ λήξειν; 3. *πολλῆς οὖν ἀργίας ⟨ἂν⟩ ἦν ἅμα καὶ δυστυχίας καλοῦντος ἐφ' ἑαυτὸν τοῦ μοιχοῦ τὸν γραψόμενον μήθ' ὑπακοῦσαι μήτε δίκην τῆς παροινίας λαβεῖν, προσήκοι*

---

13 *ἀξίωσις τοῦ β^{ου} προοιμίου M^{rubr}Ma²*

1 *ἠδυνήθην La* sed *ν*(2) add *p* *ἐδυνήθη MaCl* Doxap 2 *τούτου φιλοτίμους ἁμίλλας* scripsi e *MLaMa* sed in hoc *τούτου* post *ἁμίλλας* repet m², *ClVa* *τούτου παρασκευὰς* Doxap *φιλοτίμους ἁμίλλας τούτου B* edd | *ἀλλ'* om Doxap 3 *μεγάλων* scripsi *μέγα LaMaClVa* sed in hoc eras, Doxap om *M B* edd | *κακὸν* Doxap | *ἐδίδαξε La* sed *ε*(2) in ras *f* 4 *ἣ La* sed ` eras, Doxap 5 *παρὰ τούτου κατὰ τοῦ νόμου τότε Ma ClBVa* „*aut delenda sunt verba παρὰ τούτου γεγενημένη aut sic leg. est: ἣ ἡ κατὰ τοῦ νόμου τότε παρὰ τούτου λεγομένη ἦν*" Re | *γενομένη MaCl* | *μόνος ἐξ ἁπάντων τῶν πολιτῶν* scripsi e *MLa* Doxap *μόνος τῶν πολιτῶν πάντων MaClBVa* *ἐξ ἁπάντων μόνος τῶν πολιτῶν* edd | *παρὰ Cl* sed *περὶ* suprascr m³ 9 *νουθετεῖν Ma* sed *γρ νομοθετεῖν* in marg m², *ClVa* sed in hoc *γρ νομοθετεῖν ὃ καὶ κάλλιον* in marg m² | *αὐτῷ* libri Doxap edd | *πεπρᾶχθαι τί Ma* 11 *ἂν* inserui om libri Doxap edd | *ἅμα καὶ δυστυχίας ἦν M* 12 *ἑαυτοῦ LaCl* | *τοῦ μοιχοῦ* om *MaCl* | *γραψόμενον Va* sed *ψ* in ras m² *γραψάμενον La* 13 *ὑπακούεσθαι* Doxap | *προσήκοι* — 268,8 *ποτέ* praemissis verbis *ὅμοιον τῷ παρόντι προοιμίῳ παρὰ τῷ Λιβανίῳ ἐν τῷ τοῦ πένητος ζητήματι* — *εἶλε* citat Doxap. l. l. ad p. 75,16—20 ed Walz. (cod. Vatic. 2228 fol. 215ᵛ; Barocc. fol. 40) | *προσήκοι* scripsi e *M* sed *ο*(2) ex *ε* corr *y*, *MaCl* sed in hoc *ο* ex *ε* corr *προσήκει LaBVa* Doxap edd

δ' ἂν καὶ ὑμᾶς ὀργισθῆναι καὶ δύο μιᾷ διαπράξασθαι ψήφῳ, δίκην τε ὑπὲρ ὧν ἐγὼ πέπονθα λαβεῖν καὶ τοῖς οὔπω ταὐτά μοι πεπονθόσι διατηρῆσαι τοὺς γάμους. οἳ καὶ μᾶλλον ἐμοῦ κερδανοῦσιν ἀπὸ τῆς δίκης. τὰ μὲν γὰρ ἐμὰ κακά, κἂν μυριάκις οὗτος ἀποθάνῃ, μενεῖ καὶ οὐδεὶς ἂν δικαστὴς οὐδὲν αὐτῶν λῦσαι δύναιτο, τοῖς δ' οὔπω τούτου πεῖραν ἐν ταῖς ἑαυτῶν εἰληφόσι γυναιξὶν ὑπάρξει τὸ μηδὲ λαβεῖν ποτέ. 4. *εἰ μὲν οὖν ἐλάνθανε τὴν πόλιν τὰ τούτῳ πεπραγμένα καθ' ἡμῶν, ἴσως ἂν ὑπ' αἰσχύνης ἔκρυπτον σιωπῇ κακὸν ἀγνοούμενον· ἐπεὶ δὲ πολὺν ἤδη χρόνον λέγοντές τε καὶ ἀκούοντες περὶ τούτων οὐ πέπαυσθε, λόγον οὐδένα ἔχει κατοκνεῖν ἐμὲ μνησθῆναι πρὸς ὑμᾶς ὧν οὐδὲ τοὺς*
R IV 554 *κομιδῇ | νέους ἀνηκόους εἶναι νομίζω.*

5. *Καὶ μάλιστα μὲν οἶμαι δώσειν τουτονὶ τιμωρίαν ὧν οὐ βούλεται σωφρονεῖν, εἰ μὴ δὴ τηλικοῦτός ἐστιν*

---

8 *τρίτον προοίμιον ἐξ ὑπολήψεως Mrubr* *τρίτον προοιμίου Ma²*

---

1 *δὲ* Doxap | *ἂν* om Doxap „*lege αὖ*" Re cui oblocutus est Iacobsius Lect 128 | *ὑμᾶς M* sed *ας* in *ιν* corr *y* 2 „*fort. δίκην τ' ἐμὲ ὑπὲρ*" Re cui oblocutus est Iacobsius | *τὴν* Doxap | *πέπονθα La* sed *γρ ἐπεπόνθειν* in marg *s* 3 *μοι ταῦτα* in *ταῦτά μοι* corr *Ma³* | *διατηρεῖσθαι* Doxap 5 *μένει* libri et *γρ* in marg Mor corr Ferr 6 *οὕτω Ma* sed *ἂν* suprascr m² 7 *τούτοις* Doxap | *τούτου* post *πεῖραν* repet *M* | *αὐτῶν La* Doxap 8 *ὑπάρχει Va* (ξ suprascr) | *μὴ δὲ MaB* | *εἰ* — 11 *ἀγνοούμενον* praemisso titulo *κατὰ μοιχοῦ* citat Planudes floril. fol. 105ᵛ 10 *ἐπ' La* sed *ὑπ'* suprascr *s*, Ferr | *σιωπῇ La* sed ras 1 litt post *ῃ* 11 *ἐπεὶ La* sed ras 1 litt ante *π* 12 *παύεσθε Ma* sed *γρ πέπαυσθε* suprascr m², *B* 13 *ἔχει* scripsi e *M* *εἶχε* reliqui libri edd | *ἐμὲ La* sed ras 1 litt post *ἐ* om *B* | *μεμνῆσθαι La* sed *αι* in ras *s* | *μὴ δὲ La* 14 *κομιδὴ La* sed ` in ras *f* *κομιδῇ* reliqui libri Mor Re | *ἀνηκόους La* sed ras 1 litt ante *ἀ* 16 *εἰ μὴ δὴ* scripsi auctore Iacobsio Lect *εἰ δ' ἤδη* libri edd sed „*post δεδοικέναι μηδένα* (269, 3) *deest aliquid. κολαστέος ἤδη, ἵνα μὴ τυραννίδι ἐπιθῆται, ᾗ ἔοικεν ἐπιχειρήσειν vel simile quid*" Re

ὥστε μόνῳ τῶν ἁπάντων αὐτῷ δεδόσθαι μοιχεύειν τε ἃς ἂν ἐθέλῃ καὶ μήτε κατήγορον μήτε ἔλεγχον δεδοικέναι μηδένα, ἀλλ' οὖν οὐδὲ τοῦτό μοι μικρὸν τὸ περὶ τῶν ἐμαυτοῦ συμφορῶν ἐν ὑμῖν ὀδύρασθαι. φέρει γάρ τινα παραμυθίαν τοῖς τὰ μέγιστα ἠδικημένοις τὸ περὶ αὑτῶν εἰπεῖν.

6. *Πρότερον μὲν οὖν εὖ φρονεῖν ὑπελάμβανον τοὺς πένητας γαμεῖν αἱρουμένους, τὰ μὲν γὰρ παρ' αὐτῆς ἕξειν τῆς γυναικὸς αὐτοὺς τά τε ἄλλα συμπονούσης καὶ τὰ ἀπὸ τῶν χειρῶν συνεισφερούσης, τὰ πλείω δὲ παρὰ τῶν παίδων εἰς ἀνδρός τε ἡλικίαν ἰόντων καὶ γηροτροφούντων· νῦν δέ μοι δοκοῦσιν οἱ μὴ φεύγοντες τῶν πενομένων τὸν γάμον παραφρονεῖν καὶ πολὺ πλέον τούτων οἱ τὰς καλὰς ἀγόμενοι γυναῖκας, οὐ γὰρ αὑτοῖς ἄγονται μᾶλλον ἢ τοῖς διαφθεῖραι δυναμένοις.* 7. *ὁποῖόν τι καὶ περὶ ἐμὲ γεγένηται. τῆς*

---

12 cf. ad t. VI 90, 7 15 Poet. anon. apud Plut. an seni sit ger. resp. p. 789 a. Com. gr. IV 673, 300 M (III 451, 225 K)

---

1 *πάντων MMaClVa* | *δεδόσθαι La* sed *αι* in ras *n* | *τε* inserui e *ClVa* *τὲ MLaMa* om *B* edd 2 *ἂν* om *MaCl* | *ἐθέλει MaCl* Ferr | *κατηγόρων La* sed *όρων* ex *ορῶν* corr *p* | *μήτ' La* edd | *ἐλέγχων La* 4 *ὀδύρασθαι* scripsi e *MMaCl* *ὀδύρεσθαι LaBVa* edd | *φέρει* — 6 *εἰπεῖν* citant Planudes l. l. et auctor florilegii Neapolitani fol. 285r et praemissis verbis *τῆς μελέτης ἐν ᾗ πτωχὸς πλούσιον κρίνει μοιχείας* (*μοιχείᾳ* cod.) Macarius Chrysocephalus fol. 77v 5 *γάρ* om Macar | *παραμυθίαν La* sed *ι* in ras *s* | *τοῖς* om Neapol 6 *αὑτῶν* scripsi e *La* sed ‛ corr *s*, *MaBVa* *αὐτῶν MCl* Plan Neap Macar edd 7 *εὖ La* sed ˜ corr *s* 9 *αὐτοὺς* om *MaCl* | *τὰ ἄλλα τὲ LaMaCl* | *τὲ* post *ἄλλα* eras *Va* 11 *παρὰ La* sed *αρὰ* in ras *f* *περὶ M* | *τε* om *M* 12 *ἰόντων* reposui e libris *ἡκόντων* edd 13 *τὸν* om *Cl* 14 *καὶ πολὺ πλέον* reposui e libris *πολὺ δὲ πλέον* edd | *οἱ* — 16 *δυναμένοις* citat auctor florilegii Neapolitani l. l. *οἱ*] *οἱ πένητες* Neap. 15 *γὰρ* om Neap | *αὐτοῖς MLa* sed in hoc ' in ‛ corr *f*, *MaClVa* 16 *βουλομένοις BVa* | *τι* e *τε* corr *Cl*s

γάρ μοι γυναικὸς μετεχούσης ὥρας, ὦ δικασταί, καὶ κατὰ τοῦτο ἐπαινουμένης ἐξιούσης τε πολλάκις ἔνδοθεν κατὰ τὴν ἀεὶ συμβαίνουσαν ἀνάγκην, οἷα δὴ τὰ τῶν ἐν πενίᾳ γυναικῶν αἳ τὰ τῶν θεραπαινῶν ἐπιεικῶς αὐταῖς διακονοῦσι, ταύτην οὖν οὗτος ἰδὼν τὸ μὲν πρῶτον, ὡς εἰκός, ἐθαύμασεν, εἶτα προσεῖπεν, εἶτα προσπέμπων λόγους τε ἐρωτικοὺς καὶ χρήματα καὶ ἐλπίδας πολὺν χρόνον, ὡς ὕστερον ᾐσθόμην, οὐ πείθων τελευταῖον ἔπεισεν. ἡ δὲ ἐμοῦ μὲν ὑπερεώρα καὶ παρόντος ἐδυσχέραινε καὶ ἐξιόντος ἔχαιρε δήλη τε ἦν ὅλως πρὸς ἕτερον ὁρῶσα. 8. τῆς τοίνυν ἐμῆς οὗτος ἀπολαύων γυναικὸς εἰσιών τε παρ' αὐτήν, ὁπότ' ἀσφαλές, R IV 555 ἄγων τε ὅποι βούλοιτο καταδεδουλωμένος | τὴν ψυχὴν τῆς ἀθλίας καὶ πρὸς ἅπαν ἔχων ὑπακούουσαν τῇ συνεχείᾳ τῆς ὕβρεως καὶ μέθης οὐκ εἶχε λανθάνειν. καὶ ἦν ἡ πόλις μεστὴ τούτου τοῦ λόγου. κἀν τοῖς κουρείοις κἀν τοῖς μυροπωλίοις κἀπὶ τῆς ἀγορᾶς κἀν ταῖς οἰκίαις πολὺ τοῦτο ἦν· μοιχεία τολμᾶται κατὰ τὴν πόλιν, ἔστι δὲ ὁ μὲν τολμῶν ὁ πλούσιος, τοῦτον τὸν θαυμαστὸν λέγοντες, ὁ δ' ἀποστερούμενος τῆς γυναικὸς ὁ πένης, τοὐμὸν

2 Xen. oec. 9, 5 7 cf. Ps. Lib. t. IV 589, 13 R. Sopat. rhet. gr. VIII 229, 18 ed. Walz. Thuc. VIII 47 17 Lys. or. XXIV § 20

1 προδιήγησις *Ma*^{2}

1 μου *La* | ἄνδρες *La* 3 οἷον Ferr et γρ in marg Mor 4 θεραπαίνων *La* 5 ἑαυταῖς *La* αὐταῖς *Va* αὐταὶ Cobet Coll 296 num αὐταῖς αὐταί? | οὖν om *MaBVa* | τομενπρῶτον *B* 7 προπέμπων *MLa* Ferr Mor 9 τελευτῶν *La* | παρόντα *La* 12 περὶ *Va* | ὁπότε *M* edd 13 αὐτὴν post τε *Ma* | ὅπη *MaCl* 14 ἅπαντ' *La* 15 μεθ' ἧς *La* 16 μετὰ *MaCl* 17 μυροπωλίοις scripsi e *La* μυροπωλείοις reliqui libri edd cf. ad t. IV 11, 9 19 ὁ(2) om *La* 21 ἀφαιρούμενος *Ma* sed γρ ἀποστερούμενος suprascr m^2, *ClBVa* | τῆς om *MMaCl*

ὄνομα προστιθέντες. 9. *ἐγὼ δὲ τὸν πολὺν χρόνον οὐδὲν εἰδὼς διῆγον. οὔτε γὰρ τῶν ἐχθρῶν οὐδεὶς οὕτως ἦν ὠμὸς ὥστε ὀνειδίσαι προσελθὼν τούς τε φίλους ὄκνος εἶχε τοιούτων ἀγγέλους γενέσθαι. τῆς φήμης δὲ αὐξομένης καὶ τῆς αἰσχύνης ὑπερβολὴν ἐχούσης ἔδοξε τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς δεινὸν εἶναι μηδέποτ' ἐμὲ ταῦτα πυθέσθαι καὶ προσελθόντες καὶ βλέψαντες εἰς γῆν καὶ σιγήσαντες χρόνον τινὰ καὶ δακρύσαντες, ὦ βέλτιστε, ἔλεγον, ἔδει μὲν ἡμᾶς ἀμείνω σοι μηνύειν ἔχειν, τῶν πραγμάτων δὲ οὐ τοιαῦτα διδόντων ὅτι μὲν λυπήσομεν εἰπόντες οὐκ ἀγνοοῦμεν, εἰπεῖν δ' ἂν εἴη μᾶλλον ἢ σιγῆσαι τῶν φίλων. καὶ διεξῄεσαν δὴ ταῦτα ἃ νῦν ἐγὼ πρὸς ὑμᾶς.* 10. *ὡς μὲν οὖν ἐξέστην ἐμαυτοῦ καὶ ὡς κατηνέχθην ἀκούσας μικρὸν ἀπέχων μανιῶν, ἴσασιν οἱ τότε παρόντες, μόλις δ' οὖν ἐπ' ἐμαυτοῦ γενόμενος ἐσκόπουν ὅπως ἂν τοῦτον ἢ ἀμυναίμην ἢ τῷ φόβῳ ποιήσαιμι βελτίω, καὶ λογιζόμενος εὕρισκον τὸν τοὺς νόμους ἐν ἀρχῇ τεθεικότα τῇ πόλει τὰ μὲν ἄλλα διελόντα καλῶς καὶ τάς τε ἀρετὰς ᾗ χρῆν τετιμηκότα καὶ τοῖς τὰ ἄλλα ἀδικοῦσιν οὐ κακῶς προσενηνεγμένον, τοῖς*

1 *ὄνομα* om *Ma* 2 *οὐδεὶς* reposui e libris *τις* edd 5 *δ' αὐξανομένης La* sed *ξο* supra *ξανο s* 6 *τοῖς ἐμοῖς ἐπιτηδείοις MaClBVa* | *μήποτε Ma* sed *γρ μηδεποτέ* in marg m² *μηδέποτε* reliqui libri sed *ε*(2) in ' corr *Cl*³, edd | *ἐμὲ* reposui e libris sed *γρ με* in marg *Ma*² *με* edd 8 *καὶ δακρύσαντες* om *Cl* inser *Ma*² 9 *σοι* om *MaCl* *σε BVa* 10 *δ' La* 11 *ἠγνοήσαμεν MaCl* 13 *δὴ* om *La* | *ταῦθ' La* 15 *μανιᾶν La* 16 *ἐν* Cobet Misc 146 at cf. t. VI 608, 5 ubi *ἐφ'* retinendum erat 17 *ἀμυναίμην* scripsi *ἀμύνωμαι* libri edd *ἀμυνοίμην* Iacobs Lect | *ποιήσωμαι La* 18 *εὑρίσκω La* 20 *ὡς La* | *χρὴ La* 21 *τἄλλα La* | *ἀδίκοις BVa* | *κακῶς* reposui e libris sed *κακῶς* (*λ* supra) *M* *καλῶς* edd sed „*si καλῶς h. l. idem valet atque ἐπιεικῶς, φιλικῶς, bene habet; sin aliter, malim οὐ κακῶς non male, h. e. ita ut par erat*“ Re

μοιχοῖς δὲ τούτοις οὐ πᾶν ὅσον ἐχρῆν ἐπενεγκόντα. ἀλλ' ἂν μέν τις ἀφαιρῆται τοῦτον χρημάτων, ἔδωκεν R IV 556 εὐθὺς ἀμυνομένῳ κτεῖναι | καὶ καθαρὸς ὁ τοῦτο δεδρακὼς νενόμισται· τὴν γυναῖκα δὲ ἂν ἀφαιρῆταί τις τὸν γεγαμηκότα, ἐκβαλὼν γράφου, φησί, καὶ τοῖς θεοῖς εὔχου δικαστηρίου τυχεῖν, κτεῖναι δὲ οὐκ ἔδωκεν. 11. ὃ δὴ καὶ πολλὰς πεποιηκέναι μοιχείας ἡγούμενος νόμον ἐτίθουν, ὦ δικασταί, τοῖς ἔμπροσθεν μὲν παραλελειμμένον, σωφρονεῖν δὲ καὶ τὸν οὐχ οὕτω πεφυκότα ἀναγκάσοντα. οἱ μὲν οὖν ἐπιεικεῖς καὶ μέτριοι καὶ τῶν οὐ καλῶν ἐπιθυμιῶν κρείττονες ἐθαύμαζον, ἐπῄνουν, πάλαι τοῦτον, ἔφασαν, ἔδει κεῖσθαι τὸν νόμον· ὁ δὲ λαμπρὸς οὑτοσὶ καὶ μέγας καὶ τὰς τῶν πενήτων οἰκίας καταθέων εἰδὼς ἐφ' ἑαυτῷ πρώτῳ κεισόμενον τὸν νόμον ἠγανάκτει, διέβαλλεν, ἔτρεμεν, ἐμισθοῦτο ῥήτορας, ἐκράτει λόγοις τῶν δικαίων καὶ κεκωλυκὼς κύριον γενέσθαι τὸν νόμον παρακολουθῶν μοι μετὰ τῶν πολλῶν κολάκων κατεγέλα τωθάζων καὶ νομοθέτην καλῶν.

---

7 *διήγησις Mrubr Ma²*

---

2 *τοῦτον* scripsi e *MLaMaClVa* *τῳ B* edd sed „*fort. τὸν κεκτημένον τῶν τι χρημάτων. patet e membro opposito*" Re | *χρήματα La* sed e *χρημάτων* corr *p* 4 *ἀφαιρῆται τίς LaMa* 5 *τις* om *B* | *τῶ γεγαμηκότι B* | *ἐκβάλλων* libri corr Ferr | *γράφη Cl* sed *η* in *ου* corr m³ | *φὴσ* in *φησὶ* corr *Cl³* 6 *δικαίου* ante *δικαστηρίου* inserendum coni Cobetus Coll

296 8 *ἐτίθην* (ου supra ην) *B* *ἐτίθην MVa* sed in hoc *ην* in ras, et *γρ* in marg Mor *ἐτίθειν La* | *ἄνδρες La* 9 *οὕτως La* 10 *ἀναγκάσοντα* scripsi e *M* sed *σ* ex *ζ* corr *y*, *La* *ἀναγκάζοντα MaClBVa* edd 12 *ἔφασκον La* | *ἀδικεῖσθαι* in *ἔδει κεῖσθαι* corr *Cl³* 14 *οἰκείας La* sed *ι* (2) eras | *ἑαυτῷ πρώτῳ* reposui e libris *ἑαυτὸν πρώτως* edd 16 *ἐμισθοῦτο La* sed *ο* (2) corr *p* 18 *τῶν* inserui e *LaMaCl* om *MBVa* edd | *καταγελᾶ Ma* 19 „*post τωθάζων deesse videtur Σόλωνα* vel *Δράκοντα vel tale quod nomen clari legislatoris*" Re

12. *Πάντων οὖν βοώντων ὡς αὐτὸν ἐξελέγχει μοιχεύοντα διὰ τῆς καλῆς κατηγορίας ἥκω μεθ' ὑμῶν αὐτὸν τιμωρησόμενος, ἂν ἄρα οἷός τε ὦ. ὁ δὲ δεινά φησι πάσχειν, εἰ μηδενὸς αὐτοῦ καταμαρτυροῦντος ἀπολεῖται. οὐδὲν γὰρ οἴεται τὴν πόλιν ἅπασαν εἶναι, δημαγωγούς, ῥήτορας, ἰδιώτας, φυλὰς τοσαύτας, πολίτας, μετοίκους, ξένους, ὧν ἁπάντων ἐν ταῖς ψυχαῖς κατεγνωσμένος περιέρχεται τὰ τούτῳ πραττόμενα, καὶ εἰδότων ἀκριβῶς καὶ οὐ σιωπώντων. ἴστε δέ, ὦ δικασταί, πολλάκις μὲν εἴρηται, πολλάκις δ' ἀκηκόατε.* 13. *τίνα οὖν ἄν τις μείζω μαρτυρίαν ἐν δικαστηρίῳ παράσχοιτο τοῦ καὶ τοὺς δικάζοντας πρὶν* | *εἰσελ-* R IV 557 *θεῖν κατεψηφίσθαι τοῦ φεύγοντος; ὅταν οὖν τούτων οὕτως ἐχόντων ἐμὲ καλῇ συκοφάντην, καὶ ὑμᾶς μετ' ἐμοῦ καλεῖ καὶ πάντας ὅσοι τὴν πόλιν οἰκοῦσι καὶ μετὰ τούτων τῶν τοσούτων τὴν θεόν. θεὸν γὰρ τὴν Φήμην εἶναι παρὰ τῶν σοφωτάτων μεμαθήκαμεν ποιη-*

---

17 cf. ad p. 310, 3 et ad t. II 477, 2. Anth. Pal. X 89, 1 sq.

---

3 *ἐλέγχων ἀπαίτησις MMa*[2]

---

1 *αὐτὸν La* sed ' e ' corr *f* *αὐτὸν MaCl* 2 *καλῆς* om *M* Mor 3 *αὐτὸν* — 6 *τοσαύτας* sub textu add *Va*[2] 4 *αὐτοῦ* scripsi e *La* ut coni Re *αὐτὸν MMaClBVa* edd 6 *πολίτας* — 8 *εἰδότων* supra textum add *Va*[2] 8 *περιέρχετε La* sed *αι* supra *ε*(4) *p* | *πεπραγμένα La* 9 *ἄνδρες La* et *γρ* in marg Mor | *δικασταί, ὡς MaCl* sed in hoc *ὡς* inser m[3], *Wolf* Ferr Re qui adnot „*ego mallem sic fuisse expressum ἴστε δὲ, ὦ δικασταὶ, ἃ πολλάκις ἀκηκόατε. πολλάκις γὰρ εἴρηται ἐν ὑμῖν*“ at cf. p. 286, 5 10 *πολλάκις μὲν εἴρηται* om Ferr | *ὡς* ante *πολλάκις*(2) Mor Re | *δὲ La* sed *αι* supra *ε p*, *ClB* 11 *μείζω ἄν τις M* | *μείζονα Ma* edd 12 *τῶ* Ferr et *γρ* in marg Mor *τοῦ* ante *εἰσελθεῖν* Mor Re | *ἐλθεῖν* Ferr 14 *οὕτως ἐχόντων* reposui e libris *ἐχόντων οὕτως* edd | *καλῇ* reposui e libris cum Iacobsio Lect *καλεῖ* edd 15 *καλεῖ La* sed *ῇς* suprascr *p* *καλῇ B* 16 *τῶν* inserui e libris om edd 17 *εἶναι τὴν φή-*

τῶν. 14. καὶ ταύτῃ πειθόμενοι τοὺς μὲν ἀμείνους, τοὺς δὲ χείρους ἡγούμεθα. καὶ ὁ μὲν προδότης, ὁ δὲ ἀνδροφόνος, ὁ δὲ τυμβωρύχος, ἕτερος ἕτερόν τι τῶν τοιούτων ἔδοξεν οὐχ ἑωρακότων μὲν ταῦτα τολμώμενα τῶν ταῦτα λεγόντων, τῇ φήμῃ δὲ ἀπιστεῖν οὐκ ἐχόντων, ἣν ἀνάγκη τὴν ἀρχὴν ἀπὸ τῶν πεπραγμένων λαμβάνειν. καὶ ταύτης γε τῆς θεοῦ τὰ μέγιστα ὁρῶ τὰς πόλεις ἀπολαυούσας, ἣ μηδὲ τὰ λίαν ἐν σκότῳ πραττόμενα λανθάνειν ἐᾷ πάντα εἰς φῶς ἄγουσα καὶ παραδιδοῦσα τοῖς ἀνθρώποις καὶ δηλοῦσα τοὺς πάντα μηχανωμένους. 15. ἐμοὶ θεράποντας καὶ θεραπαίνας οὐκ ἔδωκεν ἡ Τύχη πράττουσα τὸ αὑτῆς, ἄλλοις γὰρ ἄλλα νέμει. νῦν μὲν οὖν οἰκέτας μάρτυρας καλεῖν οὐκ ἔχω, πῶς γὰρ τούς γε οὐκ ὄντας; καλῶ δὲ τὰς ὑμετέρας φωνὰς καὶ ἃ πέπυσθε τούτῳ πρὸς τὴν ἐμὴν πεπρᾶχθαι γυναῖκα τὴν δυστυχῆ, τὴν ὑπὸ τῆς τούτου περιουσίας κατενεχθεῖσαν. 16. οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν ὡς,

---

17 ἡ βούλησις καὶ ἡ δύναμις *M*rubr *Ma*[2]

μην *M* | μεμαθήκαμεν scripsi e *LaMa* sed in hoc γρ ἀκηκόαμεν in marg m[2], *ClBVa* et γρ in marg Mor ἀκηκόαμεν *M* edd

3 ἕτερος] ἑτέροις *BVa* | τῶν τοιούτων] τοιοῦτον *BVa* 4 τῶν ταῦτα λεγόντων om *MaClBVa* 5 ἀπιστεῖν *Cl* sed ι(1) ex ει et ν e σε corr m[3] | ἣν *La* sed ῞ in ras *f* et ν del *p* 7 τε *LaClVa* τὲ *MaB* | δὴ post γε edd delevi | τῆς *La* sed η in ras 2 litt *n* 8 μὴ δὲ *B* | σκότει *MaClVa* 9 φῶ *La* 10 δηλοῦσα *La* sed η in ras *n* | ταῦτα *B* | τοιαῦτα τολμῶντας (sed ας add *s*) καὶ post πάντα *La* 11 θεράποντας *La* sed ρ in ras *f* 12 τέχνη *Wolf* Ferr | αὐτῆς *MLa* sed ῾ e ᾿ corr *My Laf* αὑτῆς *MaClBVa* 13 οὖν *Ma* sed γρ γὰρ in marg m[2] γὰρ *M* sed γρ οὖν in marg *m* 14 γε om *MaCl* | δὲ om *M MaClBVa* 15 πρὸς τὴν ἐμὴν πεπρᾶχθαι reposui e libris πεπρᾶχθαι πρὸς τὴν ἐμὴν edd 17 αὖ *M* sed ῦ corr *y* ἂν Mor sed γρ αὖ in marg, Re

εἰ καὶ σφόδρα ἤρα, πείθειν γε οὐκ ἂν ἴσχυεν ἀργυρίου σπανίζων. τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν τούτου πλοῦτον μέγαν, τὸ χρυσίον, τὰς συνοικίας, τὰ ἀνδράποδα, τὰ βοσκήματα, τὴν γῆν, τοὺς καθ' ἕκαστον μῆνα τόκους; ἀνὴρ δὲ ὁ αὐτὸς ἐρῶν τε καὶ πλουτῶν ταχέως ἂν παραστήσαιτο γυναικὸς γνώμην. οὐδὲν γὰρ οὕτω δεινὸν τρέψασθαι σωφροσύνην ὡς τὸ δύνασθαι προΐεσθαι. καὶ γὰρ ἂν τὴν πρώτην ἀποκρούσηται πεῖραν, ἕτερα ἦλθε πλείω καὶ πάλιν ἕτερα τοσαῦτα, καὶ ἡ καθ' ἡμέραν προσθήκη πρὸ τῆς νίκης οὐχ ἵσταται. 17. *τοῦτο, ὦ δικασταί, τοὺς προδότας ποιεῖ, τὸ μεγάλῃ τιμῇ τὰ πράγματα | τοὺς πολεμίους ὠνεῖσθαι, τοῦτο* R IV 558 *πείθει τῶν πρὸς τὴν πατρίδα δικαίων ὀλιγωρεῖν, τοῦτο τὰς πολλὰς εἰργάσατο μοιχείας. καί τινα ἤδη καὶ ζῶσαν ἐν ἀφθόνοις ἡ τοῦ πλείονος ἐπιθυμία καθείλκυσεν. εἰ δὲ καὶ πλουτοῦσα γυνὴ τὸ πλέον ἐθαύμασε, τί θαυμαστὸν τὴν τοῦ πένητος παθεῖν τι πρὸς χρυσίον;* 18. *καὶ ταῦτα οὐ συγγνώμην ἔχων ἐκείνῃ λέγω,*

---

2 *ἐπιχείρημα ἀπὸ τῆς αἰτίας* $M^m Ma^2$ 14 *ἐργασία ἀπὸ τοῦ μείζονος* $M^m Ma^2$ 16 *ἐνθύμημα* $M^m Ma^2$

---

1 *καὶ* inser Va^2 | *γε* inserui e *MMaClBVa* om *La* sed in ras 5 litt, edd | *οὐκ* *M* sed *ου* in ras *f* 2 *ὑμῶν* om *Cl* inser Ma^2 | *οἶδε* *Ma* sed *δε* in ras m^2 3 *μέγαν πλοῦτον* *M* 5 *ἀνὴρ* — 6 *γνώμην* citat Planudes fol. 105ᵛ, — 7 *προΐεσθαι* floril. Neapolit. fol. 285ʳ, — 10 *ἵσταται* Macarius Chrysocephalus fol. 77ᵛ 5 *δὲ ὁ αὐτὸς* om Macar 6 *παραστῆσαι τὸ* in *παραστήσαιτο* corr La^s | *δεινὸν οὕτω* *MaClBVa* 7 *προΐεσθαι* scripsi e *La* *προιέναι* *MMaClBVa* Neap Macar 9 *ἑτέρα* *La* *ἑτέραν* ex *ἕτερον* corr Macar | *πλείων* *La* | *πάλιν* inserui e libris Macar om edd | *ἑτέρα* *MLa* | *τοσαύτη* *La* | *καθημέραν* Macar 11 *ἄνδρες* *La* | *τοὺς* inserui e libris om edd 12 *τοὺς πολεμίους τὰ πράγματα* *La* 13 *τῶν πρὸς τὴν πατρίδα πείθει* *MaCl* 14 *εἴργασται* *M* *εἴργαστο* *Ma* sed γρ *εἰργάσατο* suprascr m^2, *ClBVa* | *καὶ* om *M* 17 *τί*(2) *LaMaB*

μὴ γὰρ ἔστω γυναικὶ μηδὲν τιμιώτερον ἀνδρός, ἀλλ' ὅτι λόγον εἶχε τὴν οὐκ εὐποροῦσαν ἐκπλαγῆναι πρὸς τὰ πεμπόμενα χρήματα καὶ δεξαμένην ὧν ἐδεῖτο ὧν ὁ διδοὺς ἔχρῃζεν ἀντιδοῦναι. λέγω δὲ ταῦτα οὐ κατὰ πάσης γυναικὸς πένητος, ἔστι γάρ, ἔστιν εἶναι καὶ πενομένην ἀνάλωτον, ἀλλ' ὅτι τῷ πλουτοῦντι βουλομένῳ τὰ τοιαῦτα ἀδικεῖν τὸ πολλὰ κεκτῆσθαι συμπράττειν πολλαχοῦ δύναται.

19. *Ὄντων τοίνυν καὶ τούτων οὐ μικρῶν τεκμηρίων τοῦ τοῦτον ἃ δοκεῖ πεποιηκέναι πολὺ μεῖζόν ἐστι τὸ ῥηθησόμενον. εἰ γὰρ αὖ μὴ μοιχὸς οὗτος ἦν, ὦ δικασταί, τί τῷ νόμῳ τῷ φύλακι τῶν γάμων ἐμάχετο; μᾶλλον δέ, εἰ μὴ μοιχὸς ἦν οὗτος, φθάσας ἂν ἐμὲ τοῦτον αὐτὸς ἐτίθει τὸν νόμον τούτῳ πρὸς τὴν φήμην*

---

11 *τὰ εἰκότα τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἃ συνιστᾷ M*rubr *Ma*²

---

3 *πεμπόμενα La* sed *διδόμενα* suprascr *s* | *καὶ* — 4 *ἀντιδοῦναι* citat Planudes fol. 105ᵛ | *δεξαμένη* Plan | *ταῦτα* ante *ὧν La* | *ἐδεῖτο ὧν* om *La* | *ὁ* inserui e libris om edd sed „*malim ὁ διδούς*“ Re 4 *ἔχρῃζεν* libri Plan edd | *ἀντεδίδου* Plan 5 *πένητος* inser *Ma*² | *ἔστιν Ma* sed del m² | *εἶναι* om *M* 7 *τὰ* inserui e libris om edd | *τὸ*] *τῶ τὰ M* 9 *Ὄντων* — 13 *φθάσας* praemissis verbis *ἐν τούτῳ (τῷ στοχαστικῷ ζητήματι· Φήμη — μοιχείας) γὰρ τὸν κατήγορον ὁ σοφιστὴς μελετῶν μετὰ τὴν δύναμιν τὸ κεφάλαιον τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εἰσάγων κατασκευάζει τοῦτον τὸν τρόπον* citat Io. Doxap. l. l. (cod. Vat. 2228 fol. 276; Paris. 2922 fol. 196) | *καὶ* om *M* Doxap 10 *τοῦ τοῦτον* scripsi e Doxap *τοῦτων Va* sed *ω* in ras m² et ʹ et *ων* suprascr m² et *γρ ἐλεγχόντων τούτων* in marg m² *τοῦτον La* sed in *τούτων* corr *f* *ἐλεγχόντων τοῦτον δύνασθαι M* *ἐλεγχόντων B* edd om *MaCl* 11 *καὶ* ante *τὸ MLa* edd sed delendum aut *πολὺ καὶ μεῖζόν ἐστι τὸ ῥηθησόμενον* scribendum coni Re | *αὖ* delendum censet Iacobs Lect *οὖν Va* | *ἦν οὗτος M* *ἦν* om *BVa* *ἐστίν* Doxap 12 *δικασταί* scripsi e *M* sed inser *y*, *MaClBVa* Doxap *ἄνδρες La* edd | *νόμων La* 13 *ἦν οὗτος* scripsi e *MMaClBVa* *οὗτος ἦν La* edd *φθάσας οὗτος ἦν* Doxap 14 *τὴν* in ras *Va*²

ἀνταγωνιζόμενος καὶ φανερὸν ἅπασι ποιῶν ὅτι ἐγὼ μέντοι ὁ πονηρὸς καὶ κακῶς ἀκούων καὶ τῶν πολιτῶν τοὺς γεγαμηκότας ἀδικῶν τοιαῦτα ἐπὶ τοῖς μοιχοῖς νομοθετῶ. τίς οὐκ ἂν ἐπήνεσεν, ὦ δικασταί, τότε; τίς οὐκ ἂν ἠγάπησε; τίς οὐκ ἂν κατηράσατο τοῖς τολμῶσί τι ἀντιλέγειν; τίς οὐκ ἂν ἐθαύμασε τὸν λόγον; 20. *ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ τοιοῦτόν τι ποιεῖν ὥστε καὶ τὸν νομοθετοῦντα ἐμὲ πολέμιον ἡγεῖτο κεκραγώς, ἀπειλῶν, συνάγων κατὰ τῶν γραμμάτων τοὺς οὐ καλῶς τῷ λέγειν χρωμένους. ὅτ' οὖν ταῦτα ἐποίεις, τότε ἐμαρτύρεις μοιχεύειν. τί γὰρ ἔδει τὸν οὐδὲν ἑαυτῷ συνειδότα τοιοῦτον δεδοικέναι τὴν τιμωρίαν;* 21. *εἰ δὲ κατὰ τῶν ἱεροσύλων ἐτίθην νόμον, σὺ δὲ ἠγανάκτεις, οὐκ ἂν ἦν ὁμολογία τοῦτο τοῦ τὰ τῶν θεῶν ὑφῃρῆσθαι; | εἰ δὲ κατὰ τῶν* R IV 559 *τὰ κοινὰ κλεπτόντων, σὺ δὲ ἤχθου, οὐκ ἂν ἐν τοῖς κεκλοφόσιν ἦσθα; εἰ δὲ κατὰ τῶν προδιδόντων, σὺ δ' ἠναντιοῦ τῷ νόμῳ, οὐκ ἂν δῆλον ἐποίεις ὡς ἔξω βλέ-*

---

18 Dem. cor. p. 332, 15

---

13 *ἐργασία ἀπὸ τῶν ὁμοίων* *MmMa*²

---

2 *κακῶς* reposui e libris sed *ῶ* ex *οῖ* corr *M*, ex *ὸ* *Cl* *κακὸς* edd 5 *ἄνδρες* *La* edd 6 *τολμῶσί τι ἀντιλέγειν* scripsi *τολμῶσι τοιαῦτα λέγειν* libri *τολμῶσι τἀναντία λέγειν* edd | *ἐθαύμασε*] *λοιδορίαν ἐκάλεσε* *La* 7 *καὶ ἐκύρου* ante *τὸν* *M B* et inser *Ma*²*Va*², edd delevi | *τοιαῦτα* *La* sed *αυ* in ras *f* 11 *ταῦτ'* *La* 12 *αὑτῷ* *La* sed ' e ' corr *f* | *τι* ante *τοιοῦτον* edd delevi 13 *ἐτίθην* *M* sed *η* ex *ου* corr, *Va* sed *θην* in ras m² *ἐτίθειν* *La* *ἐτίθει τις* *MaCl* cf. p. 304, 7 14 *δ'* *La* 15 *ὑφαιρεῖσθαι* *LaMa* sed in hoc *κλέψαι* suprascr m², *Cl* | *καὶ* ante *κατὰ* *M* 16 *τὰ* om *M* | *δὲ* reposui e libris cum Sinteni *δὴ* edd sed *γρ δὲ* in marg Mor 17 *κεκλοπόσιν* Ferr Mor sed in hoc *γρ κεκλοφόσιν* in marg | *εἰ* *La* sed ex *ἡ* corr *f* et *s* | *προδιδόντων* scripsi e *LaMa* sed in hoc *γρ προδοτῶν* in marg m², *ClBVa* *προδοτῶν* *M* edd | *δὲ* *MaClB* 18 *ἠναντίον* *M* sed *ίον* ex *ιοῦ* corr *y*, *La* sed *ίον* in *ιοῦ* corr *s*

πεις; οὐκοῦν καὶ νῦν τῷ τοῖς κατὰ τῶν μοιχῶν γραφομένοις ἀντιτετάχθαι τὸ κατὰ σαυτοῦ ταῦτα γεγράφθαι ὁμολογεῖς; δεινὸν δέ, εἰ τὸ μὲν τοῖς μοιχοῖς πολεμεῖν σωφροσύνης εἶναι σημεῖον, τὸ δὲ βοηθεῖν μὴ τοῦ μοιχεύειν δόξει τεκμήριον.

22. *Οἶδα τοίνυν ὅτι τὴν μὲν φήμην φθονούντων ἔργον εἶναι φήσει. φθονεῖσθαι γάρ ἐστιν εἰκὸς τοὺς εὐποροῦντας ὑπὸ τῶν πενομένων. δεῖ γὰρ ἡμᾶς, ὡς ἔοικεν, ὦ δικασταί, μὴ τἄλλα μόνον, ἀλλὰ κἂν τοῖς δικαστηρίοις ὑβρίζεσθαι. τί γὰρ ἄν τις μεῖζον ἀκούσαι κακὸν ἢ εἴ τοῖς ἑτέρων τις αὐτὸν ἀγαθοῖς ἀποπνίγεσθαι λέγοι; ἡμεῖς δὲ ἡμῖν μὲν αὐτοῖς καὶ παισὶ τἀγαθὰ παρὰ τῶν θεῶν αἰτοῦμεν, συμφορὰν δὲ ἡμετέραν τὴν ἑτέρων εὐτυχίαν οὐδέποτε ἐκρίναμεν.* 23. *ἡδέως δ' ἄν σε ἐροίμην, εἰ μόνῳ σοὶ χρήματά ἐστι πολλὰ*

---

3 *ἐνθύμημα* M^{m} Ma^{2} 6 *τὰ τῆς ἀπαρχῆς* (corr *ἀπ' ἀρχῆς*) *ἄχρι τέλους εἰκότα ἃ διαβάλλει* M^{rubr} *ἕτερον τῶν ἀπαρχῆς* (corr *ἀπ' ἀρχῆς*) *ἄχρι τέλους εἰκότα ἃ διαβάλλει* Ma^{2}

---

2 *ἀντιτετάχθαι Ma* sed *ετάχθ* in ras m[2] *τεταράχθαι La* *τοῦ* ante *ταῦτα La* | *γράφεσθαι MMaClVa* 4 *εἶναι* scripsi e *MMaClBVa* *ἔσται La* *ἐστὶ* edd | *μοιχεύειν Va* sed *ειν* in ras m[2] 6 *ὅ τι* libri (sed *ὅτι Vi*) Mor Re | *τὴν* inser *Ma*[2] 7 *φησὶ LaMaClVa* *φήσεις B* | *ἐστιν εἰκὸς* scripsi e *M* et *γρ* in marg Mor *ἐπιεικῶς LaMaClBVa* edd 8 *ὡς ἔοικεν, ἡμᾶς M* 9 *ἄνδρες La* edd | *τὰ ἄλλα Va* 10 *τί δ' Ma* *ἄν τις μεῖζον* scripsi e *MClBVa* *τις μεῖζον Ma* *μεῖζον ἄν τις La* edd | *ἀκούσαι* scripsi e *MaCl* cum Sinteni *ἀκοῦσαι MLaBVa* edd 11 *τίς Ma* | *αὐτὸν* inser *Va*[2] *αὐτὸν M* sed post *ἀγαθοῖς*, *La* sed ' e ' corr *f* | *ἀγαθοῖς Va* sed *θοῖς* in ras m[2] 12 *λέγοι* scripsi e *MLaB* *λέγει MaClVa* edd sed „*malim λέγῃ*" Re | *μὲν* om *La* | *πᾶσι B* Mor sed in hoc *γρ παισὶ* in marg 13 *πρὸς M* | *δ' La* 14 *οὐδέποτε* scripsi e *MMaClBVa* *οὐδεπώποτε La* edd 15 *πολλὰ La* sed *πλείω* suprascr *s*

τῶν ἐν τῇ πόλει. ἀλλὰ μήποτε οὕτω πράξαιμεν κακῶς ὥσθ' ἕνα μόνον οἶκον εὖ πράττειν ἐν αὐτῇ. πῶς οὖν, ὦ σοφώτατε, μετὰ πολλῶν εὐπορῶν μόνος φθονεῖσθαι λέγεις; εἰ γὰρ δὴ φύσει τοῦτο τοιοῦτον ἦν, πάντας ἔδει τοὺς εὐπόρους πολλὰ καὶ δεινὰ παρὰ τούτων ἀκούειν, εἴπερ ἀνάγκη φθονεῖσθαι μὲν διὰ τὸ πλουτεῖν, τοὺς δὲ φθονουμένους τοιαῦτα συκοφαντεῖσθαι. ἀλλ' ὁρᾷς ὅτι καὶ τοὺς ἄλλους φιλοῦμεν | καὶ R IV 560 *θαυμάζομεν καὶ συγχαίρομεν εὐποροῦσι καὶ συνευχόμεθα τὰ ὄντα σφίσιν ἐπιδοῦναι καὶ κοινοὺς γονέας ὀνομάζομεν τοῦ πλήθους. καὶ οὐδεὶς οὐδένα μοιχεύειν φησί. διὰ τί; διότι οὐδὲ μοιχεύει.* 24. *καὶ σὺ τοίνυν, εἰ σωφρονεῖν ἐβούλου, τῶν αὐτῶν ἐτύγχανες ἄν. νῦν δὲ οὐ τὸ πλουτεῖν, τὸ δὲ ἀδικεῖν τὴν φήμην ταύτην ἐποίησεν, ἐπεί, εἰ μῖσος ἦν ὑπὸ φθόνου περὶ σὲ γεγενημένον καὶ ὅπως ἀπόλῃ, ταῦτα ἐλέγετο, ἦν ἂν ἕτερα καὶ μείζω τούτων καὶ πολὺ δεινότερα πᾶσαν ἐκπολεμῶσαί σοι δυνάμενα τὴν πόλιν. τίνα ταῦτα; νεώτερά σε βουλεύειν ᾐτιῶντο ἂν καὶ τὴν ἰσηγορίαν δυσ-*

---

10 Dem. Phil. IV p. 142, 5 19 cf. t. IV 802, 3 R. Lys. or. 13 p. 130, 18. Her. I 210 | [Xen.] rep. Ath. 1, 12

---

1 *πράξαιμεν* scripsi e *LaMaCl* *πράξοιμεν MBVa* edd | *ὦ θεοί* post *κακῶς* inser *La*[s] 3 *ὦ* om *MaClVa* | *εὐπορῶν* scripsi e *M* sed *ορῶν* ex *όρων* corr *y*, *La* ut coni Re *εὐπόρων MaClBVa* edd | *φθονεῖσθε La* sed *αι* supra *ε s* 4 *εἰ γὰρ δὴ* scripsi e *MLaMa* sed in hoc *καὶ* ante *εἰ* inser m[2], *ClVa* sed in hoc *εἰ* in *καὶ* corr m[2] *εἰ γὰρ B* *καὶ γὰρ εἰ* edd 5 *διὰ M* 7 *τοιαῦτα* reposui e libris sed *γρ διὰ ταῦτα* in marg *Ma*[2]*Va*[2] *διὰ τοιαῦτα* edd sed *γρ ταῦτα* in marg Mor | *συκοφαντεῖσθε La* sed *αι* suprascr *f* 12 *διότι* scripsi e *MaClBVa* *ὅτι MLa* edd 14 *τὸ δὲ* in ras *Ma*[2] 15 *εἰ* — 18 *πόλιν* citat Planudes fol. 105[v] | *δὲ* post *εἰ* Plan 15 *περισὲ La* 16 *ἀπόλῃ* scripsi *ἀπόλη* Plan *ἀπολῇ* libri edd | *ταῦτ' La* 17 *καὶ πολὺ τούτων Ma* 18 *σοι* om Plan | *δυναμένω* in *δυνάμενα* corr *Laf* 19 *ἂν* om *MaCl* | *ἰσηγορίαν Ma* sed

χεραίνειν καὶ μείζονα τῶν πολλῶν ἀξιοῦν εἶναι καὶ ζητεῖν ἀντὶ τῶν νόμων γενέσθαι. καὶ οὐκ ἂν ἦν ἀπίθανος ὁ λόγος πάντων ὅσοι δὴ πώποτε δημοκρατίας κατέλυσαν μετὰ πλούτου τοῦτο πεποιηκότων. 25. *νῦν δὲ πολλήν μοι λέγεις τῶν φθονούντων μωρίαν, εἰ βουλόμενοί σε ποιῆσαι κακῶς μὴ μειζόνως ἐποίουν. τότε μὲν γὰρ ὅλην ἄν σοι τὴν πόλιν ἐπῆγον, νῦν δ' οὐ τοσούτους ἐπὶ σὲ τῶν πολιτῶν ἐκίνουν. οὐ γὰρ ἴσον εἰς ὀργὴν δουλείας φόβος καὶ γυναικὸς ὕβρις. διὰ τί οὖν ἐκεῖνο ἀφέντες τοῦτο λέγουσιν; ὅτι τὸ μὲν οὔπω διανενόησαι, τὸ δὲ εἴργασαι. εἶθ' ὥσπερ ὑπὲρ τῶν καλούντων σε μοιχὸν δεδιὼς μὴ ψευδῆ δόξαιεν λέγειν, ἦλθες νόμου κατηγορήσων οὐκ ἐῶντος μοιχεύειν δεικνὺς ὡς ἔργα τὸν νόμον ἐποίησε.*

26. *Καὶ τίνα, φησί, παρέβαινον ἐν τῷ κατηγορεῖν νόμον; καὶ τί δέ; οὐκ ἐξῆν μοι κατηγορεῖν; ἢ τῶν ἀτίμων εἰμί τις; σὺ δὲ οὐκ εἶ μὲν ἄτιμος, ἦσθα δὲ ἂν εἰκότως παῖδας ἑτέρων ἀτίμους πεποιηκώς, οὐδ' αὖ μὴ μετέχων τῆς περὶ ταῦτα ἐξουσίας ἐγγράφου, μετεῖχες γάρ. κρίνεται δὲ οὐ τοῦτο τή-*

---

15 *ἀντίληψις M*rubr *Ma*² 17 *ἐπιχείρημα ἀπὸ τοῦ* (om *M*m) *προσώπου καὶ τῆς αἰτίας M*m*Ma*²

ἤτοι τὴν δημοκρατίαν suprascr m², *Va* sed *δημοκρατίαν* suprascr *δημοκρατίαν* m² *ἰσηγορίαν B* | *δυσχεραίνειν La* sed *ε*(1) ex *αι* corr *s*

1 *πολλῶν* reposui e libris *πολιτῶν* edd sed *γρ πολλῶν* in marg Mor 5 *εἶναι* post *μωρίαν* inser *Ma*² edd | *βουλόμενοί Ma* sed *ι* in *ν* corr m² 6 *ποιήσειν La* 7 *ἄν* om *La* 8 *ἶσον LaMa* 9 *διατί LaMaB* 11 *ὑπὸ LaMaClB* 12 *οὐ* post *μὴ Vi* et inser *La*ſ 16 *νόμων* Ferr et *γρ* in marg Mor | *τί δέ;* scripsi *τί δὲ MLaMaClB* Ferr et *γρ* in marg Mor *τί δαί; Va* Mor Re qui *τί δαὶ οὐκ ἐξῆν;* coni 17 *εἰμὶ τίς LaMa* 18 *δ' La* 19 *ἂν La* | *μετέχων Ma* sed *με* in ras m² 20 *μετεῖχες Ma* sed *μετεῖ* in ras m² *κατεῖχον Cl* | *τὸ La*

μερον, εἴτ᾽ ἐξὸν εἴτ᾽ οὐκ ἐξὸν ἐγράφου, | ἀλλ᾽ R IV 561 *εἰ μὴ τῷ γράψασθαι σαυτοῦ καταμεμαρτύρηκας, ἐπεὶ καὶ βαδίζειν διὰ τῶν στενωπῶν ἔξεστι καὶ βαδίζοντα ἄνω βλέπειν, ἀλλ᾽ ἐὰν πολλάκις διὰ ταὐτοῦ βαδίζῃς οὐκ ἀγούσης ἀνάγκης καὶ βλέπῃς ἄνω πολλάκις γυναῖκα νέαν καὶ καλὴν οὐδέν σοι προσήκουσαν περισκοπῶν, ποιεῖς μὲν ἃ μὴ κεκώλυται νόμῳ, ποιῶν δὲ ἐφ᾽ ὅτῳ ταῦτα ποιεῖς δεικνύεις.* 27. *οὕτω δὴ καὶ νῦν τοῦ γεγράφθαι μὲν οὐκ ἀπαιτοῦμεν δίκην οὐδὲ τοῦτ᾽ ἔστι τὸ ἔγκλημα, τὸ γεγράφθαι δὲ σημεῖον ὧν ἐγκαλοῦμεν ἀξιόπιστον εὑρίσκομεν, καὶ τὸν ἀπὸ τοῦ καταληφθῆναι θάνατον ἀνελὼν τῷ παρὰ τῆς ψήφου σαυτὸν ὑποτέθεικας. οὐ γὰρ ἔτ᾽ ἂν ἔχοις ἅ γε ὡμολόγηκας ἀρνεῖσθαι. τοῦ νόμου γὰρ ὁ μῶμος τὴν τῆς μοιχείας ὁμολογίαν ἔχει.*

28. *Ἀλλ᾽ οὐ διὰ τοῦτο, φησίν, ἐγραψάμην, ὁρῶν δὲ αὐτὸν οὔτε δίκαια οὔτε συμφέροντα λέγοντα. πῶς οὐ δίκαια, πρὸς Διός; οὐ δίκαιον τοῦ γήμαντος ἣν ἠγάγετο εἶναι; οὐ δίκαιον τῇ πόλει γνη-*

2 *ἐργασία ἀπὸ τοῦ ὁμοίου M*m *Ma*² 16 *ἡ μετάθεσις τῆς αἰτίας M*rubr *Ma*² *ἀν* *B*rubr 18 *ἐπιχείρημα ἀπὸ τοῦ πράγματος M*m *Ma* *λύσις B*rubr

1 *εἴτε* (2) *M* 2 *τὸ La* 3 *βαδίζοντα* scripsi *βαδίζοντας* libri edd 4 *ἄνω βλέπειν* reposui e libris sed ex *ἀναβλέπειν* corr *La*f *ἀναβλέπειν* edd | *ταῦτ᾽ οὐ MaCl* sed in hoc in *ταὐτοῦ* corr m³ *ταύτης La* *τούτου BVa* sed in hoc e *ταὐτοῦ* corr m² 5 *οὐκ ἀγούσης ἀνάγκης* post *πολλάκις BVa* 7 *μὴ* om *Ma* 11 *καὶ τὸν Ma* sed *τὸν γὰρ* suprascr et *γρ* in marg m² *τὸν γὰρ BVa* 12 *τῶν* Ferr et *γρ* in marg Mor | *παρὰ La* sed *αρὰ* in ras *f*, *Va* sed *περὶ* in marg m² *περὶ MCl* sed in hoc in *παρὰ* corr m³, *B* 13 *ἔχῃς BVa* | *ἄγ᾽ Ma* 14 *μῶμος* in ras *Va*² *νόμος LaMaCl* | *μοιχείας* in ras *Va*² *ψήφου MaCl* 15 *ἀπολογίαν Ma* 16 *διατοῦτο MaB* 18 *θεοῦ M* 19 *ἣν La* sed ῾ in ras *f* | *ἠγάγετ᾽ La*

σίους τίκτεσθαι παῖδας; τί δ' οὐχὶ καὶ συμφέρον τὰς γονὰς τοῖς πατράσιν ἀνυπόπτους εἶναι; οὕτω γοῦν μετ' εὐνοίας πλείονος καὶ στρατεύοιντ' ἄν. 29. ἀλλὰ τὸ ἄκριτον κτείνειν οὐ δίκαιον. καὶ τί δεῖ κρίσεως, ὅταν ἐπὶ τῆς εὐνῆς τῆς ἐμαυτοῦ σε λάβω; τί δεῖ φαινομένου τοῦ κακοῦ λαγχάνειν δίκην; ἂν δ' ὁ παρελθὼν εἰς ἀλλοτρίαν οἰκίαν καὶ συμπεπλεγμένος ἀλλοτρίᾳ γυναικὶ καὶ ἀντὶ τοῦ γήμαντος συγκατακείμενος μὴ σφάττηται εὐθὺς ἐπὶ τῆς κλίνης ἐν ᾗ ταῦτα ὑβρίκει, ἀλλ' εἰς δικαστήριον καλῆται καὶ νόμους μεμελετηκὼς εἰσίῃ καὶ τοὺς ἐξαιτησομένους εἰσάγῃ καὶ ὁ τὰ τοιαῦτα πεπονθὼς ξίφους ὄντος καὶ πικρᾶς οὕτω μίξεως ὁρωμένης ἀνέχηται καὶ προπέμπῃ τὸν μοιχὸν
R IV 562 | ὥσπερ εὐεργέτην μέχρι θυρῶν, ταῦτα, ὦ πλούσιε, δίκαια; τὸ δὲ χρήσασθαι θυμῷ καλῷ πρὸς φόνον οὐ δίκαιον, ἀλλὰ τὸ τῆς ὑστεραίας ἀνέχεσθαι τῶν παραμυθουμένων καὶ φοβούντων καὶ λεγόντων [καὶ] σὺ δὲ οἴσεις τὸν πλούσιον; οὐ γὰρ κακόν τι προσλαβὼν ἕτερον ἄπει;

30. Πῶς οὖν, ἐρεῖς, εἴπερ δίκαιον τοῦτ' ἦν,

---

1 *καὶ* inser *Va*² 2 *ἀνυπόπτους εἶναι τοῖς πατράσιν MaCl BVa* 3 *καὶ* om *Va* | *στρατεύοιτ' La* „*malim τρέφοιντ'*" Re at cf. p. 305, 8 sq. 4 *τὸν MaCl* sed in hoc *ν* add m³ 5 *ὅτ' ἂν La* | *σε* om *B* 6 *δεῖ* scripsi auctore Re *δὲ* (*δαὶ Wolf*) libri edd | *τοῦ* om Mor | *δίκης Cl* | *ἂν δ' ὁ* scripsi e *MMaClB Va* *ἀλλ' ὁ La* *ἂν δὴ* edd 7 *ἀλλοτρίαν Va* sed ras 3 litt post o | *οἰκίαν* in ras *Mf* 9 *ἐφ' MaClBVa* | *ἧς BVa* | *ταῦτα* scripsi e *LaMaClBVa* et *γρ* in marg Mor *τὰ τοιαῦτα M* *τοιαῦτα* edd 10 *ὑβρίζει MaBVa* et *γρ* in marg Mor | *δικαστήριον* reposui e libris *δικαστήρια* edd | *καλεῖται M* sed *ει* in *η* corr *y*, *La* Ferr Mor 11 *εἰσίῃ M* sed *ι*(2) in ras *f* *εἰσηίει La* | *εἰσάγει La* *εἰσάγει* (η supra) *Va* 12 *ὄντος Cl* sed *o*(2) in *ω* corr m³ | *καὶ* om *B* | *οὕτω* om *MLa* 13 *προπέμπει MaCl* *πέμπῃ M* 16 *τὸ* inserui e libris om edd 17 *καὶ*(3) om *La* cancellavi 18 *καὶ* ante *κακὸν LaB* 19 *γρ ὕστερον* in marg *Va*²

οὐκ ἦν ἐν τοῖς παλαιοῖς νόμοις; πόσα δὲ καὶ ἄλλα τῶν νυνὶ δικαίων οὐκ ἦν ἐν τοῖς παλαιοῖς νόμοις, ἃ προϊὼν ὁ χρόνος εὗρεν. οὐ καθ' ἕκαστον ὡς εἰπεῖν μῆνα νόμους ὁρᾷς τοὺς μὲν λυομένους, τοὺς δὲ γραφομένους τῶν πραγμάτων αὐτῶν τὰ τοιαῦτα εἰσηγουμένων, ὅτι βέλτιον τοῦτ' ἀντ' ἐκείνου κρατεῖν; εἰ γὰρ καὶ πάνυ θαυμάσιοι τὴν φύσιν οἱ πάλαι τεθεικότες τοὺς νόμους, ἀλλ' ἄνθρωποί γε, διαφυγεῖν δέ τι τῶν δεόντων ἀνθρώπου διάνοιαν οὐδὲν θαυμαστόν. 31. ὁ μὲν οὖν νόμος τοῦ νόμου βελτίων καὶ διὰ τοῦτο τοῖς ἄλλοις ἅπασιν ἤρεσκε, σὲ δὲ ἐλύπει μόνον καὶ διὰ τοῦτο ἠγανάκτεις. καίτοι πονηρός γε ὢν πάντας ἂν εἶχεν ἀγανακτοῦντας. ἀλλ' οὐ τὰ σὰ νοσοῦσι. διόπερ οὐδ' ἐδεδοίκεσαν. τὴν τοίνυν τῶν ἄλλων σιωπὴν μᾶλλον ἄν τις ποιήσαιτο σημεῖον τοῦ λυσιτελεῖν τὸν νόμον ἢ τὸν τούτου φόβον τοῦ μὴ συμφέρειν.

32. Καὶ μὴν ἐνίκων, φησίν. ἀλλὰ κακῶς. πόσοι δὲ πρὸ σοῦ πλούσιοι νενικήκασι κακῶς. ἠσέβησαν οὖν οἱ δικάσαντες; οὐ μὰ Δία, ἀλλ' ἐξηπατήθησαν. ἔστι δὲ | οὐκ ἴσον ἑκόντα προέσθαι τὸ δίκαιον R IV 563

3 Her. III 96 4 cf. p. 33, 10; V 59, 7 sq. Dem. Lept. § 89 p. 484, 9 sq.

1 *πόσα* — 2 *νόμοις* om *Va* | *καὶ* om *M* 2 *νυνὶ* reposui e libris *νῦν* edd | *πάλαι La* | *ἀλλὰ Va* 4 *τοῦ La* sed in *τοὺς* corr *f* 6 *βέλτιον* om *M* *βελτι* cum ras 1 litt *La* | *εἰ* — 9 *θαυμαστόν* citat floril. Neapol. fol. 285^r 7 *καὶ γὰρ εἰ M* 9 *οὐδὲν* scripsi e *MMaClB* *οὐδὲ Va* *οὐχὶ La* edd *οὐ* Neap 10 post *οὖν* ras 1 litt *La* | *διὰ τοῦτο* scripsi *δι' τοῦτο La* *διατοῦτο B* *δι' αὐτὸ MMaClVa* edd *δι' αὐτὸ τοῦτο* vel *διὰ τοῦτο* Iacobs Anth Pal III 662 11 *ἄλλοις* inser Ma^2 13 *νοσοῦσιν Cl* 14 *οὐδὲ δεδοίκεσαν MLaMaVa* sed in hoc *δὲ* inser *οὐκ ἐδεδοίκεσαν* Ferr et *γρ* in marg Mor 18 *καὶ* ante *πρὸ MB* | *νενοσήκασι M* 19 *οὔ La* | *δί' Ma* 20 *ἔστι* — 284, 3 *τέχνης* citat Planudes fol. 105^v | *δ' La* | *ἴσον LaVa* Plan | *προέσθαι ἑκόντα BVa* | *ἑκόντα* om *MaCl* | *πρόεσθαι La*

ἢ παρακρουσθῆναι. τὸ μὲν γάρ ἐστι τῆς τοῦ χαριζομένου κακίας, τὸ δὲ τῆς τῶν τἀληθῆ διαστρεφόντων τέχνης. μέμψαιτο δ' ἂν οὐδεὶς ἀντὶ τοῦ δράσαντος τὸν πεπονθότα. οὐδὲ γὰρ ὁ κῆρυξ τούτους ἀφιεὶς ἐκείνοις καταρᾶται. μὴ τοίνυν με διάβαλλε πρὸς ἐκείνους τοὺς δικαστὰς οἳ μετ' ἐμοῦ παρὰ τῆς σῆς ἠδίκηνται ῥώμης ᾗ πολλῇ πανταχοῦ κέχρησαι, ἐπ' ἀγορᾶς, ἐν βουλευτηρίῳ, ἐν ἐκκλησίαις, ἐν δικαστηρίοις. οὐκοῦν ἐκράτεις μὲν οὐ δικαίως, νόμον δὲ καλῶς ἔχοντα καὶ βοηθοῦντα τοῖς γεγαμηκόσιν ἔδεισας, τῷ δέει δὲ τὸ μοιχεύειν ὡμολόγησας.

33. Τὴν δ' ἀπὸ τοῦ γράψασθαι, φησίν, ὑποψίαν ἔδεισα ἴσως. ἀλλ' ἦν μεῖζον ἐν τῷ μὴ γράψασθαι τὸ δέος. τὸ μὲν γὰρ εἶχε φόνον, τὸ δὲ κρίσιν. καὶ πρὸς μὲν τοῦτο τῶν λόγων οὐκ ἀπορήσειν ⟨ἔμελλεν⟩, πρὸς ἐκεῖνο δὲ ἕξειν οὐδέν. ἡγήσατ' οὖν ἀσφαλεστέραν τῆς πρὸς τὸ σιδήριον τὴν πρὸς τὰ τεκμήρια μάχην.

34. Χωρὶς δὲ τούτων πολλὰ καὶ θεῶν ὀργῇ ποι-
R IV 564 οὖσιν ἄνθρωποι, δι' | ὧν αὐτοὶ σφῶν αὐτῶν

4 Dem. cor. p. 319, 27; Aristocr. p. 653, 5

1 παρακρούομαι καὶ ἀπατῶ καὶ τὸ ἀπατῶμαι Ma[2]

1 παρακρουσθῆναι scripsi e MLaMaClVa sed in hoc γρ παρακρουσθέντα in marg m[2], Plan παρακρουσθέντα B edd | 1 et 2 τὰ La 2 ἀληθῆ La sed τ antep s τ' ἀληθῆ B 4 κήρυξ La | ἀφιεὶς scripsi e MLaMaCl ἀφεὶς BVa edd 5 διαβάλλετε Ferr Mor 7 ἡ La sed ι subscr s 8 βουλευτηρίοις M Re | ἐκκλησία La | τοῖς ante δικαστηρίοις La edd delevi | δικαστηρίω M 9 ἐκράτεις La sed ς suprascr n 13 „fort. ἔδεισα μὲν ἴσως" Re | ἀλλ'] ἥκιστα· ἀλλ' ὅτι γε M 15 τοῦτο τῶν λόγων scripsi τοῦτο λόγων B edd τούτω τῶ λόγω MLaMaClVa | ἔμελλεν inserui om libri edd sed „post ἀπορήσειν aut post ἕξειν deesse videtur ἔμελλον" Re 16 ἡγήσατο La sed ο supra ' s, Cl | ἀσφαλεστέραν in marg inser Ma[2] om Cl 17 τὸ τεκμήριον Ferr Mor sed in hoc γρ τὰ τεκμήρια in marg 18 θεῶν La sed εῶν in ras f 19 αὐτῶν La sed ' e ' corr f, Va edd

ἀναφαίνονται κατήγοροι καὶ τοὺς κρίνοντας αὐτοὺς αἷς παρέχουσιν ἐπισπῶνται λαβαῖς. καὶ νῦν πλείους ἐκεῖνοι τῆς τούτου κακίας ποιοῦντες τὰς ἀποδείξεις δεύτερα τοῖς προτέροις σημεῖα προσέθηκαν. 35. *τί δ', εἰ τὴν μὲν ἐκ τῆς ὑποψίας αἰσχύνην ᾔδει ῥᾳδίως πολὺν ἤδη χρόνον ἐν αὐτῇ βεβιωκώς, τὸν δὲ κρινοῦντα αὐτὸν οὐκ ἐνόμιζεν ἔσεσθαι διὰ τὸν πλοῦτον καὶ τὴν ὑπερηφανίαν καὶ τὰς πανταχοῦ τραγῳδουμένας χορηγίας; ἀπὸ τῆς αὐτῆς τοίνυν αἰτίας αὐτὸς ἐδίωκεν, ἀλλ' οὐ δι' ἑτέρου τοῦτο ἔπραττε. τῶν μὲν γὰρ βελτίστων οὐδένα ἂν ἔπειθε, κόλαξ δὲ οὐκ ἂν εἶχεν ἐπεισάγειν τοῖς περὶ τοῦ νόμου λόγοις αὐτοῦ τε καὶ προγόνων λειτουργίας.*

36. *Καὶ πόσῳ, φησί, βέλτιον θηράσαντα ἕλκειν, ἀλλὰ μὴ διώκειν ἀπὸ σημείων. ὅτι χαλεπὸν τῷ πένητι τὰς ὑπὲρ τῆς τροφῆς ἀφέντα φροντίδας μοιχὸν φυλάττειν καθήμενον. ἔπειθ' ὑπὲρ μὲν τοῦ κτεῖναι λαβὼν πᾶν ἂν ὑπομεῖναί μοι δοκῶ, κρίνειν δὲ καὶ τότε | μέλλων τί μὴ τοῦτ' ἤδη ποιῶ; τίνα* R IV 565

2 Plat. rep. VIII p. 544 B

1 *φαίνονται Ma* 2 *παρέχουσιν* reposui e libris sed *παρέχονται* suprascr *Va*² *παρέχονται* edd | *νῦν* om *La* | *ἐκεῖνοι* reposui e libris sed ˜ e ´ corr *Laf*, ut coni Re *ἐκείνως* Ferr et *γρ* in marg Mor *ἐκείνοις* Mor Re 3 *τούτου* in ras *Va*² 4 *δ' εἰ*] *δὴ La* 5 *ἠνείχετο* Iacobs Lect num *ἤνεγκε*? 6 *ἤδη* om *M* 9 *ἐδίωκεν* scripsi *ἔδωκεν LaMaCl* edd sed „*lege ἐδίωξεν, aut, si mavis, in imperfecto, ἐδίωκεν*“ Re *ἔδοξεν MB Va* sed in hoc *οξ* in ras, et *γρ* in marg Mor 10 *ἔπραττε Ma* sed *ε*(2) in ras m² 11 *ἂν* om *MaCl* | *ἀνέπειθε M* et *γρ* in marg *Va*² 12 *περὶ La* sed in *παρὰ* corr *f* | *αὐτοῦ MLaClVa* edd 13 *λειτουργίας* scripsi auctore Re coll p. 290, 7 *αὐτουργίας* libri edd 14 *θηρώσαντα MaCl* 15 *τῶν* ante *σημείων La* 16 *ἀφέντα* scripsi e *MMaCl* *ἀφέντι LaBVa* edd 18 *ἂν* inser *Va*² | *ὑπομείναιμι MMa* 19 *μέλλων τί*] *μέλλοντι La* | *ταῦτ' La* | *ποιῶν La*

τῶν τεκμηρίων κατεγνωκὼς ἀσθένειαν; οὐ μυρίους ἴσμεν ὑπὸ τούτων ἁλόντας; δότω δὴ καὶ αὐτὸς δίκην ὑπὸ πολλῶν καὶ λίαν ἐναργῶν ἐξεληλεγμένος. 37. ὑπὲρ ὧν ἐπίστασθε, ὦ δικασταί, ψηφιεῖσθε τήμερον. ἃ πέπραχε πολλάκις μὲν εἰρήκατε, πολλάκις δὲ ἀκηκόατε. περὶ ὧν τοῖς ἀπιστοῦσιν ὀμωμόκατε. ὑμεῖς τοῦτον ὁρῶντες ἠγανακτεῖτε καὶ προσιόντος ἀπεφεύγετε. πολλάκις ὑμεῖς τοῦτον ἀπὸ τῆς πράξεως ὠνομάζετε μᾶλλον ἢ οὗπερ ὁ πατὴρ ὀνόματος ἔθετο. καὶ τὸν μοιχὸν εἰπών τις τοῦτον ἂν εὐθὺς ἐδήλωσε. 38. καὶ τῆς ἐμαυτοῦ με συμφορᾶς ἀναισθήτως ἔχοντα ᾐτιᾶσθε· οὐκ ὦτα ἔστι τούτῳ τῷ ταλαιπώρῳ; οὐκ ὀφθαλμοί; οὐ συγγενεῖς; οὐ φίλοι; οὐκ οἶδεν οὐδέν; οὐκ ἀκήκοεν οὐδέν; πότε διδάξει τὸν πλούσιον εἰς δικαστήριον εἰσελθὼν ὡς τῆς ἡδονῆς ταύτης οἱ καρποὶ πικροί; καὶ ἐπειδὴ βραδέως ᾐσθόμην ὡς οὐκ ἔτ' ἔχω τὸ γύναιον, πολλοὶ τῶν γεγαμηκότων ἐδέοντό μου προσιόντες, ὅπως ἐκκόψαιμι τὸν λυμεῶνα τοῦτον, καὶ δοίης, φασί, περὶ τῶν γυναικῶν θαρρεῖν.

---

1 κοινὴ ποιότης M^{rubr}

---

2 ἑαλωκότας Ma 3 ἐναργῶ^{σ}ν M ἐναργῶσ La | ἐξηλεγμένος Ma 4 ἄνδρες La | ψηφιεῖσθαι La sed αι in ε corr | τὸ ante τήμερον M edd delevi | σήμερον MaClBVa 5 δ' La | „*Hunc locum et mutilum esse et corruptum nullus dubito. Fortasse sic integrandus*: ἀκηκόατε παρὰ ἄλλων, πολλάκις δὲ αὐτοὶ τοῖς ἀπιστοῦσιν ὀμ. *cf. t. IV p. 577, 16 R*" Iacobs Lect 6 ὀμωμόκατε MaClB edd | τοίνυν ante τοῦτον BVa 7 ἀγανακτεῖτε B | προσιόντος scripsi e LaB et γρ in marg Mor προσιόντα MMaClVa sed in hoc ος supra α, edd 8 ὑμεῖς om La | ὠνομάκατε Ma 10 εὐθέως La 11 με om LaMaClB | ἀναισθήτους Cl 12 εἰσὶ La 13 εἶδεν La | οὐκ ἀκήκοεν οὐδέν; om MLaMaCl 15 εἰσελθεῖν MaCl ἐλθὼν La 16 πονηροί M Cl | βραχέως Cl 17 οὐκέτ' MLaB 18 ἐγκόψαιμι ClVa 19 φησὶ MLa

39. *Ἥκω δὴ τοῦτο δράσων καὶ βοηθήσων ὑμῖν, οὐ γὰρ ἐμαυτῷ γε. τὸ γὰρ ἐμὸν ἀνίατον, ὑμέτερον δ' ἂν εἴη τὸ κέρδος τῶν οὔπω τοιαῦτα θρηνούντων. κοινὴν μὲν οὖν ἁπάντων δίκαιον εἶναι τὴν σπουδήν, διαφερόντως δ' ἂν οἱ πενόμενοι φροντίζοιεν ὧν οὗτος μεμάθηκε καταφρονεῖν καὶ καθ' ὧν χρῆσθαι τῇ μελέτῃ. εἰ γάρ, ὃ μὴ γένοιτο, ἀποφύγοι καὶ τοῦτο αὐτῷ δοίητε, τίς ἔσται λαβὼν ἐξουσίαν ὃς φοβούσης τῆς ψήφου τοιαῦτα ἔδρα;* 40. *οὐκ ἐμοὶ μόνον* | R IV 566 *γύναιον ἔστιν, ὦ δικασταί, καλόν, ἀλλ' ἴσως καὶ ὑμῶν τισιν. οὗτος μὲν γὰρ ἀκριβῶς οἶδεν, ὅσοις, ἐγὼ δὲ οἶμαι, τισί. δείσατε τοίνυν ὅσοις ἔστι, μᾶλλον δὲ ἁπλῶς ἅπαντες οἷς εἰσὶ γυναῖκες, δείσατε. ὡς τοῖς γε ἐπὶ τοῦτο ἐνεχθεῖσιν ἀκούω τέρψιν αὐτὸ τὸ μοιχεύειν ἔχειν, κἂν μὴ κάλλους ἀπολαύειν ᾖ.*

41. *Εἰ δὲ δὴ καὶ θεῶν τις ὑμῖν ἠγγυᾶτο μὴ προσάψεσθαι τοῦτον, ὦ δικασταί, τῶν ὑμετέρων οἰκιῶν,*

---

16 *εἰσβολὴ ἐλέους* *M*m

---

2 *οὐ γὰρ ἐμαυτῷ* scripsi e *MLaMaBVa* *οὐκ ἐμαυτῷ Cl* edd | *γε* om *La* | *τὸ γὰρ ἐμὸν* scripsi e *MaClBVa* *τὸ γὰρ ἐμαυτοῦ M* *τὸ μὲν γὰρ ἐμὸν La* *τὸ μὲν γὰρ ἐμαυτοῦ* edd sed *γρ ἐμὸν* in marg Mor 3 *τὸ* inserui e libris om edd 5 *δ' ἂν* e *δὲ* corr *Va*² | *πένητες MaClBVa* | *ὧι La* sed *ὧν* suprascr *p* 6 *μεμάθηκε* scripsi e *MaCl* *μεμαθήκει MLaBVa* edd | „*aut χρῆται leg. aut εἴωθε χρῆσθαι*" Re 7 *ἀποφύγει La* sed *η* supra *ει* 8 *δοίητε* scripsi e *MLaMa* *δώοιτε* (*η* suprascr) *Va* *δῴητε ClB* edd | *ἔσται* Ferr *ἔστι MLa* *ἂν εἴη MaClB* *ἂν* cum ras 3 litt *Va* 9 *μόνον* scripsi e *LaMa* *μόνον* (*ω* suprascr) *Va* *μόνῳ MClB* edd 11 *μὲν* om *La* 12 *ἁπλῶς* om *B* 13 *ὅσοις M* 14 *ἔχει MLa* 15 *ἀπολαύων La* 16 *θεῶν La* sed *εῶν* in ras *f* | *τίς LaB* | *ἠγγυᾶτο M* sed *η* ex *ε* corr *y*, *La* sed *υ* corr *p* | *προσάψεσθαι* scripsi *προσάψασθαι* libri sed *α*(2) in *ε* corr *M*y, edd 17 *ἄνδρες La* et *γρ* in marg Mor | *ἡμετέρων La* *οἴκων M* Mor Re

οὐκ ἂν εἰκότως ἐμὲ καὶ οὕτως ἠλεεῖτε, ᾧ παῖδες εἰσί τε καὶ οὐκ εἰσί; ποτὲ μὲν γὰρ εἶναι δοκοῦσιν ἐμοί, ποτὲ δὲ οὐκ ἐμοί. καὶ κάθημαι βουλευόμενος· ἐκβαλῶ τῆς οἰκίας ὡς οὐκ ἐμούς; ἀλλὰ θρέψω καὶ σπέρμα ἐμαυτοῦ νομίσω; 42. εἰ δὲ καὶ λίαν τοῦθ' οὕτως ἔχει, θῶμεν γάρ, ὦ δικασταί, τίς τῶν ὀνειδῶν αὐτοὺς ῥύσεται; τίς ἀνέξεται μετὰ παρρησίας πολιτευομένων; τίς οὐκ ἐπιστομιεῖ; τίς οὐκ ἀφέλξει τοῦ βήματος; τοὺς δὲ οὐδὲ ἐξ οὗ γεγόνασιν εἰδότας λέγειν τολμᾶν καὶ δημηγορεῖν; οὐκοῦν ἀνάγκη συγκαλυψαμένους ἀποτρέχειν; 43. καὶ τί λέγω τοὺς παῖδας; οὐ γὰρ καὶ αὐτὸς ἀπολώλεκα τὴν φωνήν; εἰ γάρ ποτε παρελθὼν εἴποιμί τι τῇ πόλει μὲν συμφέρον, λυπηρὸν δὲ ἐνίοις, εὐθύς τις ἐπαναστὰς ἐρεῖ· καλῶς γε ἡμῖν οὗτος φυλάξει τὴν πολιτείαν, καὶ γὰρ τὴν οἰκίαν τὴν αὑτοῦ. τῇ δὲ τῆς γυναικὸς συγγενείᾳ μετέσται χώρας τινὸς βελτίονος; πόθεν;

44. Ὁρᾶθ' ὁπόσων ἀτιμίαν εἷς ἀνὴρ κατέχεε. διὰ τί, γενναῖε καὶ πλούσιε; τίνος ταύτην ἀδικήματος ἐπράξω δίκην; χρυσίον σε ἀφειλόμην; ἀλλ' ἀργύριον; ἀλλ'

1 εἰκότω La sed ς add s | καὶ ἐμὲ La 2 μὲν om M LaMa | μοι δοκοῦσι LaMaB 5 νομίσω in νομιῶ corr Mγ 6 ἄνδρες La 9 δὲ om Va δ' M | οὐκ M | ἐξ οὗ scripsi e B et γρ in marg Mor ἐξ οὗ τὲ LaMa ἐξ οὔτε ClVa ἐξ ὅτου M sed in marg γρ ἐξ οὗ ἐξότου edd 10 οὐκ οὖν La 11 καὶ om MMaCl | λέγω τοὺς παῖδας; reposui e libris τοὺς παῖδας λέγω; edd 12 αὐτοὺς MaCl | περιελθὼν Ma Cl 13 εἴποιμί scripsi εἴπω libri edd | τί LaB | οὐ ante συμφέρον Va 14 εὐθὺς τίς La | γε inser Mγ | ἡμῖν reposui e libris ὑμῖν edd 15 καὶ — 17 πόθεν;] ὁ μὴ γυναῖκα φυλάξας La | καὶ ante τὴν M edd delevi 16 αὐτοῦ MMaCl ἑαυτοῦ B edd | γνώμης Ma 18 ὁρᾶς B | ὅπως La | ἀτιμίας Mor | διατί LaMaCl 20 ἀφειλόμην reposui e libris ὑφειλόμην edd sed γρ ἀφειλόμην in marg Mor

ἐσθῆτα; ἀλλ' ἐγγὺς τῶν σῶν ἀγρῶν χωρίον πριάμενος ἀπετεμόμην τῆς γῆς; οὐδὲν τούτων εἴποις ἂν τῶν γε οὐ πεπραγμένων. 45. διὰ τί οὖν ὃ μόνον ἦν μοι κτῆμα, γυνὴ γὰρ πένητι κτῆμα μόνον, τοῦτο ὑφελόμενος ἔχεις; κάλλους ἐπεθύμεις; εἶτα | ἐν ταῖς ἑταίραις R IV 567 τοῦτο οὐκ ἐνῆν; ἀλλ', οἶμαι, ταύταις μὲν χρώμενος οὐδένα ἂν ὕβριζες οὐδὲ ἠδίκεις οὐδὲ ἐποίεις ἄθλιον, ἡδονὴ δὲ ἦν σοι τὸ ταῦτα δύνασθαι. διὰ τοῦτο τὰς μὲν ὑπερέβης, ἐμοὶ δὲ ἐπέθου. εἶτ' οὐ καταψηφιεῖσθε τούτου τοῦ τὰ τοιαῦτα τρυφῶντος, ἀλλ' ἀνέξεσθε χορηγίας λέγοντος καὶ τριηραρχίας καὶ ὡς ἡμεῖς ἐνταῦθα οἱ πένητες οὐδαμοῦ; 46. ἀλλ' οὐκ ἄξιον, ὦ δικασταί, τῶν τοιούτων ἀναλωμάτων τοιούτους ἀπαιτεῖν τοὺς μισθούς. οὔτε γὰρ ἔννομον οὔτ' ἀνεκτόν. ἀρκείτω γὰρ αὐτοῖς, ἂν ταῦτα καλῶς καὶ προθύμως ποιῶσιν, ἐπαινεθῆναι, μοιχείας δὲ ἐξουσίαν μηδεὶς ἐν δημοκρατουμένῃ πόλει ζητείτω. εἰ γὰρ οὐδὲ τοῖς ἀριστεύουσι, παρ' ὧν ἡ σωτηρία τῇ πόλει, τοῦτο δώσομεν, πῶς οἱ μικρὰ ἀπὸ πολλῶν εἰσφέροντες λάβωσιν; 47. ἡμεῖς ἀπὸ χρημάτων μὲν οὐδὲν ὠφελεῖν τὴν ἐνεγκοῦσαν ὁμολογοῦμεν, οὐ γὰρ ἔστιν ἡμῖν οὐδ' ἐποίησεν ἡμᾶς τῶν εὐπόρων

---

3 διατί La 4 γυνὴ — μόνον citat floril. Neapol. fol. 285r | ἀφελόμενος La 5 ἐπιθυμεῖς La | εἶτ' La | ἑτέραις (αι supra) M 6 οὐκενῆν Ma | ἦν La 7 οὐδ' (2) Va edd 8 διατοῦτο Ma B 9 εἶτα MaCl 10 τὰ inserui e MLaMaClVa om B edd | ἀλλὰ MaClB | ἀνέξεσθε M sed ξ e χ corr y, Ma sed ε(3) in ras m² 11 ἐνταῦθα οἱ πένητες scripsi e LaMaClBVa οἱ πένητες ἐνταῦθα M οἱ ἐνταῦθα πένητες edd 12 ἄνδρες La 14 οὔτε(2) M Re | ἀρκείτω scripsi e LaMaClVa ἀρκεῖ MB edd 16 δημοκρατία M 17 πόλει om M | ζητείσθω Ma sed σθ in ras m², Cl | οὐδὲν MaCl | ἀριστεῦσισι Ma sed ˜ in ´ corr 18 ταῖς πόλεσι M | τοῦτο om M | ἂν post πῶς inser My 19 τοῦτο ante λάβωσιν B edd delevi | λάβωσιν in λάβοιεν corr My λάβουσιν La om Ma 21 οὐδὲ M edd

ἡ Τύχη, ἃ δ' ἂν ἀπ' ἀνδρῶν εὔνων τε ὑμῖν καὶ προθύμων γένοιτο πάντα πεπλήρωται καὶ οὐκ ἂν ἐλέγξαις ἡμᾶς ἐν ταῖς τοιαύταις εἰσφοραῖς κακοὺς ἢ βραδεῖς. 48. θαυμάζω δὲ εἰ μηδὲ τούτους οὓς εἰσήγαγες ὑπὲρ σοῦ δεησομένους αἰσχύνῃ, οἳ οὐκ ἐλάττω σου περὶ ταῦτα ἀνηλωκότες ἔχοντες αὐτῶν εἰπεῖν πολλὰς μὲν ἐπιδόσεις, πολλὰς δὲ λειτουργίας ὅμως ἐπίστανται σωφρονεῖν, ἐπεὶ καὶ νῦν ἄκοντές μοι δεῦρο εἰσεληλυθέναι δοκοῦσι κατεγνωκότες μὲν τῶν τούτῳ τετολμημένων καὶ εἰδότες ὡς διὰ τοῦτον τὸ πλουτεῖν διαβέβληται, ταῖς πολλαῖς δὲ ἱκεσίαις αὐτοῦ καὶ τοῖς δάκρυσιν ἠναγκασμένοι. οἷς πολλὰ ἀγαθὰ γένοιτο καλῶς τοῖς οὖσι χρωμένοις.

49. Ἀλλ' οὐχὶ σὺ τοιοῦτος, ὦ κατὰ τῶν πενήτων πλουτῶν, ἀλλ' οἴει δεῖν ἃ τοῖς τυράννοις, ταῦτα ἐξεῖναι σοὶ μενόντων ἤδη τῶν νόμων. ἀλλ' οἴδε σε ἀπάξουσι τήμερον ὡς ἐμὲ καὶ οὐ γένοιο ἂν δυνατώτερος
R IV 568 | τῶν δικαστηρίων ἐν τούτῳ. τεθνεῶτος δὲ σοῦ τάχ' ἂν ὑπάρξειε καὶ τῷ νόμῳ τεθῆναι τῆς σῆς ἀπηλλαγμένῳ δυναστείας.

17 Dem. fals. leg. p. 431, 7

1 ἂν inserui e libris cum Iacobsio Lect om edd 2 γένοιτο reposui e libris cum Iacobsio γένηται edd sed γρ γένοιτο in marg Mor 3 ταῖς om *M* | εἰσφοραῖς scripsi e *M* sed εἰσ antepos *y*, *MaClBVa* φοραῖς *La* edd 4 μὴ δὲ *MMaB* | εἰσήγαγες reposui e libris ἤγαγες edd 5 δεομένους^{ησο} *B* δεομένους *MaClVa* | αἰσχύνῃ *M* sed η ex ας ut videtur corr *y* | σοῦ *M* 6 τούτους libri sed γρ ταῦτα in marg M^m, et γρ in marg Mor | αὐτῶν libri edd | εἰπεῖν αὐτῶν *MaClBVa* 8 post μοι ras 2 litt *M* | δεῦρ' *Va* edd 10 τούτων *M* sed ω in ο corr, *MaCl* | καὶ ante ταῖς *Ma* 11 ἱκεσίαις *M* sed σι in τει corr *y* 13 τῶν om *M* Ferr Re 15 σοὶ om *LaMaCl* καὶ σοὶ coni Re | οἶδε *La* | ἀπάξουσι τήμερον ὡς ἐμὲ scripsi e *LaMaClBVa* ἀπαλλάξουσιν ἐμοῦ τήμερον *M* edd 16 γένοιο scripsi γένῃ libri sed η in οι' corr M^y, edd 17 δέ σου *MMaCl* edd

XXXIX.

Declamatio inscripta *Φήμη ἦν συνεῖναι τὸν πατέρα τῇ τοῦ παιδὸς γυναικί. νόμον ἔθηκεν ὁ πατὴρ ἐξεῖναι τοὺς παῖδας ἀκρίτους ἀποκτιννύναι. τίθησι καὶ ὁ παῖς νόμον ἐξεῖναι τοὺς μοιχοὺς ἀκρίτους ἀποκτιννύναι*, qua filius patrem qui legem pertulerat ut filios causa indicta interficere liceret ipsius uxorem adulterare odoratus legem suadet ut idem in adulteros liceat, non minus quam antecedens admiratoribus facundiae Libanianae grata fuit. Itaque non 'corporis' finibus coercita mansit, sed etiam in eclogas transiit. Neque parvus est numerus codicum quibus ad hanc aetatem pervenit.

Sunt autem hi 24:

Incipio a 'corporalibus'.

1. Codex Hierosolymitanus bibliothecae patriarchalis S. Crucis 57 (= Cr) palimpsestus saec. XI/XII continet folio 75ᵛ verba p. 299, 13 *τοῦτο ὁ γάμος* usque ad p. 301, 15 *προὔπεμψεν* et folio 75ʳ verba sequentia, sed in hoc ne voce quidem *ἐμαυτὸν* p. 302, 2 prorsus excepta quicquam certo dinosci potest. Vide t. V p. 154 sq. Excussi et quae legi potuerunt adnotavi.

2. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 107 (= H) saec. XIV fol. 134. Vide t. V p. 150 sq. Contuli.

3. Laurentianus LVII 21 saec. XIV/XV fol. 212. Vide t. V p. 158 sq.

4. Barberinus II 41 nunc Vaticanus Barberinus 220 (= B) saec. XV fol. 420ᵛ. Vide t. I p. 24 sq. Contulit meum in usum Pius Franchi de Cavaleriis.

Si minus ex hoc ipso, certe ex eodem fonte fluxit

5. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 49ᵛ. Vide t. V p. 7 sq.

Transeo ad 'eclogarios'.

6. Monacensis gr. 113 (= Mo) saec. XVI fol. 146. Fluxit ex eodem fonte quo *H*. Scholiis ornatus est a librario, correctus ab eodem et manu secunda. Vide t. I p. 413 sq. ubi in lineis 14 sq. scribendum erat: „Declamatio *Νόμος ἦν μετὰ τοῦ τυράννου* ex eo descripta primum in huius editione vol. IV p. 798 sq. exstat; altera *Τύραννος ᾔτησεν ἐξ ἀστυγείτονος κόρην ὡραίαν* ibidem p. 771 sq. repetita est." Reiskia codicem in usum mariti qui eum Bavaricum primum appellatum littera B insignivit anno 1770 contulit. Ipse anno 1895 contuli.

Ex eodem quo hic exemplari descripti sunt duo codices:

7. Mutinensis CLXXXI (III F 3) saec. XV fol. 107. Vide t. II p. 48 sq.

et

8. Vaticanus Ottobonianus gr. 69 saec. XVI/XVII fol. 193. Vide t. I p. 222 sq. et 414 sq.

9. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 98. Correctus est a librario (*m*) et rubricatore (*rubr*), qui etiam scholia margini adscripserunt, et manu recenti *y*. Vide t. V p. 168 sq. Contuli.

10. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 14. Correctus est manu secunda et tertia quae codicem *M* adhibuit. Vide supra p. 261 et t. I p. 362 sq. et t. IV p. 130. Contuli.

11. Bodleianus Miscellaneus 208 olim Claromontanus (= Cl) saec. XIV fol. 79ᵛ. Correctus est manu secunda et tertia. Vide supra p. 261. Contulit meum in usum Th. Thalheim.

12. Athous Laurae S. Athanasii Ω 123 saec. XIII fol. 170. Vide t. I p. 323 sq.

E communi fonte fluxerunt tres codices:

13. Parisinus gr. 3018 saec. XV fol. 184ᵛ. Vide t. V p. 173 sq.

14. Parisinus gr. 3015 saec. XIV fol. 73ᵛ et 120. Vide t. V p. 175 sq.

15. Laurentianus LVII 23 saec. XIV fol. 152. Vide t. V p. 176 sq.

Ex hoc descriptus est

16. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 96[v]. Vide t. V p. 178 sq.

Ex eodem exemplari fluxerunt duo codices:

17. Parisinus gr. 3017 saec. XV fol. 169. Vide t. II p. 4 sq. Contulit Boissonadius.

et

18. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 176. Vide t. I p. 363 sq.

19. Mosquensis bibliothecae synodalis 489 antea 317 saec. XV fol. 212. Vide t. V p. 180 sq.

20. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 81. Vide t. I p. 426 sq.

21. Neapolitanus II E 17 (152 in catalogo Cyrilli) saec. XIV fol. 266. Vide t. I p. 211 sq.

22. Vaticanus gr. 937 saec. XV fol. 121. Vide t. I p. 329 sq.

Ex eodem fluxerunt exemplari duo codices:

23. Laurentianus LVII 47 (= Laur) saec. XV fol. 16. Correctus est manu secunda. Vide t. IV p. 302 sq. Contuli.

et

24. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 79 (= I) saec. XV fol. 21[v]. Vide t. V p. 451 sq. Contulit meum in usum mense Aprili anni 1910 collega carissimus Iosephus Sickenberger.

Fusam huius codicis descriptionem continent codices Burneianus 513 Musei Britannici et Londinensis bibliothecae archiepiscopalis. Vide supra p. 237 et t. V p. 456.

Ex his quos in censum vocandos esse duximus codices novem *CrHMoMaClMLaurIB* rursus in duas discedunt familias quarum prior codicibus *CrHMoMaCl*[1]), altera *M LaurIB* continetur.

Necessitudinis vinculum quod inter hos singulos intercedit codices hoc tibi reddet stemma:

1) Cf. supra p. 40.



In universum quidem hic quoque prior familia alteram fide paulo superat, sed sunt etiam loci quos altera tantum familia integros servaverit.

Codex *Mo* admodum mendosus est, sed cum non ex ipso *H* fluxerit et codicis *Cr* exigua pars supersit, lectiones eius ab apparatu critico removere non licuit.

Idem valet de codicibus *Laur* et *I*, quamquam iam exemplar eorum commune ab archetypo multum recessit, etiam plus codex *I* ipse, qui ne interpolamentis quidem, ut p. 303,11 *εἶπον* pro *ἔφην*, 303,15 *συμφωνῶν* pro *ὁμολογῶν*, 306,10 *οὖν* post *παῦσαι*, privus est.[1])

Numerus testimoniorum non ita magnus est. Macarius Chrysocephalus[2]) tres locos laudavit, Andreas Lopadiota auctor lexici Vindobonensis[3]) duos, auctor florilegii Neapolitani[4]) unum.

Declamatio in lucem protracta est a Fed. Morello Liban. opp. t. I p. 754—764 (= Mor) qui apographo codicis *M*[5]) vel codice cum hoc cognato usus est. Multa huius editionis vitia ope codicis Monacensis sustulit, nonnulla ex ingenio correxit Reiskius (= Re), sed uxor quae editionem (t. IV p. 568—581) curavit minime omnes eius emendationes in textum recepit.

Pauca ad hunc corrigendum Fr. Iacobsius cum alibi tum in 'Lectionum' libro[6]) contulit, etiam pauciora Boissonadius qui codicem Parisinum 3017 adhibuit.

---

1) Cf. t. V p. 457.
2) Cf. t. I p. 351 sq.
3) Cf. t. I p. 238.
4) Cf. t. V p. 368 sq.
5) Cf. supra p. 78.
6) Cf. t. I p. 77 et V p. 198.

XXXIX.

Φήμη ἦν συνεῖναι τὸν πατέρα τῇ τοῦ παιδὸς γυναικί. νόμον ἔθηκεν ὁ πατὴρ ἐξεῖναι τοὺς παῖδας ἀκρίτους ἀποκτιννύναι. τίθησι καὶ ὁ παῖς νόμον ἐξεῖναι τοὺς μοιχοὺς ἀκρίτους ἀποκτιννύναι.

⟨Ἡ μελέτη⟩.

1. *Ἐπειδὴ τῆς τῶν νέων εὐκοσμίας πεφροντι-* R IV 568
κέναι φησὶν ὁ πατὴρ διὰ τοῦ νόμου, δέξασθε καὶ παρ'

Cr = Codex Hierosolymitanus S. Crucis 57
H = Hierosolymitanus S. Sepulcri 107
Mo = Monacensis gr. 113
Ma = Matritensis 4679 (= N-49)
Cl = Bodleianus Misc. 208 olim Claromontanus
M = Marcianus gr. 439
Laur = Laurentianus LVII 47
I = Hierosolymitanus S. Sepulcri 79
B = Barberinus II 41 (Vatic. Barb. 220)

---

1 *ἐσχηματισμένος κατ' ἔμφασιν Ma*rubr *ἐν τούτῳ τῷ ῥηθέντι* (om *Ma*) *λόγῳ παρατηρεῖν ἄξιον ὅπως ἀεὶ ἐσχηματισμένῳ τρόπῳ ὁ υἱὸς τὸν πατέρα ὡς μοιχεύοντα τὴν αὐτοῦ διασύρει* (*διασύρει τὴν αὐτοῦ Ma*) *γυναῖκα. οὐκ ἐλυσιτέλει γὰρ εἰς τοὐμφανὲς τοῦτο ποιεῖν, ἀλλ' ὡς ὁ τῆς τέχνης* (*τύχης Ma*) *δίδωσι νόμος, ἐσχηματισμένως* (*ἐσχηματισμένος Ma*). *καὶ τοῦτο δῆλον μὲν καὶ* (inser *Ma*) *ἐκ τῶν ἄλλων, ἤδη δὲ ἐκ τοῦ τελευταίου τοῦ καὶ φανέντος ποτὲ τοῦ μοιχοῦ τοῦ πατρὸς δεήσομαι βοηθεῖν* (p. 316, 5) in marg *Ma*[3] et in fine declamationis *M*m *ἐσχηματισμένον ὅλον τουτὶ τὸ πλάσμα Mo* 6 *ἀντιληπτικὴ MMo ὅτι ἔξεστι νόμους γράφειν* add *Mo*

---

1 *Θεωρία.* ante *Φήμη* edd delevi | *Φήμη* — 5 *ἀποκτιννύναι* om *BI* redintegr *Laur*[2] | *τις* post *φήμη MaCl* 2 *νόμον ἔθηκεν ὁ πατὴρ* scripsi ex *HMoMaClLaur* *ἔθηκεν ὁ πατὴρ νόμον M* edd 3 et 4 *ἀκρίτους* scripsi e *HMo* *ἀκρίτως MaClLaur* Macar (cf. ad p. 297, 14) edd 4 ras 6—8 litt post *παῖς Cl*
6 *Ἡ μελέτη* scripsi e *Mo* om reliqui libri *λόγος κατὰ μοιχῶν* edd 7 *πεφρόντικε HMo*

ἐμοῦ νόμον μετριωτέρους δυνάμενον ἡμῖν καταστῆσαι τοὺς μοιχούς. δεῖ δὲ ὑμᾶς καὶ τοῦτον νομίσαι τίθεσθαι παρὰ τοῦ πατρός. ὁ γὰρ τά τε ἄλλα με πεπαιδευκὼς καὶ τὴν γνώμην οὕτω μοι παρασκευάσας ὥστ' ἤδη καὶ νόμους ὑπὲρ γάμων ἐπιχειρεῖν εἰσφέρειν πῶς οὐκ ἂν εἰκότως αἴτιος εἶναι δοκοίη τῶν ὑπ' ἐμοῦ τήμερον γιγνομένων; 2. *ὃ καὶ θαυμάσαι τις ἂν εἰ συναγωνίζεσθαι τῷ παιδὶ δέον καὶ τὸν νόμον ἐπαινεῖν καὶ* R IV 569 *συμπράττειν ὅπως ἔσται κύριος, | ὁ δ' ὥσπερ ἀδικούμενος ἢ μὴ κοινωνήσων μοι τῆς δόξης ἐναντιωσόμενος ἥκει καὶ ταῦτα πάντων τῶν ἐμῶν καὶ μικρῶν καὶ μεγάλων ὁμοίως μετεσχηκώς.* 3. *πάλαι μὲν οὖν διενοούμην, ὦ ἄνδρες δικασταί, τουτονὶ θεῖναι τὸν νόμον, ἀφ' οὗ τὴν γυναῖκα ταύτην ἣν ἔχομεν ὁ πατὴρ ἡμῖν εἰς τὴν οἰκίαν εἰσήγαγεν· ὁ δὲ πολλὰ δὴ πολλαχοῦ βλάπτων τοὺς νεωτέρους ὄκνος πολύν τινά μοι χρόνον ἐν τῷ μέλλειν κατανάλωσεν. ὡς δὲ εἶδον τὸν πατέρα τῷ νόμῳ τοὺς μὲν δικαστὰς ἀκύρους τῶν παίδων πεποιηκότα, τοῖς γονεῦσι δὲ τὴν ἐκείνων ἐπιτρέποντα σφαγήν, οὕτως ἤδη καὶ αὐτὸς παρεκλήθην εἰς μέσον ἐνεγκεῖν ἃ πάλαι βουλόμενος ἀνεβαλλόμην. ὃν*

1 *δυνάμενον ἡμῖν* scripsi ex *HMoMaCl* *δυνάμενον ὑμῖν* *LaurI* *ἡμῖν δυνάμενον MB* edd 2 *καὶ* ante *ὑμᾶς Mo* | *τοῦτο* *MoMaClLaur* Re 3 *με* om *MaClMLaurIB* Mor 7 *γεγενημένων MaCl* | *ὃ* in *ὦ* corr M^y | *τίς HMaB* | *συναγωνίσασθαι* *Ma* 9 *ὁ δ'* scripsi e *Mo* *ὅ δ' HMaClMLaurIB* edd *ὁ δὲ* Iacobs Lect 10 *εἰ μὴ κοινωνήσων B* *εἰ μὴ κοινωνήσοι* *μοι Mo* Re qui adnot: „*malim tamen εἴ μοι κοινωνήσει*" | *ἐναντιωσάμενος H* 12 *οὖν* om *I* 13 *διενοούμην* post *θεῖναι*, non post *οὖν* inser *Cl* | *ὦ ἄνδρες δικασταὶ τουτονὶ θεῖναι διενοούμην Ma* 15 *πολλαχοῦ δὴ MLaurIB* Mor 16 *νέους* *MaCl* | *πολλήν ClM* 17 *μέλειν HMoCl* 18 *ἀκύρους Ma* sed *κυ* in ras m^2 | *τῶν παίδων πεποιηκότα* scripsi ex *HMoMa* *Cl* *πεποιηκότα τῶν παίδων MLaurIB* edd 19 *ἐπιτρέποντας* *B* 20 *παρεκλήθην Ma* sed *ν* add m^2

γὰρ καὶ μηδενὸς τοιούτου προεισενηνεγμένου νόμου δικαίως ἂν ὑπὲρ σωφροσύνης ἔθεσθε, τοῦτον ἡγούμην ὑμᾶς ἑτοιμότερον προσήσεσθαι διδόντα τοῖς γεγαμηκόσι κατὰ τῶν μοιχῶν ἃ τοῖς γονεῦσι κατὰ τῶν παίδων δεδώκατε.

4. *Τὰ μὲν οὖν ἄλλα πιστεύω τὸν νόμον εὖ ἔχειν δόξειν, φοβοῦμαι δὲ ἕν, ὦ ἄνδρες δικασταί, μόνον μὴ τὸ τὸν μὲν γράφοντα νέον τε εἶναι καὶ παῖδα, τὸν δὲ ἀντιλέγοντα πρεσβύτερόν τε καὶ πατέρα βλάβη γένηται τοῖς ὀρθῶς γεγραμμένοις. ἀλλ' εἰ μὲν μὴ πολλοὺς μὲν ἤδη πρεσβυτέρους ἑωράκειτε τὰ τῶν νέων ἁμαρτάνοντας, πολλοὺς δὲ νεωτέρους πολλῶν ἄμεινον πρεσβυτέρων εὑρηκότας τὸ δέον, καλῶς ἂν ἐποιεῖσθε τὸν χρόνον κριτήν· ἐπεὶ δὲ αἱ φύσεις ἰσχυρότεραι τοῦ τῶν ἐτῶν ἀριθμοῦ, τί θαυμαστὸν εἰ καὶ πατὴρ ἐκφέρεται*

14 Pind. Ol. V 24. Stat. silv. V 2, 13

1 *τοσούτου* Mor | *παρεισενηνεγμένου Ma* sed *ρο* supra *αρ* m², *Cl* *προσενηνεγμένου LaurI* *συνεισενηνεγμένου M* sed *ην* inser *y* 2 *δικαίως ἂν*] *δικαιώσαντες* Iacobs Lect App Pors 328 | *ἔθεσθαι MoMaCl* sed in *ἔθεσθε* corr *MoMa²* *ἔσεσθε I* *ἔσεσθαι Laur* 3 *καὶ* ante *ὑμᾶς M* | *ἡμᾶς* Mor | *προσίεσθαι* cum ras 1 litt post *ι*(1) *I* 6 *τῇ μὲν οὖν ἄλλῃ HMo* sed in hoc *οις* supra *ῇ* et supra *η* | *εὖ* — 7 *μόνον* in marg *Mo²* 7 *δόξειν* scripsi ex *HMo²* sed in hoc *η* supra *ειν*, *B* *δόξαι MMaClLaurI* edd | *ἓν* inser *Ma²* om *Cl* | *μὴ Cl* sed *η* corr m³ 8 *τὸ* scripsi ex *HMoMa* sed in hoc *ὸ* in *ω* corr, *Cl* sed *ὸ* ex *ῶ* corr m³, *B* *τῶ M* sed *ῶ* in *ὲ* corr *y*, *LaurI* edd | *δ' Ma* 9 *γεγένηται H* *γενήσεται I* 10 *γραφομένοις H MoLaur* | *μὲν*(2) om *H* 11 *ἑωράκητε H* *ἑωράκατε MIB* Mor | *νόμων Mo* 12 *μὲν Mo* sed *δὲ* suprascr m² 14 *ἐπεὶ* scripsi ex *HMoMaClI* *ἐπειδὴ MLaurB* edd | *αἱ φύσεις* — 298, 1 *βέλτιον* praemissis verbis *τῆς μελέτης ἐν ᾗ παῖς διὰ τὸ φήμην εἶναι συνεῖναι τῇ γυναικὶ τὸν πατέρα νόμον τίθησι τοὺς μοιχοὺς ἀκρίτως ἀποκτειννύναι* citat Macarius Chrysoc. fol 78r 15 *τί θαυμαστὸν*] *ὅθεν οὐδὲ θαυμαστὸν* Macar | *καὶ πατὴρ*] *πατὴρ μὲν πολλάκις* Macar

τοῦ προσήκοντος καὶ παῖς λέγει τι βέλτιον; 5. εἰ μὲν οὖν μὴ τὴν χείρω μοι δόξαν ὁ πατὴρ κατεσκευάκει R IV 570 διὰ τοῦ νόμου, τὸν ἐμὸν | τοῦτον εὐθὺς ἂν ἐπεχείρουν λυσιτελοῦντα δεικνύειν· ἐπεὶ δὲ εἰς ἐμέ τινες ἐβλέπετε τούτου νομοθετοῦντος καὶ τοιοῦτος ἐνίους, ὡς εἰκός, εἰσήρχετο λογισμός, ὅτι οὗτος μέντοι τὸν παῖδα πονηρὸν εἰς αὐτὸν εὑρηκὼς αὐτὸς ἐπιθυμεῖ κτεῖναι καὶ τοῦτο ἐσπούδακεν, οὐ τοῖς ἄλλοις ἐπικουρῆσαι πατράσιν, ἀλλ' αὐτῷ χαρίσασθαι μιαροῦ παιδὸς σφαγήν, φέρε ὑμῖν ἀπολογήσωμαι μάρτυρι τῷ πατρὶ χρώμενος.

6. Ἔπεμπές με, ὦ πάτερ, νέον ὄντα κομιδῆ παρὰ τοὺς διδασκάλους. ἐνταῦθα ἔλαβόν τινα αἰτίαν ὧν οἱ πολλοί; κατῄσχυνά σε τοῖς ἐμαυτοῦ πράγμασιν; οὐ δῆτα. μετὰ ταῦτα τῆς μητρὸς ἀποθανούσης, ἧς ζώσης οὐκ ἄν ποτε τοῦτον ἔθηκας τὸν νόμον, ἐκώλυε γὰρ ἄν, ἠπείχθην πρὸς γάμον; ἐμνήσθην σοι περὶ γυναικός, ὡς ἄν τις, ἀφέλκων ἐμαυτὸν τῆς μετὰ σοῦ διαίτης; οὐδὲ τοῦτο. 7. ἀλλ' ὁ μὲν ἐνάγων με πρὸς γάμον

15 cf. p. 313, 9

12 περικατάστασις. κατάστασις *Mo*

1 καὶ παῖς λέγει] λέγει δὲ παῖς Macar | τι λέγει *MaCl* | λέγοι *Mo* | τί *HB* τὸ Macar om *MI* Mor 2 τὴν om *MLaurI B* Mor 3 τοῦτον scripsi ex *HMoMaClLaurB* τοῦτο *MI* edd | ἂν om *Mo* 4 τινα ἐβλέπετο *H* 5 ἐνίους om *H* 7 ἑαυτὸν *Ma* et ex ἐμαυτὸν corr *Cl* αὐτὸν *HMo* | κτείνειν *MaCl* 9 αὐτῶ *HMo* 10 ἀπολογήσωμαι scripsi ἀπολογήσομαι libri edd 12 κομιδῆ ὄντα *MI* | παρὰ *Mo* sed περὶ suprascr m[2] 13 punctum post διδασκάλους posui e libris signum interrogationis edd 16 τέθεικας *MaCl* ἔθηκε *LaurI* 17 ἠπείχθην *Laur* sed πειχ in ras m[2] 18 ἐφέλκων *Mo* | παρὰ *I* 19 ἀλλ' om *Laur* | γυναικὸς ante ἐνάγων *MB* edd et inser *Ma*[3] delevi ut „*recte abest a B*(*avar.*)" Re | ἐνάγων *Mo* sed ἀ supra ἐ m[2]

οὗτος ἦν, ὦ ἄνδρες δικασταί, καὶ λέγων· γυναικὸς ἡμῖν, ὦ παῖ, δεῖ, γυναικὸς ἣ τῶν τε ἔνδον ἐπιμελήσεται καὶ τὴν ἐπὶ τῇ μητρί σου λύπην καταπαύσει πληροῦσά μοι τἀκείνης καὶ καθιστᾶσά πως τὴν οἰκίαν εἰς τὴν προτέραν τάξιν. ἐγὼ δ' ἀνερυθριῶν ἔλεγον ὅτι ταῦτα ἕξει μὲν οὕτως ὅπως ἂν αὐτὸς ἐθέλῃς, δεῖ δὲ ἴσως οὐχ οὕτω ταχέως γαμεῖν οὐδὲ πενθοῦντας ἔτι δεῖπνα παρασκευάζειν καὶ κρατῆρας ἱστάναι καὶ δαιτυμόνας συγκαλεῖν καὶ ὑμέναιον ᾄδειν. ὁ δὲ ληρεῖν με ἔφη, δεῖν γὰρ ἤδη τὴν ἀντ' ἐκείνης ἐσομένην εἰσελθεῖν. 8. εἶξα, ὦ ἄνδρες δικασταί, καὶ συνεχώρησα καίτοι σαφῶς ἐπιστάμενος ὅτι τὸ πρᾶγμα τοῦτο, ὁ γάμος, πολλοῖς πολλῶν καὶ μεγάλων αἴτιον κατέστη κακῶν. οἱ μοιχοὶ γάρ, ὦ πάτερ, καθ' ὧν νῦν ἐγὼ νομοθετῶ, μυρίοι καὶ οὓς οὐκ ἂν φήθης ἥψαντο εὐνῆς ἀλλοτρίας, καὶ οἱ φυλάττειν δίκαιοι πολλάκις αὐτοὶ διέφθειραν. | καὶ τοῦτο τὸ δέος ἔτι νέος ὢν ἐλάμβανον παρὰ R IV 571
τῶν ποιητῶν καὶ τί ἄν σοι διηγοίμην; οἶσθα γὰρ ἃ

9 Dem. Mid. p. 531, 10 19 Xenophan. σιλλ. fr. 11, 3 et 12, 2 ed. Diels

3 *καταπαύσει μοι I καταπαῦσαι μοι HMa* sed in hoc *ύσει* supra *ῦσαι* m², *Cl καταπαύσαιμι Mo καταπαί μοι* cum lac 2 litt *Laur* 4 *καὶ* ante *πληροῦσα Cl* | *πληρωσάτω Mo* | *τὰ ἐκείνης MaCl* | *καὶ* om *Mo* | *καθιστᾶσα πῶς Ma* 6 *ἀνερυθριῶν* scripsi coll t. I 117, 12 *ἂν ἐρυθριῶν* libri edd | *μὲν ἕξει MaCl* 7 *αὐτὸς* om *MaCl* | *ἐθέλοις M* | *ταχέως* om Mor 9 *καὶ*(1) om *Mo* 11 *δεῖ MaCl* | *εἰσενεγκεῖν ClB* 12 *δικασταί* inserui ex *HMoMaLaurIB* om *MCl* edd 13 *τὸ πρᾶγμα* — 17 *διέφθειραν* citat Macarius fol. 78ʳ | voce *τοῦτο* inc *Cr* fol. 75ᵛ 14 *αἴτιον κατέστη κακῶν καὶ μεγάλων Ma* | *οἵ τε γὰρ μοιχοὶ* Macar 15 *ὦ πάτερ* — *νομοθετῶ* om Macar | *καὶ* ante *νῦν MaCl* | *ἐγὼ* om *Mo* 16 *ἄν τις B* 17 *πολλάκις δὲ καὶ οἱ φυλάττειν δίκαιοι* Macar 18 *εἴτι H* scriptura in *Cr* parum certa | *περὶ Mo* 19 *καὶ* om *CrHMo*

λέγουσιν. ἀλλ' ὅμως κινδυνεύειν ἡρούμην ἐν τῷ τοῦ μέλλοντος ἀδήλῳ μᾶλλον ἢ τῇ τοῦ πατρὸς ἐπιθυμίᾳ μάχεσθαι. 9. *ὡς τοίνυν ἐδέδοκτο γαμεῖν, οὐδ' ἐν τοῖς ἑξῆς ἔστιν εἰπεῖν ὡς ἐγώ τι τοῦτον ἐλύπουν. οὐ γὰρ ὁ μὲν ἑτέραν ἐβούλετο λαμβάνειν, ἐγὼ δὲ ἄλλην οὐδ' εἰς ἔριν ἦλθον αὐτῷ περὶ τούτων οὐδ' ἐξυγομάχουν, τοσοῦτον δὲ ἠρόμην μόνον· ἐκ σωφρόνων δέ ἐστιν, ὦ πάτερ, καὶ μεμελέτηκε σωφρονεῖν; ᾔδειν γάρ, ὦ ἄνδρες δικασταί, ὅτι τούτου μὲν τοῦ καλοῦ παρόντος καὶ πενία γυναικὸς καὶ δυσείδεια κοῦφον καὶ ὅ τι ἂν εἴποι τις, ἀπόντος δὲ καὶ πλοῦτος καὶ ὥρα καὶ γένος οὐδὲ μικρὸν εἰς παραμυθίαν μέρος.* 10. *τί γὰρ ἄν τις ἀγαθὸν ἀντιθείη τοσούτῳ κακῷ; τῷ δ' ἄν τις ἐνέγκαι τηλικαύτην πληγήν; ἦ δεινὸν μὲν ἂν ἦν, εἰ καὶ λανθάνειν ἐδύνατο, νῦν δ' ἅμα τε πράττεται καὶ θρυλεῖται καὶ ὁ πρῶτος αἰσθόμενος ἄλλῳ μηνύει κἀκεῖνος ἑτέρῳ καὶ οὗτος ἄλλῳ. καὶ οὕτως ὁ λόγος εἰς ἀγορὰν ἐλθὼν*

---

2 *γῇ Mo* sed *τ* suprascr m[2] 3 *οὐδὲν Mo* 4 *ἐγὼ τί H* 5 *ἠβούλετο Ma* | *γαμεῖν CrHMo* | *οὐδεὶς Mo* 6 *τούτου M* 9 *τούτου* — 301,1 *ᾄδεται* citat Macarius fol. 78v et usque ad 10 *κοῦφον* praemissis verbis *δυσειδία ἐπὶ εἴδους τοῦ ἐν τῷ προσώπου Λιβάνιος* Andr. Lopadiota lex. Vindob. s. v. *δυσειδής* p. 44, 8 ed. Nauck | *τούτου καλοῦ*] *τοῦ μὲν τῆς σωφροσύνης καλοῦ* Macar 10 *δυσείδεια* scripsi e *MaCl* sed in hoc *είδεια* ex *ειδία* corr m[3] *δυσειδία CrHMoMLaurIB* Lopad Macar edd | *ὅτι HMoI* 11 *εἴποι* scripsi e *MoMaClIB* Macar *εἴπῃ CrHMLaur* edd 12 *οὐδὲ* om *I* | *τί* — 13 *ἐνέγκαι*] *οὐδὲ γάρ ἐστιν ἀγαθὸν ὅπερ ἂν ἀντιθείη τις τοσούτῳ κακῷ οὐδὲ τρόπος καθ' ὃν ἄν τις ἐνέγκαι* Macar 13 *ἀντιθείη ἀγαθὸν I* | „*malim τί δ' ἀντεισενέγκαι τηλικαύτῃ πληγῇ*" Re | *ἐνέγκῃ Mo* 14 *ἢ HMoMa* Macar *ἢ Cl* sed in *ἤ* corr m[3], *I* scriptura in *Cr* incerta

15 *τε* om *Mo* | *πεπράττεται Mo* *πέπρακται* Macar | *θρυλεῖται* scripsi ex *HMaCl* Macar *θρυλλεῖται MoMLaurIB* edd scriptura in *Cr* incerta 16 *πρῶτος* scripsi ex *HMoMaClI* Macar *πρώτως MLaurB* edd scriptura in *Cr* incerta 17 *οὕτως* scripsi e *Cl* ut coni Re *ὅτως* Macar *οὗτος* reliqui libri edd

ᾄδεται. 11. *διὰ ταῦτα, ὦ ἄνδρες δικασταί, τῶν ἄλλων οὐδενὸς μνησθεὶς ὑπὲρ σωφροσύνης ἐδεόμην μανθάνειν. ὁ δὲ ἄγριον εἰς ἐμὲ βλέψας ἐγώ φησι τούτων γέγονα δοκιμαστής, ἐγὼ τὴν κόρην οἶδα. θάρρει περὶ τῆς ἀρεσκούσης ἐμοί. ταῦτα ἀκούσας ἡσύχαζον καὶ ἄφωνος ἦν καὶ ᾤμην δεῖν τῇ τούτου γνώμῃ γαμεῖν. ἐλάβομεν τὴν νύμφην, ἠγάγομεν, εἴχομεν. ἆρ' οὖν τι μετὰ ταῦτα ἠδίκουν; εἰπάτω.*

12. *Καὶ οὐ τῶν ἐμαυτοῦ γε μόνον, ἀλλὰ καὶ τῶν τῆς γυναικὸς πρὸς αὐτὸν ἔργων ἕτοιμος ἐγὼ ποιεῖσθαι τὴν ἐξέτασιν. οὐχ ὁμοίως ἀμφοῖν ἐπεμελήθη; οὐχ ὥσπερ τῶν ἐμῶν, οὕτω καὶ τῶν σῶν ἐφρόντισε, τροφῆς, ἐσθῆτος, εὐνῆς; οὐχ ἡδονῆς ἐκοινώνησέ σοι | καθάπερ* R IV 572 *ἡ μήτηρ πρότερον; οὐκ εἰσιόντα ἔξωθεν προσιοῦσα ἐθεράπευσεν; οὐκ ἐξιόντα προὔπεμψεν εὐχομένη ταχέως ἐπανελθεῖν; οὐκ ἄδηλόν σοι κατέστησε τῆς ἐμῆς μητρὸς τὴν τελευτὴν πάντα ποιοῦσα τἀκείνης;* 13. *καὶ τούτων, ὦ πάτερ, γιγνομένων ἔστιν ὅτε ἐμεμψάμην ἢ κατεβόησα τῆς γυναικὸς ὡς ἂν οὐ τἀμὰ προτιμώσης, ἀλλὰ μεριζομένης ἀκριβῶς εἰς ἐμέ τε καὶ σέ; ἀλλ' ἐάν τίς μου καταμαρτυρήσῃ παρελθὼν ἢ δοῦλος ἢ ἐλεύθερος, γράψον, εἴπερ οἷόν τε, τούτου χαλεπώτερον κατὰ τῶν παίδων νόμον.*

---

1 *διαταῦτα MoB* 4 *δικαστής MaClMLaurIB* Mor scriptura in *Cr* incerta 7 *ἐλάβομεν* — 8 *ἠδίκουν* in marg *Mo* | *ἤγομεν HMoMaCl* scriptura in *Cr* incerta 8 *τι* om *HMo* scriptura in *Cr* incerta | *μεταταῦτα MIB* 9 *ἐμαυτῷ Cl* 10 *πρὸς αὐτὸν* om, *ἔργων* inser *I* 14 *προιοῦσα MLaurIB* Mor scriptura in *Cr* incerta 15 *ἐθεράπευσεν* scripsi e *Ma ClLaur* *ἐθεράπευεν HMoMIB* edd scriptura in *Cr* incerta | *προὔπεμψεν* scripsi e *CrHMoClLaur* *προὔπεμπεν MIB* edd *προὔπεμπον Ma* 17 *τὰ ἐκείνης MaCl* 18 *ὅτ' MaCl* 21 *καταμαρτυρήσῃ μου I* | *μου Cl* sed *υ* ex *ι* corr m[3] 22 *οἱόν*[τε] *B* *εἴ οντε Laur* *οἷός τε* Re

14. *Οὕτως οὖν ὑποπεπτωκότος ἐμοῦ τοῖς σοῖς βουλεύμασι καὶ οὐδενὸς ἐμαυτὸν ποιοῦντος κύριον, ἀλλὰ σοὶ πάντων ἁπλῶς παρακεχωρηκότος τίς αἰτία τοῦ καλοῦ τούτου νόμου; τί τούτοις δίδως ὑποπτεύειν ὡς ἔστι τις ἡμῖν ἐπὶ τῆς οἰκίας πόλεμος δεόμενος ὀξείας σφαγῆς ἣν δεῖ πεπρᾶχθαι πρίν τινα εἰδέναι διότι;* 15. *ἀλλ' εἰ καὶ μὴ τὸν νόμον τιθείς, νῦν γε ἡνίκα τέθεικας, ἔλεγξον τὴν ἐμὴν κακίαν καὶ τὰς αἰτίας ὅρισον καὶ μὴ δίδου τοῖς περιεστηκόσιν ἄλλα ἄλλοις νομίζειν. ἢ οὐκ οἴει τούτων πολλούς, τοὺς μὲν πρὸς ἑαυτὸν ἕκαστον, τοὺς δὲ πρὸς ἀλλήλους, πολλὰ τοιαῦτα λέγειν ἃ οὐκ ἄν ποτε ἐγὼ φθεγξαίμην; ἃ γὰρ οὐδ' ἀκοῦσαι φορητόν, πῶς ἂν ταῦτα εἰπεῖν ὑπομείναιμι; πλὴν τοσοῦτον ἐρῶ ὅτι τούτων οἱ μὲν ἀδικεῖν ἐμὲ νομίζουσι καὶ πρὸς τοῦτον σὲ τὸν νόμον ἁμαρτάνοντα ἐπηρκέναι, ἕτεροι δέ γε ἴσως ἀδικεῖσθαί μέ φασι καὶ δυστυχεῖν καὶ διὰ τοῦτο μισεῖσθαι.* 16. *παρελώμεθα τῶν πολλῶν τὰς ὑπονοίας εἰπόντες τὰ τοῦ παιδὸς πονηρεύματα. ἀλλ' οὐκ ἐθέλεις; οὐκοῦν ἱκανή μοι τοῦτο ἀπολογία; καὶ διὰ τοῦτό γε ἤδη τοῦ νόμου κειμένου*

---

2 *ἐμαυτοῦ HMo* scriptura in *Cr* incerta, ut in sequentibus quorum ne finis quidem qui in folio 75r fuerit dici potest 4 *γὰρ* post *τί B* 5 *τίς HMoMa* | *τῆς* om *Mo* 6 *δι' ὅτι H* *διατί Laur* 7 *μὴ καὶ Ma* sed *μὴ* del et *ὅτε μὴ* post *καὶ* inser m², *ClMLaurI* Mor | *τιθείς Ma* sed in *ἐτίθεις* corr m² 9 *ἄλλ' Mo* 12 *οὐκ HMo* 14 *πλὴν*] *πῶς I* 15 *νομίζουσιν I* | *καὶ* — 16 *ἐπηρκέναι* om *I* | *ἁμαρτάνοντα Ma* sed *ας* in marg m² *ἁμαρτάνοντος M* 16 *ἐπηρκέναι* scripsi *ἡκέναι* libri edd sed „*videtur leg. καὶ πρὸς τοῦτό σε βλέποντα τὸν νόμον ὀργῇ ἁμαρτάνοντα τεθεικέναι*“ Re *ἐφηκέναι* Iacobs Lect | *γε* om *MaClI* | *με* om *Cl* inser *Ma*³ 17 *δυστυχῇ I* | *διατοῦτο HMoB* 18 *τὰς τῶν πολλῶν ὑπονοίας I* | *εἰπόντος σοῦ τὰ Mo* Re 19 *οὐκἂν I* | *τούτων B* 20 *διατοῦτό HMoMa*

τούτοις πρὸς ὑμᾶς ἐχρησάμην, ὦ ἄνδρες δικασταί, τοῖς λόγοις, ὅπως κἀκ τούτου μάθητέ μου τὴν ἐπιείκειαν καὶ | ὡς οὐδαμοῦ ταῖς ὁρμαῖς ἠναντίωμαι τοῦ R IV 573 *πατρός. ὃς γὰρ οὐδ' ἐν τηλικούτοις βιωσόμενος φόβοις ἐτόλμησα ῥῆξαι φωνήν, τί τῶν ἄλλων οὐκ ἐνήνοχα σιγῇ;* 17. *τούτου τοίνυν ἀκούων ἀναγινώσκοντος νόμον κρίσεως ἀποστεροῦντα τοὺς παῖδας καὶ φάσκοντος οὐκ ἄλλως εὖ οἰκήσεσθαι τὴν πόλιν καὶ ὑμᾶς ἀνασχομένους ὁρῶν ἥκειν ἡγησάμην καὶ ἐμαυτῷ καιρὸν θεῖναι νόμον, ὃν τὸ πάλαι θεῖναι βουλόμενος, ὅπερ ἀρχόμενος ἔφην, οὐκ οἶδ' ὅπως οὐκ ἐθάρρησα. καὶ σκοπεῖτε, πρὸς Διός, εἰ μὴ καλὸς καὶ πρέπων τῇ πόλει καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸν γάμον ὁμολογῶν.*

18. *Τῷ καταλαβόντι φησὶ μοιχὸν ἐπὶ τῇ γυναικὶ κτείνειν εὐθὺς ἐξεῖναι τὸν ὑβρίζοντα. ἀλλ' ὁ πατὴρ ἀγανακτεῖ καὶ ἀντερῶν ἥκει. διὰ τί, πάτερ, οὐ μέτεστί μοι τοῦ νομοθετεῖν; ἄτιμος ἐν τῇ πόλει περιέρχομαι καὶ δέομαι κύπτειν εἰς γῆν; ἐγὼ δὲ τῶν μεγίστων ἐμαυτὸν ἀξιῶ καὶ νόμους γράφω.* 19. *εἰ μὲν οὖν ἄλλος*

---

5 Dem. Phil. III p. 126, 25 sq. 8 Isocr. Areop. § 40 p. 147 e 10 cf. p. 296, 12 15 Dem. Aristocr. p. 637, 23 sq. cf. Meier-Schoemann-Lipsius, Att. Proc. p. 404 sq.

---

15 *ἡ προβολή* M^{rubr} et in marg Ma^3 19 *τὸ πρόσωπον* M^{rubr} et in marg Ma^3

---

1 *ὦ ἄνδρες δικασταὶ ἐχρησάμην Laur* 2 *μάθοιτε Laur* | *ὦ ἄνδρες δικασταὶ* post *μου I* 3 *τοῦ πατρὸς ἠναντίωμαι I* 4 *ὃς Ma* sed post *ο* ras 1 litt et ῾ in ras m² 7 *φάσκοντος* scripsi ex *HMoClLaurIB* ut coni Mor *φάσκοντα MaM* edd 9 *ὁρῶν* om *HMoClLaurB* inser Ma^3 | *ἐπ' αὐτῷ Mo* | *καλὸν Ma* sed *γρ καιρὸν* suprascr m³, *Cl* 10 *τοπάλαι M*
τὸν γάμον
11 *εἶπον I* 13 *τῶν γάμων M* *τῶν γάμων HMa* et *γρ* in marg Mor | *συμφωνῶν I* 15 *ἐξεῖναι κτείνειν εὐθὺς I* 16 *ἀνταίρων H* | *διατί HMoB* | *ὦ* ante *πάτερ Mo* | *οὐκ ἔστι MaCl* 17 *τὸ HMaClMLaurI* Mor 18 *δέομαι* scripsi ex *HMoMaCl* *δέον με MLaurIB* edd 19 *οὖν* om *HMaLaurI* | *ἄλλως H*

με τῆς παρρησίας ἐκβέβληκεν, οὐκ οἶδα, τοῖς δὲ τῆς πολιτείας νόμοις οὔπω τοῦτο πέπονθα. οὐκοῦν νομοθετῶ μὲν ἐξόν μοι τοῦτο ποιεῖν, γράφω δὲ ὑπὲρ τῶν ἐμαυτῷ προσηκόντων καὶ οὐκ ἄν με φαίη τις πρᾶγμα ἀλλότριον ἁρπάζειν, οἷον εἰ περὶ νεῶν ἢ ἱππέων ἢ ὁπλιτῶν ἢ φόρων ἢ τείχους ἢ μετοίκων ἢ τελῶν νόμους ἐτίθην, εἰκότως ἂν ἐδόκουν τὰ τῶν στρατηγῶν καὶ ῥητόρων καὶ ὅλως τῶν πρεσβυτέρων ὡς ἐμαυτὸν ἕλκειν. κατὰ δὲ τῶν μοιχῶν ἡμῖν πρέπει τοῖς νεωτέροις γράφειν. 20. *καὶ θαυμαστὸν οὐδέν. νέαις γάρ, ὦ πάτερ, συνοικοῦμεν. ἂν δὲ δὴ καὶ διαφερούσαις ἑτέρων τὴν ὄψιν, οἵαπερ ἡμῖν ἐστιν ἡ γυνή, καὶ γὰρ τοῦτο ὁ*
R IV 574 *πατὴρ ἐσκέψατο, ὅπως τοὺς ὀφθαλμοὺς | εὐφραίνοι τῷ συνοικοῦντι τὸ σῶμα τῆς γυναικός, ὁ δὴ τὴν τοιαύτην ἔχων πρᾶγμα εἰκὸς πέπονθε φυλακὴν ἅπασαν τῷ κάλλει περιτιθείς. οὕτως οὐκ ἐξὸν μόνον, ἀλλὰ καὶ περὶ τῶν μάλιστά μοι προσηκόντων τίθημι νόμον. καὶ ὅστις οἶδεν ἀκριβῶς τὰ ἡμέτερα, πολλοὺς δὲ οἶμαι, καὶ τὴν σπουδὴν οὗτος ἐπαινεῖ τὴν ἐμήν.*

21. *Πρῶτον τοίνυν ὡς σαφὴς καὶ δικαίως ἔχων ὁ νόμος, ὁρᾶτε. μὴ κρινέτω, φησί, μοιχὸν ὁ λαβών,*

---

4 *ὅρος M*[rubr]

---

4 *τίς HMa* 5 *νέων I* Mor | *ἱππέων* scripsi ex *HMoMa ClI* *ἵππων MLaurB* edd 6 *φόνων Mo* | *„num ἢ ἀτελείας?“* Re | *τελῶν* scripsi ex *HMoMaClLaurI* *τελωνῶν MB* edd 7 *ἐτίθειν MaCl* 8 *τὰ* ante *τῶν MaCl* | *εἰς B* 9 *ἔξεστι Ma Cl* 11 *συνοικοῦμεν ὦ πάτερ B* | *ἀλλήλων I* 12 *οἷαπερ H Mo* | *ἐστιν ἡμῖν MaCl* | *καὶ γὰρ καὶ τοῦτο MaCl* 13 *ἐσκέψατο ὁ πατὴρ I* | *εὐφραίνοι* scripsi ex *HMaClB* *εὐφραί*[ν] *Mo* *εὐφραίνῃ MLaurI* edd 14 *τοῦ συνοικοῦντος I* | *τὴν* om *MoCl* 15 *πραγματείαν HMo* 18 *δ' οἴομαι Mo* *δέομαι H* *δ' οἴομαι εἰδέναι* coni Re 19 *τὴν* om *MaCl* | *οὐκ* ante *ἐπαινεῖ* inser *I* | *μὲν MaCl* 20 *καλὸς I*

ἀλλ' αὐτὸς σφαττέτω. τί τοῦδε σαφέστερον; καὶ μὴν ἐν τῷ μοιχὸν εἰπεῖν πάντα ἁπλῶς περιλαμβάνει μοιχόν, κἂν νέος ᾖ κἂν μὴ νέος, κἂν ἄγνωστος κἂν γνώριμος, κἂν συνήθης κἂν μή, κἂν τῶν ἔξωθεν κἂν τῶν ἔνδοθεν, καὶ ὅλως οὐδὲν ὑπεξείλετο, οὐ γένος, οὐ τύχην, οὐχ ἡλικίαν. τί τοῦδε δικαιότερον; 22. ἀλλὰ μὴν ὡς συμφέρων ὁ νόμος, παντί που δῆλον. ἐγὼ γὰρ οἶδ' ὅτι σώζουσι μὲν τὰς πόλεις αἱ στρατεῖαι, ποιεῖ δὲ τοὺς ἐξιόντας εὐψύχους τὸ μέγιστον τῶν ἄθλων, γνήσιοι παῖδες. ἂν δέ μοι τούτων τὰς γονὰς ὑπόπτους ποιῇ τις, ὦ πάτερ, φαῦλον ποιεῖ ὁπλίτην τὸν ὑπὲρ τοιούτων μαχόμενον. οὐκοῦν ὁ συνέχων τὴν σωφροσύνην νόμος οὗτος φρουρεῖ τὴν πόλιν.

23. Θαυμάζω δὲ καὶ τίνος ποτὲ εὐπορηκὼς ὁ πατὴρ λόγου κωλύσων ἥκει τὸν νόμον. τὸ μὲν γὰρ ἰσχυρὸν ἐκεῖνο τὸ μηδένα δεῖν ἄκριτον ἐν δημοκρατίᾳ θνήσκειν ἀπολώλεκε. πῶς; οὐδεὶς τῶν παλαιῶν νόμων πατέρα πεποίηκε κύριον τῆς τῶν παίδων ψυχῆς, ἀλλὰ τύπτειν μὲν καὶ τραπέζης ἀπελαύνειν καὶ μὴ διαλέγεσθαι καὶ ῥήμασι χαλεποῖς ἀνιᾶν καὶ τὰ τοιαῦτα δέδοται τῷ πατρὶ καὶ οὐδὲν ἐπὶ ταῦτα δεῖ δικαστῶν οὐδὲ ψήφων, ἀποκτεῖναι δὲ καὶ διαχρήσασθαι καὶ κατακόψαι νέον μὴ δεξάμενον | αἰτίαν ἐν μέσῳ, μὴ τυχόντα δικαστῶν, μὴ R IV 575

9 cf. p. 282, 2 sq. 17 Dion. Hal. ant. II 26

2 παραλαμβάνει *Mo* 5 καὶ om *HMo* delevit Re | ὑπεξείλετο *Cl* sed ε(3) ex α corr m[3] 6 δεῖ καὶ ἕτερον *HMo* 8 στρατηγίαι *MLaur* Mor 9 ἄλλων *I* 10 δέκαμοι *Mo* 11 τίς *H* | τῶν ante τοιούτων *M* 12 συνάγων *H* 13 φρουρεῖ *Ma* sed φρου in ras m[2] 14 θαυμάζω — 15 νόμον in marg *Ma*[2] et κείμενον antepos m[3] | εἰ ante καὶ *H* | καὶ om *M* Mor | ὁ πατὴρ εὐπορηκὼς *Ma*[2] 16 ἐν om *LaurI* 18 πεποίηκε κύριον scripsi ex *HMoMaCl* κύριον πεποίηκε *BLaurI* edd κύριον πεποίηται *M* 19 τῆς ante τραπέζης *I* | καὶ(3) om Mor 20 δέδονται *Ma* δίδοται *B* | τῷ om *HLaurI* 23 αἴτιον *LaurI*

μεταλαβόντα λόγου δεινὸν ἐδόκει καὶ ἀσεβὲς καὶ πόρρω δημοκρατίας. καὶ τί λέγω σφαγήν; οὐδ' ἀποκήρυξιν ἄκριτος ὁ παῖς ἐκ τῶν παλαιῶν ὑποστήσεται νόμων. ὁ δ' οὐδὲ τῆς οὐσίας τῆς τοῦ πατρὸς ἄνευ κρίσεως στερηθεὶς ἂν ἀποθανεῖται τὴν αἰτίαν ἀγνοῶν τοῦ θανάτου; 24. τί δὲ καὶ φεύγει δικαστήριον ὁ πατήρ; εἴποι τις ἄν. τὸ γὰρ ἔγκλημα τοῦ δώσοντος δήπουθεν, οὐ τοῦ ληψομένου τὴν δίκην. λέγε, φησί, τὴν αἰτίαν, ἔλεγξον, ὅρα διδόντα δίκην. ἀλλ' οὐδὲν λέγεις τηλικοῦτον. παῦσαι θυμούμενος. ὀργῇ δὲ ζεούσῃ πατέρων οὐκ ἐξέδωκαν οἱ νόμοι τὴν νεότητα τῆς πόλεως εἰδότες ὅτι κρατεῖ πολλάκις ὀργὴ λογισμῶν. 25. ἀλλ' αἰσχρὸν διηγεῖσθαι παίδων ἁμαρτήματα πατράσι. σφαγὴ δὲ καλοῦ τινος γίνεται τεκμήριον; καὶ μὴν ἐν μὲν τῷ δικαστηρίῳ τοῦτο δόξας ἀδικεῖν ὅπερ ἠδίκηκε μόνον ὁ παῖς ἀποθανεῖται, κρίσεως δὲ μὴ γεγενημένης οὐδὲν ὅ τι οὐκ ἠδικηκέναι δόξει. τοῖς γὰρ τὴν οὖσαν οὐκ εἰδόσιν αἰτίαν πᾶν εἰκάζειν ἀνάγκη. καὶ

---

2 *οὐδὲ Cl* 3 *ἄκριτος* scripsi ex *HMoMa* sed in hoc *γρ ἀκρίτως* suprascr m³, *Cl* sed *ς* e *ν* corr, *BLaur* *ἄκριτον I* *ἀκρίτως M* edd | *καλῶν I* 4 *δὲ HMo* | *τῆς*(2) om *HMoI* | *ἄνευ κρίσεως* om *B* 5 *ἀποθανεῖται ἂν MaClI* | *τὴν αἰτίαν* in marg *Cl*³ 6 *φεύγοι Laur* | *ὁ* om *HB* 7 *τίς H* *τὶς Mo* | *δώσοντος* scripsi e *B* *δόντος* reliqui libri edd 8 *οὐ*] *ἢ Mo* | *λέγε* — 9 *δίκην* om Mor | *λέγε* scripsi ex *HBLaurI* ut coni Re *λέγει MoMaClM* Re | *τὴν* scripsi ex *HMaClBI* *τινὰ MoM Laur* Re 9 *διδόντας Mo* sed *ς* eras 10 „*fort. παῦσαι οὖν*" Re | *λοιπὸν* post *παῦσαι I* | *ὀργῇ* — 12 *λογισμῶν* citat auctor florilegii Neapolitani fol. 285r | *ὀργῆς δὲ ζεούσης Ma* 11 *τῆς*] *τὴν* Re 12 *ἀλλ'* om *HMo* 13 *αἰσχρὸν* — 18 *ἀνάγκη* citat floril. Neapol. l. l. | *ἀδικήματα Ma* sed *ἁμαρτήματα* suprascr m³, *Cl* 14 *γίγνεται B* | *μὴ Mo* 15 *τούτω HMoCl* sed in hoc in *τοῦτο* corr m³ 16 *ἀποφανεῖται Mo* | *δὲ* om *I* | *γενομένης Laur* 17 *οὐδὲν* om *LaurI* | *οὐδὲν ὅ τι* om *Cl* in marg inser *Ma*³ | *ὅτι HMo* | *οὐδ' LaurI* 18 *πᾶν* in lac 3 litt om *H*

οὕτως ἀθλιώτερος πατὴρ ὁ κτείνας τοῦ κρίναντος.

26. *διὰ μὲν δὴ ταῦτα οἱ παλαιοὶ νόμοι κρίσιν ἐποίησαν καὶ οὐκ ἀπεστέρησαν ἀστοὺς ὧν τοῖς οἰκέταις μετέδωκαν, οὐδένα γοῦν οἰκέτην, ὦ πάτερ, ἄκριτον ἀποκτενεῖς, ἀλλ' ὅμως ἐκεῖνα τὰ ἀρχαῖα καὶ μακρῷ βεβαιωθέντα χρόνῳ πάντα ὕθλον ἀπέφηνας καὶ πεποίηκας τῶν παίδων τοὺς πατέρας σφαγέας. οὐδεὶς ἐναντιοῦταί σου τῷ νόμῳ. κρατείτω μετὰ τῶν ἄλλων τῶν φονικῶν ἤ, εἰ βούλει γε, καὶ πρὸ ἐκείνων ἐπαινείσθω. τοῦτ' αὐτὸ μέντοι πεποίηκεν ὁδὸν τῷ κατὰ τῶν μοιχῶν νόμῳ. καὶ τοσούτῳ ῥᾷον ἐμοὶ τοῦτον ἢ σοὶ θεῖναι τὸν πρότερον ἐκεῖνον, ὅσῳ πρὸς παράδειγμα | μὲν ἐγὼ βλέπων γράφω, σὺ δὲ καινότατα πάν-* R IV 576 *των ἠξίους. παίδων οὖν ἀκρίτων ἀποθανουμένων μοιχῷ τὸ ἴσον οὐκ ἐπικείσεται;*

27. *Τί γὰρ κωλύει, φησί, τὸν εἰλημμένον κρίνειν; ἐγώ σοι πρὸς τοῦτο ἀποκρινοῦμαι, πάτερ. πρῶτον μὲν βαρὺ τῷ πάσχοντι τοσοῦτον κακὸν δρῶντι*

3 cf. Greg. Cypr. supra p. 143, 2 sq. 6 cf. t. IV 895, 10 R; t. II 549, 17; III 55, 14

16 *ἀντίληψις Mo*

1 *οὗτος I* | *ἄνευ* ante *τοῦ H* 3 *ἀστοὺς* scripsi *αὐτοὺς* libri sed ex *αὐτοῖς* corr *Cl*[3], edd *τοὺς υἱοὺς* Iacobs Lect | *τοῖς οἰκέταις* — 4 *οἰκέτην* om *HMo* | *τοῖς οἰκέταις Cl* sed e *τοὺς οἰκέτας* corr m[3] 4 *ὦ πάτερ, ἄκριτον* scripsi e *MaClB* *ἄτερ ἄκριτον HMo* *ἄκριτον ὦ πάτερ MLaurI* edd 5 *ἀποκτένεις H* *ἀποκτείνεις Mo* 6 *χρόνῳ βεβαιωθέντα I* | *ὕθλον Mo* sed del et *ἀθλὸν* in marg *οἶθλον Cl* 8 *σοι Ma* sed *σου* suprascr m[3], *ClI* 9 *τῶν* inserui ex *HMoMaClBMI* om *Laur* edd | *πρὸς Mo* 11 *τοσούτῳ Cl* sed *σ* ex *ι* corr m[3] *τοσοῦτο Laur* 15 *ἶσον HMa* 16 *φησι κωλύει Mo* | *κωλύει* om *H* | *κρίνει πρὸς Mo* 17 *καὶ B* | *πρῶτον*] *τῶ H* *τὸ Mo* 18 *δρῶντα HMo* et Iacobs Ach T 660

ἀνέχεσθαι καὶ κατέχειν δεξιὰν ὑπὸ τῆς ἐν ὀφθαλμοῖς ὕβρεως ἐπειγομένην πρὸς φόνον. ἔπειτα πολλάκις ἔργα λόγων ἐν δικαστηρίοις ἡττήθη καὶ ὁ μὲν μοιχὸς ἔδοξε σωφρονεῖν, ὁ δὲ ἠδικημένος συκοφαντεῖν. πολλὰ γάρ ἐστι τὰ τοῖς κρινομένοις βοηθοῦντα πολλάκις, ἐμπειρία πραγμάτων, δόξα τοῦ φεύγοντος, πλῆθος συνηγόρων. ἤδη δέ τινα καὶ πολιὰ καὶ χρόνος ἐρρύσατο, καὶ ὃν ἰδὼν οὐκ ἂν εἴποις τὰ τοιαῦτα ἁμαρτάνειν, οὗτος μοιχεύει καὶ ταύτην ἣν οὐκ ἂν ὑπολάβοις. 28. *πολλὰ γὰρ τῶν ἀδικημάτων ἀκοῦσαι μέν ἐστιν ἀπίθανα, πράττεται δέ. καὶ εἰ μὲν καὶ νῦν γίνεταί τι τοιοῦτον, ἔξεστι ζητεῖν. αἵ γοῦν τραγῳδίαι γέμουσι παραδόξων κακῶν. ἃ οὐ χρὴ νομίζειν ἐπ' ἐκείνων ἑστάναι τῶν χρόνων. τῆς γὰρ αὐτῆς οὔσης φύσεως εἰκός τοι καὶ τὰ αὐτὰ τολμᾶσθαι.* 29. *δικαστηρίου δεῖ τῷ μοιχῷ; τί οὖν, ἂν νεώτερος ὁ γραφόμενος ᾖ; τί δ', ἂν ἐν πατρὸς ὁ μεμοιχευκὼς ἡλικίᾳ; οὐκ οἴει τοὺς μὲν ἐπιτιμήσειν, τοὺς δὲ ἀπιστήσειν, τοὺς δὲ ἀφεῖναι κελεύσειν; τί δ', ἂν οἱ μέλλοντες μαρτυρεῖν τὸν μοιχὸν ποιῶνται πρὸ τοῦ παθόντος κακῶς; οὐκ ἀνάγκη τῇ περὶ τὴν γυναῖκα*

εῖ εῖ
1 *καὶ* om *H* 4 *σωφρονῶν* et *συκοφαντῶν M* 5 *τὰ* om *Mo* 9 *ὑπολάβοις* scripsi ex *HMoMaClB Par. 3017* (Boissonad. Anecd. II 136) *ὑπολάβῃς MLaurI* edd | *μὲν* post *πολλὰ MaClBI* edd delevi 10 *ἁμαρτημάτων Ma* sed *γρ ἀδικημάτων* suprascr m[3], *Cl* 11 *καὶ* (2) om *ClMLaurI* Mor inser *Ma* et *γρ* in marg m[2] | *γίγνεταί MBI* edd 12 *αἱ γοῦν*] *ἃ δ' οὖν HMo* 13 *δ'* post *ἃ* Re delevi | *οὐ* om *MoLaur* | *νῦν* post *χρὴ I* | *τὸν χρόνον Ma* sed in *τῶν χρόνων* corr m[2], *Cl* 14 *τοι* scripsi ex *HMaClBI* *τι MoMLaur* edd | *νῦν* post *καὶ Mo* Re delevi 15 *δικαστηρίου — μοιχῷ*] *ἐν δικαστηρίω τὸν μοιχόν· H* *δικαστήρια τῶν μοιχῶν Mo* *δικαστήριον τὸν μοιχὸν Ma* sed in *δικαστηρίου δὴ τῶ μοιχῶ* corr m[3], *ClLaur* om *I* 16 *γράφων Ma* | *ὁ* om *I* 18 *τοὺς δὲ ἀπιστήσειν* inser *Ma*[2] | *κελεύειν Ma* sed *ελεύ* in ras m[2], *MBI* Mor *καὶ λέγειν Cl* 19 *τὸν μοιχὸν* om *B* | *πρὸς Laur* 20 *πάθους I*

συμφορᾷ καὶ ζημίαν προσεῖναι συκοφαντίας; ἔασον δή με, πρὸς Διός, ὦ πάτερ, θεῖναι τὸν νόμον καὶ παῦσαι λυπῶν, ὡς νῦν | *μέν με ἀνιᾷς, κυρωθέντος δὲ* R IV 577 *οὐκέτι.* 30. *ἀλλὰ μέμφῃ γράφοντα; σὺ τούτων αἴτιός μοι γεγένησαι διὰ τῆς γυναικός. εἰ γὰρ μὴ ταύτην πρός με ἐθαύμασας μηδὲ τὴν ὥραν ἐπῄνεσας μηδὲ γαμεῖν ἠνάγκασας, ἀφείμην ἂν τῶν νυνὶ τούτων φροντίδων καὶ φόβων. νῦν δὲ γάμος καὶ δέος νομοθέτην με πεποίηκεν. ἢ πόθεν οἴει τὰς πολλὰς ταυτασὶ τολμᾶσθαι μοιχείας; οὐκ ἀπὸ τοῦ τοῖς μοιχοῖς ἐκ τῶν κρίσεων διαδύσεις ὑπάρχειν; δεῖ δή ποτε τοῦτο τὸ κακὸν ὡς ἐλάχιστον γενέσθαι, δεῖ τοῦδε τοῦ νόμου βοηθήσοντος μὲν τοῖς γεγαμηκόσιν, ἐπισχήσοντος δὲ τὴν ἀφόρητον ταύτην ὕβριν.*

31. *Κερδανοῦμεν δέ τι καὶ ἕτερον, ὦ ἄνδρες δικασταί, μέγιστον οἱ τὴν πόλιν οἰκοῦντες. ἢν γὰρ ἀκριβεστέρα γένηται περὶ τὰς γυναῖκας ἡ πρόνοια, καὶ τοῖς ἡδέως κακῶς λέγουσι τουτοισὶ κλείσομεν τὰ στόματα. ὡς νῦν γε ἐμπιπλᾶσι τὴν ἀγορὰν τοιούτων λόγων· ὁ δεῖνα τὴν τοῦ δεῖνος. κἂν ἀπιστῇ τις, ὅρκος εὐθέως. ὁ δὲ ἀκούσας ἀντὶ τοῦ τὸν εἰπόντα ἐπισχεῖν*

---

11 cf. t. III 413, 2; 389, 22; II 250, 8 20 Arist. Thesm. 622

---

1 *προσθεῖναι B* sed *θ* inser | *δή* om *Mo* *δέ H* 6 *μὴ δὲ*(1) *MoMaB* | *τὴν* inserui e *M* om reliqui libri edd | *μὴ δὲ H B* 9 *με* om *Ma* 10 *ἐκ τῶν κρίσεων* om *I* 11 *διαλύσεις Ma* sed *ς* in ras m², *ClMBLaurI* Mor | *ὑπάρχειν Ma* sed *ὑ* in ras m² | *δέ HMoMaClB* Re 12 *γενέσθαι — 13 τοῖς* in marg *Ma²* om *Cl* | *γενέσθαι* scripsi ex *HMoMa²M* *γεγενῆσθαι B LaurI* edd | *δὲ* post *δεῖ MBLaurI* edd delevi | *τοῦδε* om *Laur I* | *τοῦ νόμου*] *νόμου τοῦ I* 16 *ἀκριβεστέρα Ma* sed *έρ* in ras m² 18 *κακῶς* om *LaurI* 19 *ὡς* in ras *Ma²* | *γ' H* | *τούτων H* *τούτων τῶν Mo* 20 *ἀποστῇ Cl* sed *ο* in *ι* corr m³

ἑτέρῳ γίνεται διδάσκαλος καὶ προϊὸν εἰς φήμην τὸ πρᾶγμα καθίσταται. 32. εἶθ' οἱ ποιηταὶ μείζω τούτων καταβλάπτουσιν ἡμᾶς θεὸν τὴν φήμην πεποιηκότες καὶ μαρτυροῦντες τοῖς κακῶς ἀγορεύουσιν. οὓς παύσομεν, ὦ πάτερ, διὰ τοῦ νόμου. οὐ γὰρ ἔτι πιστὰ δόξουσι λέγειν ἐφεστηκότων τοῖς μοιχοῖς τῶν ὑβριζομένων μετὰ τοῦ ξίφους. βοηθείτω τοίνυν ὁ νόμος τῇ πόλει πάντως καὶ ἡμεῖς αὐτοῦ τὸ μέρος ἀπολαυσόμεθα.

33. *Ἀλλὰ πολλοί, φησι, τοὺς ἐχθροὺς δι' ἀπάτης ὡς αὐτοὺς εἰσαγαγόντες ἀποκτενοῦσιν ὡς μοιχοὺς ψευσάμενοι. καὶ τίς οὕτως ἀνόητος ἢ κακοδαίμων, ὦ πάτερ, ὥσθ' ἧς λαμβάνει μείζω δοῦναι δίκην ἂν ἐθελῆσαι; ἢ νομίζεις ἴσην εἶναι ζημίαν ἀπο-*
R IV 578 *θανεῖν | καὶ περὶ τὴν γυναῖκα ὑβρίσθαι; οὐκ οἶσθ' ὅτι τῷ μὲν μετὰ τὴν πληγὴν οὐδενὸς αἴσθησις, τὸν δ' ἐν αἰσχύνῃ ζῆν ἀνάγκη; 34. τί φῄς; ἀποθανεῖταί τις ὡς μοιχὸς σωφρονῶν; καὶ πῶς ὁ κτείνας βιώσεται τοιαῦτα πεπονθέναι δοκῶν; ἐμοὶ γάρ, ὦ πάτερ,*

---

3 cf. ad p. 273, 17. Synes. ep. 44, 1. Demetr. Cyd. ep. 2 ed. Boiss. Anecd. nov. p. 260, 19

---

1 *γίγνεται MBI* edd | *προιὼν Cl* sed ω ex ο corr 4 *παύσωμεν HMoMaClM* 6 *ὑβρισμένων Cl* 7 *τοῦ* inserui ex *HMoM* om *MaClBLaurI* edd 8 *ἡμᾶς Mo* | *τοῦ μέρους H* 10 *αὐτοὺς HMoMaClMBI* edd | *εἰσάγοντες Laur* | *ἀποκτενοῦσιν Ma* sed ει supra ε m² *ἀποκτείνουσιν HMo* 11 *ψευσάμενοι Ma* sed *δό* supra *σά* m² 12 *ὦ πάτερ ἢ κακοδαίμων Mo* 13 *ἐθελῆσαι* scripsi e *MaB* *ἐθελήσαι M* edd *ἐθελήση HLaurI* *ἐθελῆ* (σ supra) *Mo* 14 *περὶ* om *I* | *ὑβρίσθαι Ma* sed *θ* inser m³ 15 *οἶδας Ma* sed *γρ οἶσθ'* in marg m³ *οἶδ' Cl* sed in *οἶδας* corr m³ 16 *τὸν Mo* sed in *τοῦ* corr m² *τῷ Ma* | *ἐν* om *MaCl* | *συζῆν Ma* et e *ζῆν* corr *Cl*³ | *φής* libri edd | *ἀποθανεῖται τίς Ma* 18 *τοιαῦτα* scripsi auctore Iacobsio Lect *αὐτὰ* libri (*αὐτὸ Mo*) edd | *πάτερ ἐμοὶ δοκεῖ τοῦτ' εἶναι πάντων ἀφορητότερον I*

τοῦτ' εἶναι δοκεῖ πάντων ἀφορητότατον. σὺ δ' οὐχ οὕτω φρονεῖς. οὐδὲν τοσοῦτον, οὐ δήμευσις τῶν ὄντων, οὐ πήρωσις σώματος, οὐ θάνατοι τέκνων, οὐ φυγὴ καὶ πλάνη κατὰ τὴν ξένην, οὐ δήμιος, οὐ κώνειον, οὐ τὸ ἄταφον ἐρρίφθαι. διὰ τοῦτο μάλιστα τὰς τυραννίδας μισῶ, ὅτι μεγίστην τέρψιν ἡγοῦνται τὰς τοιαύτας ὕβρεις. τοῦτο καὶ πραττόμενον καὶ δοκοῦν ἐσχάτην συμφορὰν ⟨ἡγοῦμαι καὶ ἀποθανεῖν⟩ δεξαίμην ἂν μᾶλλον ἢ μοιχείας δόξαν οὐκ οὔσης κατασκεδάσαι τῆς οἰκίας. 35. θάρρει δὴ περὶ τῶν σωφρονούντων, ὦ πάτερ. τῶν δὲ οὐχ οὕτως ἐχόντων μὴ πάνυ κηδώμεθα μηδὲ πλάττωμεν φόβους, ἵνα μή τινα ἀναγκάσωμεν εἰπεῖν· σὺ δὲ τὸν μὲν οὐ μοιχὸν δι' ἔχθραν ἀποθανεῖσθαι νομίζεις, παῖδα δὲ βέλτιστον ὡς πονηρὸν οὐκ ἀποθανεῖσθαι νομίζεις κακίᾳ πατρός; τί δ', ἂν λελυπηκὼς ὁ πατὴρ ᾖ τὸν παῖδα καὶ δι' αὐτό γε τοῦτο μισῇ τὸν υἱόν, ὅτι οἶδεν ἠδικημένον; δώσομεν αὐ-

3 Plat. leg. XI p. 925 E

1 *δοκεῖ τοῦτ' εἶναι MaCl* | *ἀφορητότερον MaCl* | *δὲ ClMB LaurI* edd 2 *οὕτω* om Re | *σωφρονεῖς Mo* | „*post οὐδὲν τοιοῦτον videtur deesse παρὰ σοὶ κέκριται vel simile quid scil. ἐπὶ τῇ μοιχείᾳ. tu moechum nulla dignum censes eiusmodi poena, quales hae sunt, confiscatio bonorum* —“ Re 5 num *ἐρρῖφθαι*? at cf. ad p. 53, 16 | *ἐγὼ δὲ* ante *διὰ* inserendum coni Re | *διατοῦτο HMoMaB* 7 *τοῦτο καὶ*] *καὶ τοῦτο MaClMBI* Mor | *καὶ* om *Laur* | „*post δοκοῦν deest non nihil, verbi causa ὁμοίως οὐκ ἀνασχετὸν vel tale quid in eo sensu*“ Boissonade Anecd. II 370, *αἴσχιστον καὶ* Iacobs Lect | *ἐσχάτη συμφορὰ MBI* Mor 8 *ἡγοῦμαι καὶ ἀποθανεῖν* inserui om libri edd sed *μεγίστην ἡγοῦμαι συμφοράν. ἀποθανεῖν* coni Re 9 *οὐκ* inser *Ma*[3] 10 *δὲ Mo* | *καὶ* ante *περὶ B* 11 *μὴ πάνυ κη* in lac 8 litt om *I* | *κηδώμεθα* (o supra) *Mo* | *μὴ δὲ MaBLaur* *τῶν δὲ HMo* | *πλάττομεν HMoCl* 12 „*post τινα videtur ὄντα deesse*“ Re 14 *παῖδα* — 15 *νομίζεις* om *HMo* 15 *πατρός* om *Mo* 16 *τὸν παῖδα ᾖ MaCl* 17 *μισῇ* scripsi *μισεῖ* libri edd | *εἶδεν B* | *καὶ* ante *δώσομεν B* | *αὐτοῦ Ma* sed *ου* in *ω* corr m[2]

τῷ τὴν ἐξουσίαν τοῦ φόνου; 36. οὐχ ὁρᾶτε καὶ νῦν R IV 579 τινας πρὸς τοὺς αὐτῶν χαλεπούς; τίνας | δὴ τῆς ἀδείας δοθείσης νομίζομεν ἔσεσθαι; μὴ γὰρ ἱκανὸν οἴεσθε, ὦ ἄνδρες δικασταί, δεσμὸν εἶναι τὴν φύσιν, ἀλλὰ κρατεῖ μὲν ὡς τὰ πολλά, ὅταν δὲ τὰ νοσήματα τῆς ψυχῆς ἐρρωμενέστερα γένηται, διακόπτεται καὶ ὁ πατὴρ ἄλλο τι φαίνεται τοῦ τῆς ψυχῆς ἀναγκάζοντος πάθους. 37. εἰ δὲ σοὶ βούλει πεπηγέναι τὸν νόμον ὃν τέθεικας, εἶκε καὶ τῷδε. ὡς φιλονεικῶν γε κἀκεῖνον κινεῖς. κατέγνωκας γὰρ τῆς γυναικός τινα ἀκρασίαν; σὺ δέ, ὦ πάτερ, κατέγνωκάς τινα τοῦ παιδὸς μοχθηρίαν; ἀλλ' ὅμως τὸ μέλλον ὑφορώμενος νομοθετεῖς. ἀνεπίφθονον δὴ κἀμὲ τὸ μέλλον ἀξιῶσαι μείζονός τε καὶ ἀπονωτέρας φροντίδος, ἐπεὶ νῦν γε ἡ γυνὴ μάλα ἐπίπονον τοῖς φυλάττουσιν ἔχει. τιμᾷ γὰρ αὕτη νῦν μὲν ἐμέ, νῦν δὲ τοῦτον. οὐ γὰρ ὁμοῦ τὰς ἐξόδους, ὦ ἄνδρες δικασταί, ποιούμεθα. ἀλλὰ σοφόν τι τοῦτο πρὸς τὴν γυναῖκα εὕρηκεν ὁ πατήρ. ἀγοράζει μὲν αὐτὸς οἴκοι μένοντος ἐμοῦ, διατρίβει δὲ οἴκοι περιπατοῦντος

1 ἐργασίαν *Ma* sed ἐξουσίαν suprascr m², *Cl* 2 ἑαυτῶν *I* edd αὐτῶν reliqui libri 3 δὲ post μὴ inser *Ma*² 4 οἰέσθω *HMo* 5 κρατεῖν *Ma* | ταπολλά *MaB* 7 ἄλλοτι *Mo* sed in ἀλλ' ὅτι corr m² 9 τέθεικας *Cl* sed ς add m³ | καὶ *Ma* sed ὡς suprascr m² 10 τὴν *H* 11 τινα τοῦ παιδὸς scripsi ex *HMoMaCl* τοῦ παιδός τινα *MBLaurI* edd | τῆς μοχθηρίας *H* μοχθηρίαν *Ma* sed μοχθηρ in ras m² 13 δὴ *Ma* sed η in ras m² δὲ *Mo* | ἀξιῶσαι *Ma* sed σαι in marg add m² 14 φροντίδας (ος suprascr) *Laur* | ἐπεὶ *I* sed ἔασον suprascr 15 ἔχειν *Ma* sed ει suprascr m², *Cl* | τιμᾷ γὰρ αὕτη Re τιμᾶ ταύτη *H* τιμᾶ θ' αὕτη *Mo* τίνα ταύτην *Ma* sed τιμᾶ in marg m², *ClMBLaurI* Mor 18 ἀγοράζει — 19 ἐμοῦ praemissis verbis ἀγοράζει ἀντὶ τοῦ εἰς ἀγορὰν διατρίβει. Λιβάνιος citat Andr. Lopad. lex. Vindob. s. v. p. 14, 8 ed. Nauck | γὰρ post μὲν *LaurI* 19 διατρίβει — 313, 1 ἐμοῦ om *I*

ἐπ' ἀγορᾶς ἐμοῦ, ὥστ' ἢ ἐμοὶ σύνεστι τὸ γύναιον ἢ τούτῳ, κἂν ὁ γεγαμηκὼς ἀπῇ, τὸν κηδεστὴν ἀντὶ τοῦ γεγαμηκότος ἔχει φύλακα. 38. ἀλλὰ καὶ κατ' αὐτὸ τοῦτο μέντοι προσήκει τόνδε κυρωθῆναι τὸν νόμον, ἵνα παύσηταί ποτε τῇ γυναικὶ παρακαθήμενος ὁ πατὴρ καὶ μεριμνῶν καὶ πονῶν καὶ τῶν κοινῶν ἀμελῶν. εὐθὺς γὰρ αὐτὸν ἀποστήσει τῆς γυναικὸς οὗτος ὁ νόμος ἱκανὸς φύλαξ σωφροσύνης καθιστάμενος.

39. Ὡς ἔδει γε, ὦ ἄνδρες δικασταί, ζῆν ἡμῖν ἔτι τὴν μητέρα, καὶ οὐδὲν ἂν τῶν νῦν τούτων ἐπράττετο. τί γὰρ ἂν ἔδει μοι νόμου τῶν ἐκείνης ὀφθαλμῶν εἰς φρουρὰν ἀποχρώντων; νῦν δέ, ἐπειδὴ τέθνηκεν, εἰς τοῦτο ἥκω καὶ νομοθετῶ καὶ λύω τῷ τε πατρὶ καὶ ἐμαυτῷ τὰ παρόντα πράγματα. 40. ἴθι δή, ὦ πάτερ, | ἀπαλλαγεὶς τῶν ἔνδον, δὸς σαυτὸν ὅλον τοῖς R IV 580 κοινοῖς καὶ τὴν γυναῖκα τῷ νόμῳ. συνεχῆ ποιοῦ τὴν πολιτείαν καὶ νόμισον ἄλλος γεγονέναι τήμερον. προσέρχου τῷ δήμῳ, λέγε γνώμας ἐν τῇ βουλῇ, πρέσβευε, στρατήγει, ποίησαί τινα καλὴν ἀποδημίαν. μέλει μέν σοι τῆς ἐμῆς γυναικός, οἶδα καὶ οἵδε πάντες τοῦτο ἴσασι καλῶς ὡς πολὺ τῶν ἄλλων κηδεστῶν ἐν τοῖς

9 cf. p. 298, 15

14 *ἐπίλογος Mo*

1 *ὥστε MaCl* 2 *αὐτῇ H* 3 *καὶ* om *MaCl* | *τοῦτο μέντοι* scripsi ex *HMo* *τοῦτο μέν μοι MaCl* *μέντοι τοῦτο MB LaurI* edd 5 *γυνῇ Cl* 7 *τῆς γυναικὸς* om *HMo* | *ἱκανῶς* Mor 8 *τῆς* ante *σωφροσύνης B* 9 *ἐπὶ H* 10 *ἔτι* post *τὴν* inser *I* | *νυνὶ MaCl* 11 *ἂν* om *M* | *νόμους H* *νόμων Mo* 12 *δ' MB* Mor 13 *κωλύω I* 14 *ὦ* om *HMo* 15 *δοὺς MI* Mor 16 num ⟨*ἐφεὶς*⟩ *τὴν γυναῖκα τῷ νόμῳ συνεχῆ*? | *ποίου HMo* 17 *καὶ* inser *Ma²* | *γέγονε I* 18 *γνώμας* scripsi ex *HMoMaClMB* *γνώμην LaurI* edd 19 *ποίησον H MaCl* | *τὰ κοινὰ HMo* | *μέλει* scripsi ex *HMoMBLaur* cum Iacobsio Lect *μέλλει MaClI* edd 20 *οἵ γε I* 21 *ἴσασιν Ma* | *ἐν τοῖς* om *I*

πρὸς ἐκείνην διήνεγκας, ἀλλ' ἱκανὴν ἐκεῖθεν δόξαν ἐσχηκὼς κτῆσαι τὴν ἀπὸ τῶν μειζόνων, ἄλλως θ' ὅτε καὶ παῖδα παρέσχου τῇ πόλει νόμους δυνάμενον γράφειν. 41. *ἐγώ σοι συλλήψομαι τῶν πολιτευμάτων οὐδὲ μικρὸν χωριζόμενος, συνεξιὼν οἴκοθεν, συνεισιὼν οἴκαδε, μονονοὺ συμπεφυκώς, δουλεύων ταύτην τὴν ἡδίστην δουλείαν, ἂν ἄρα ἀναμάρτητος εἶναί σοι δόξω καὶ μὴ πρῶτος πατέρων κατ' ἐμοῦ χρήσῃ τῷ νόμῳ.* 42. *καὶ δῆτα ἀναστὰς λέγε τούτων ἐναντίον, τί ποιῶν καὶ τί μὴ ποιῶν ἐγὼ διαφεύξομαί σου τὴν δεξιάν; κἂν μὴ πείθωμαι πᾶν ὅσον καλόν, ἀπόκτεινον. οὐ δεῖ μεμνῆσθαί με χωρίων; οὐ μεμνήσομαι. οὐ δεῖ προσάπτεσθαι χρημάτων; οὐ προσάψομαι. οὐ δεῖ προστάττειν οἰκέταις; οὐκ ἐπιτάξω. λήδιον δεῖ φοροῦντα ἀνέχεσθαι; ἀνέξομαι. λιμώττοντα φέρειν; οἴσω. σιγᾶν; οὐ φθέγξομαι. χαμαὶ καθεύδειν; τοῦτο ποιήσω. πάντα σοι χαριοῦμαι ταῦτα. καὶ οὐκ ὄψει με περὶ ταῦτα θρασύν. μοιχοὺς δὲ ἐξέστω μοι μισεῖν καὶ νόμους κατ' αὐτῶν γράφειν.* 43. *φήσει δέ με καὶ τἆλλα ὁ πατὴρ φαιδρότερον γεγονέναι καὶ οὐκ ἀηδῆ συγγενέσθαι. νῦν μὲν*

---

14 Men. com. IV 332, 507 M (III 256, 1028 K)

---

2 *ὅτὲ Laur* 3 *καὶ* om *I* | *παράσχοις Mo* 4 „*fort. οὐδὲ μικρὸν ἐμοὶ χαριζόμενος*" Re 5 *μικρὰ B* | *οἴκοθεν* — 6 *δουλεύων* in marg *Mo*² 6 *καὶ* ante *μονονοὺ Mo*² | *πεφυκὼς MI* Mor 7 *ἣν M* | *σοι* inser *Ma*² om *Cl* 9 *δῆτ' Mo* 11 *πείθομαι H* | *πᾶν ὅσα καλὸν Mo* *πᾶν ὅσον καλῶν Ma* sed *πάνθ' ὅσα καλὰ* suprascr m² *σὸν καλόν LaurI* | *εἰ Mo* 12 *με* inser *Ma*³ | *χωρίαν H* | *οὐ* — 14 *οὐκ ἐπι* in marg *Ma*² om *Cl*
13 *οὐ δεῖ*] *οὐδὲ HMo* 14 *λήδιον* scripsi auctore Re *λήδιον LaurI* *λινίδιον HMoMaClMB* edd 16 *σοι* om *I*
17 *τοι* post *ταῦτά HLaur*, *σοι I* | *οὐκ* inser *Ma*² | *βραδύν* coni Mor num *βαρύν*? 18 *μοι* om *Mo* | *νόμον Ma* sed *ους* supra *ον* m² 19 *φησὶ HMo* | *τἆλλα HMo* 20 *ἀειδῆ H*

γὰρ | ἐπιτιμᾷ πολλάκις· τί σκυθρωπάζεις, ὦ R IV 581 *τέκνον; τί τοῖς πενθοῦσιν ἔοικας; ἐγὼ δὲ τότε μὲν ἔλεγον οὐδέν, νῦν δὲ φράσω· τὸν νόμον τοῦτον, ὦ πάτερ, κατὰ τῶν μοιχῶν θεῖναι μὲν βουλόμενος, ἀεὶ δὲ μέλλων ἐβαρυνόμην καὶ ὥσπερ ὠδίνων ἤλγουν τὴν καρδίαν· εἰ δὲ κυρωθείη τήμερον καὶ συγχωρήσαις καὶ τοῦτο ὑπομείναις, ὄψει μειδιῶντα τὸν κατηφῆ, ὄψει βλέποντα ἐλεύθερον τὸν κατεπτηχότα.* 44. *ἐποίει δέ με λογισμός τις τοιοῦτον, ὡς μὲν ἂν σὺ φαίης, εὐήθης, ἐποίει δ' οὖν. ᾤμην ἐνδεέστερον τὸν παλαιὸν νόμον ὀργίζεσθαι τοῖς μοιχοῖς, ὡς καὶ τοὺς πολλοὺς ἐπ' ἀλλοτρίους παρακαλεῖσθαι γάμους, τοὺς μὲν δοῦναι δυναμένους, τοὺς δὲ πιστευομένους. μετὰ δὴ τοῦτον τὸν νόμον οὐκέτ' ὄψει με τὸν ἔμπροσθεν, ἀλλ' οἷον εἰκὸς τὸν ὑπὲρ γυναικὸς ἱκανῶς τεθαρρηκότα.*

45. *Σὺ μὲν κήρυττε, πάτερ, τοῖς περιεστηκόσι τουτοισὶ νέοις ὅτι, ὦ παῖδες, φυλάττεσθε τὰς τῶν πατέρων ὀργάς, ἐγὼ δὲ ἀντικηρύξω καὶ αὐτὸς καὶ πρεσβυτέρῳ καὶ νέῳ καὶ ξένῳ καὶ πολίτῃ καὶ παιδὶ καὶ πατρί· σωφρόνει καὶ φρίττε τὴν τοῦ γεγαμηκότος δεξιὰν ὡς τῆς αὐτῆς εὐνῆς δεξομένης*

---

2 *δὲ* om *Mo* 4 *ὦ πάτερ* om *Laur* | *κατὰ* om *Mo* | *ὃν οὐκ* post *μοιχῶν HLaurI*, *ὃν MaCl*, *ἕνεκεν Mo* *ἐνθεῖναι HMaClLaurI* 10 *ἐπεὶ* Mor sed *γρ ἐποίει* in marg | punctum post *οὖν* posui ex *H* colon *Mo* om reliqui libri edd 11 *τοὺς* inserui ex *HMoMa Cl* om *MBLaurI* edd 12 *δὲ H* | *δυναμένου Ma* 13 *μὴ* ante *πιστευομένους* et in marg inser *Ma*[2] 14 *οὐκ ἔτι Cl* 15 *ἤδη* post *ἱκανῶς Cl*, pro *ἱκανῶς Ma* | *ἱκανῶς* om *I* 16 *πάτερ* om *Mo* 17 *νέοις* in marg *Mo*[2] 18 *ἀντικηρύξω* (ττ supra ξ) *B* *ἀντικηρύττω HMo* *ἀνακηρύξω I* | *ὁ* ante *καὶ*(2) *HMo* 19 *καὶ νέῳ* om *H MoMaClI* 20 *καὶ* om *M* | *δὲ* post *σωφρόνει I* | *φρίττε* scripsi ex *HMoMaClMBI* et *γρ* in marg Mor *φύλαττε Laur* edd | *πᾶς* post *φρίττε I* 21 *εὐνῆς δεξομένης* scripsi cum Iacobsio Lect *νῦν εἰςδεξομένης* libri edd sed *εὐνῆς συνεισομένης* coni Re

καὶ τὴν ὕβριν καὶ τὴν σφαγήν. ἐγὼ δὲ πρῶτος σιδηροφορῶν βιώσομαι κἂν ὁντιναοῦν λάβω, τῷ σιδήρῳ χρήσομαι καὶ οὐδὲν ἔσται μοι παίδων αἰδεσιμώτερον, ἀλλ' ἀκονησάμενος τὸ ξίφος ἔχων ἀναπαύσομαι καὶ φανέντος ποθὲν μοιχοῦ τοῦ πατρὸς δεήσομαι βοηθεῖν.

---

1 τὴν (2) om *Laur* | δὲ om *HMoB* 2 ὁντινοῦν *MoMaMBLaurI* edd 3 *οὐδὲν — αἰδεσιμώτερον*] *οὐδείς μοι ἔσται αἰδέσιμος I* | *αἰδεσιμώτερος MoMaCl* 5 *ποθὲν* scripsi e *MaClLaur1* ποθὲν/ποτε *B* *ποτε HMoM* edd | *μοιχὸν Ma* sed *ὸν* in *οῦ* corr m[3] *τοῦ μοιχοῦ M* | *προσδεήσομαι HMoI*

XL.

Declamatio inscripta *Νόμος τὸν ἄνδρα τὴν προῖκα τῆς μοιχευθείσης ἀποκερδαίνειν.*[1]) *ἐπείρασέ τις τὴν ἑαυτοῦ γυναῖκα ὡς ἀλλότριος ἐπὶ μοιχείᾳ καὶ εἷλεν. ὁ πατὴρ τὴν αἰσχύνην πτοηθεὶς ἐπέδωκεν ἑτέραν προῖκα. ὁ δὲ καὶ ταύτην ἐφ᾽ οἷς καὶ τὴν προτέραν κατέσχε καὶ ὁ πατὴρ αὖθις ἑτέραν ἐπέδωκεν. ὡς δὲ ταῦτα πολλάκις ἐκεῖνος μὲν ἐποίει, ἡ δ᾽ ἠπατᾶτο, τελευταῖον ὁ πατὴρ καὶ ἀμφοτέρους ἀποκτείνας κρίνεται*, qua pater filia ut moecha generoque utpote qui illam ad adulterium pellexisset, ut dos ad ipsum rediret, interfectis a necis crimine se defendit, facundiae Libanianae admiratoribus multo minus quam antecedentes declamationes accepta fuit. Neque id iniuria. Nam ab arte illa rhetoris Antiocheni prorsus abhorret. Neque quin ab hoc abiudicanda sit dubito. Gratia atque simplicitas Libanii omnino desiderantur. Regnant asperitas atque verbositas. Hinc et

---

1) Hanc legem unquam fuisse negantibus Meiero Schoemanno Lipsio (Der Attische Prozeß p. 519) adstipulari haud queo. Nam ut eum qui divortium cum uxore fecerat dotem eius reddere debuisse lex Ephesia primi a. Chr. saeculi (Dittenberger Syll. inscr. Graec.² 510, 59 (*ὅσοι*) *γήμαντες καὶ διαλυθέντες μὴ ἀποδεδώκασι τὰς φερνὰς οὔσας ἀποδότους κατὰ τὸν νόμον, τούτους ἀποδιδόναι τὰς φερνὰς καὶ τοὺς τόκους*) ostendit, ita aetate saltem posteriore dotem eius quae adulterii convicta erat ad maritum pervenisse non solum ex hac (cf. p. 334, 6; 350, 19) Sopatrique de qua mox verba fient inscriptione sed etiam e loco Achillis Tatii VIII 8, 13 *ἂν τοίνυν τοὐναντίον, τὴν μὲν κατὰ τὸν νόμον ἀφεῖσθαι τῆς προικὸς φημὶ δεῖν ἐμοί, τὸν δὲ ὑποσχεῖν τὴν ὀφειλομένην τοῖς μοιχοῖς τιμωρίαν* patefit. Cf. Ed. Capps, American Journal of philology XXIX (1908) p. 423, qui hanc legem etiam Athenis aetate Menandrea fuisse suspicatus est.

multae illae durae verborum structurae ut p. 337, 14 et 17; 343, 13 sq.; 347, 16; 356, 16 et longae enuntiatorum ambages ut statim ab initio § 1 et 2. Ne aequabilitas quidem elocutionis agnosci potest. Dictioni in universum ieiunae argumento hercle sane refragante multa vocabula omnis generis poeseos intermixta sunt (*ἀγλαΐα* p. 331, 19; *ἕδνα* p. 334, 2; 336, 2; *κῆδος* p. 332, 10 et 17; 334, 4; 351, 13; *μεῖραξ* p. 330, 10; *λῆμα* p. 358, 4; *κήπευμα* p. 359, 1; *σπλάγχνα* p. 356, 19; *μυσάττεσθαι* p. 337, 5; 351, 12; *ἀντιπαλαμᾶσθαι* p. 332, 14; *νεόγαμος* p. 339, 9 atque inter haec etiam Oppianea *ἐπιτεχνάζεσθαι* p. 348, 20; *ἐπαρτύειν* p. 336, 11; 345, 1; *φυτηκομεῖν* p. 358, 14, Nonniana *μεταμείβειν* p. 356, 1, Anacreontea *προδότις* (*εὐνῆς*) p. 352, 16; *ἐφευρετὴς* (*μοιχείας*) p. 345, 14). Ne dorica quidem forma *ἐσεῖται* p. 327, 11, quae metri necessitate etiam in Orac. Sib. III 363 irrepsit, spreta est. Ad haec accedit magna copia vel vocabulorum ab usu Libanii alienorum, ut *βαρυδαιμονία* p. 330, 6; *ζώπυρον* p. 330, 10; *νεόνυμφος* p. 324, 13; *εὐεξαπάτητος* p. 325, 13; *εἰσέπειτα* p. 332, 19; *μετέπειτα* p. 330, 6; 356, 22; *δυσμεναίνειν* p. 340, 19; 344, 9; *ἐπελέγχειν* p. 331, 20; *θεατρίζειν* p. 341, 20; *ἐκπομπεύειν* p. 333, 17; *προπομπεύειν* p. 333, 3; 339, 11; *σκαιωρεῖν* et *σκαιωρία* cf. ad p. 325, 15; *ὑπανάπτειν* p. 333, 2 et 15; *ἐκτραγῳδεῖν* p. 344, 19; *ἐμβριμᾶσθαι* p. 336, 16; *ἐναποστάζειν* p. 325, 1; *ἐπακουᾶν* p. 343, 18; *ἐπιστύφειν* p. 347, 2; *ἐπαπειλεῖσθαι* p. 347, 4; *κατελεεῖν* et *κατελεεῖσθαι* p. 328, 1 et 346, 4; *καταιδεῖν* et *καταιδεῖσθαι* p. 338, 19; 345, 8; 363, 6; *ἐλλάμπειν* p. 330, 12; *ἀποσιωπᾶν* p. 355, 21; *παραπολαύειν* p. 361, 17; *προσαναπληροῦν* p. 363, 2; *προσεπιδαψιλεύεσθαι* p. 363, 1; *προσδιαλέγεσθαι* p. 346, 3; *προσεπιχαράττειν* p. 349, 1; *προϋφιστάναι* p. 351, 11, vel formarum ab eo vitatarum, ut imperfectorum *ὡρώμην* p. 329, 21 et *ἤμελλον* p. 347, 3; 361, 5; activi *ἐκβιάζειν* p. 325, 7; vel significationum vocabulorum ei insolitarum, ut *ἱερεῖα* = *ἱερά* p. 330, 2; *ὁπότε* pro *ὅτε* p. 364, 15; *ἄγεσθαι* = *matrimonio dare* p. 347, 16; *κατακρίνειν τινά τι* p. 350, 18; *ἀξύνετός τινος* (*τοῦ τε δικαίου καὶ τῶν νόμων*) = *ignarus alicuius rei* p. 342, 9; *ὑπὸ* = *διὰ* p. 365, 3 *ὀφθαλμῶν ὑφ' ὧν-εἶδον*; p. 333, 8

χερσὶ — ὑφ' ὧν — ἐθρεψάμην; *ἀπὸ* = *περὶ* p. 358, 13 *ἀπὸ τῶν φαυλοτέρων ποιοῦμαι τοὺς λόγους*. Et *μὲν — ἀλλὰ* p. 340, 21—341, 6 iam Reiskio offensioni fuit. Idem valet de p. 362, 3 *ὡς μὲν ἀναιδείας γέμων, ὡς δ' ἐπὶ κενοῖς φιλόμαχος*. Ut auctor *καὶ* particulam in deliciis habuit (cf. p. 342, 7; 360, 10), ita eam aeque atque Choricius et auctor declamationis XLIII, cui etiam hanc tribuendam conicio, etiam post *μετὰ* creberrime posuit (cf. ad p. 343, 4). Praepositionem *σὺν* vitavit vel, ut accuratius dicam, tantum in compositis admisit promiscue cum *ξύν*, id quod item usui Libanii repugnat, qui ut praepositione *σὺν* multo rarius quam *μετὰ* usus est[1]), ita in compositis eam formae *ξὺν* fere semper praetulit, cum usu vero auctoris declamationis XLIII convenit. Aetatem Libanio multo posteriorem cum nonnulla eorum quae protuli tum proprietates quaedam syntacticae indicant. Indicativus futuri non solum pro coniunctivo aoristi imperative sed etiam condicionaliter et finaliter positus est p. 326, 16 *δέομαι ὑμῶν καὶ πάνυ δέομαι, μή μου πρότερον καταψηφιεῖσθε μηδ' ὡς ἄδικον περὶ τοὺς ἐμοὺς ἀποκτείνητε πρὶν ἂν αὐτοὶ λογίσησθε παρεστάναι τῷ βήματι καὶ τῷ λογισμῷ — καὶ πηλίκα μὲν ἡ φύσις δύναται παρὰ τοῖς πατράσι ξυλλογιεῖσθε*; p. 329, 1 *ἂν οὖν ἐγὼ μὲν ἀναμνησθῶ τοῦ θαυμαστοῦ νυμφίου καὶ τῶν καλῶν τῆς παιδὸς ἐπιτηδευμάτων καὶ τὰ μὲν ἀθρόα προσεπιρρεύσῃ τὰ δάκρυα, τὰ δὲ τῆς φωνῆς ἐκκεκόψεται, τὰ δὲ τῶν λόγων οἰχήσεται, μὴ περιίδητε τῷ πάθει τῆς μνήμης ἐκκρουόμενον τὰ πολλά*; p. 342, 21 *ἢν δέ μοι καὶ ἡ χεὶρ ἀθεμίτως ταῦτα καὶ μὴ προσηκόντως ξυνείσεται*; p. 364, 1 *ὁσάκις τὴν δεξιὰν ὄψομαι, μνημονεύω τοῦ ξίφους* et p. 365, 8 *ἂν ὄψομαι τὴν παστάδα, τὰ τῆς ὑστέρας τύχης λογίζομαι*; p. 325, 17 *ἵνα ἐξέλῃ καὶ ἀντεισάξει*; aeque frequens infinitivus futuri pro praesenti p. 328, 12 *βαδίζειν ἐπὶ τὸ πείσειν*; p. 366, 1 *οὐ βούλομαι δυστυχὴς εἶναι δίκαιος οὐδ' ἀφ' ὧν ἐκεῖνοι δικαίως πεπτώκασιν αὐτὸς ἀδικώτατα κείσεσθαι*;

---

1) Cf. Tych. Mommsen, Beitr. z. d. Lehre von den griech. Praepositionen p. 407.

p. 356, 8 *οὐκ ἦν ἄρα ἐπὶ μακρὸν λήσεσθαι τοὺς ἐπὶ τοιαύτης ὑβρίζοντας πόλεως οὐδὲ πρὸς δημοκρατίας οὕτω σεμνῆς περιόψεσθαι τὸ δεινὸν ὑφέρπον*; p. 342, 14 *ἔξω τὰ μὲν μεταδοῦναι, τὰ δὲ κομιεῖσθαι*; p. 340, 23 *ἃ οὐδὲ θῆρες περὶ τὰ ἔκγονα δράσειν ἀνάσχοιντο, ταῦτα πῶς οὐκ ἂν ἀνθρώπῳ προσάπτειν αἰσχρὸν* quo loco simul optativo potentiali *ἂν* particulam deesse notandum est aeque atque p. 325, 3 *ὁσάκις μνησθῇ*. Uno loco (p. 331, 8 *ἢν δὲ σὺ σωφρονοίης καὶ πᾶν ὅ τι καὶ παρθένοις πρέπον ἐπιτηδεύοις*) optativus post *ἢν* bis exstat. Contra *ἂν* abundat post *μέχρις* p. 354, 18 *γνοίητ' ἂν ὡς μέχρις ἂν ἐπὶ τῆς πόλεως εἶχον ἐκεῖνοι τὰ σώματα, καὶ τὸ αἶσχος ἐπήνθει* et ante participium *ἀποκνήσαντα* p. 357, 16. Uno loco p. 327, 11 *βούλομαι ὅπως*, tribus locis p. 344, 7 *εἶχον ἂν κομισάμενος*; p. 363, 16 *ἱκανῶς ἔχω θρηνήσας ἐμαυτὸν τῆς συμφορᾶς, ἱκανῶς ἔχω τοῦ πάθους ἀποκλαυσάμενος*) *ἔχω* cum participio aoristi periphrastice loco perfecti exstat; duobus locis (p. 327, 9; 349, 12) aeque atque in declamatione XLIII enuntiatio relativa articulo annexa est.

Quocum convenit quod auctor declamationis non solum argumentum e Sopatri[1]) collectione quae *διαίρεσις ζητημάτων* inscribitur t. VIII 229, 17 sq. ed. Walz (*ἄλλο κατέγκλημα. Νόμος τῆς μοιχευθείσης τὴν προῖκα εἶναι τοῦ ἀνδρός. προσέπεμψέ τις τῇ ἑαυτοῦ γυναικὶ ὡς ἀλλότριος. ἐλθοῦσαν ἐγράψατο μοιχείας ὁ ἀνήρ, εἷλε, κατέσχε τὴν προῖκα. ὁ πατὴρ ἑτέραν ἐπιδέδωκε καὶ τῷ αὐτῷ συνῴκισε. πάλιν ὡς ἀλλότριος μετεπέμψατο τὴν ἑαυτοῦ γυναῖκα. ὑπήκουσεν ἐκείνη. καταλαβὼν οὖν ὁ πατὴρ τῆς γυναικὸς ἀμφοτέρους ἀπέκτεινε καὶ κρίνεται φόνου*) fere integrum[2]) partimque verbo tenus sumpsit, sed etiam vestigia illius premens tractavit, id quod e locis a me sub textu adnotatis manifestum fit. Unum tamen locum

---

1) Aetatem huius constare H. Rabe Mus. Rhen. LXII 250 not. 1 negavit, Libanii eum aequalem fuisse statuit A. Mayer Byz. Zeitschr. XX 75 not. 1.

2) In hac re sola ab exemplari recessit quod maritum non feminam de adulterio in iudicium vocantem, sed patrem, ne illud fiat, alteram tertiamque filiae dotem dantem fecit (p. 335, 12 sq.; 336, 7 sq.; 363, 4 sq.).

hic afferre opus videtur quippe qui etiam locutionem paene eandem exhibeat. Sopater dicit p. 231, 20 ἔδει τῷ δήμῳ περὶ αὐτῶν ἀνακοινώσασθαι, apud nostrum est p. 361, 8 ταῦτα καὶ κοινοῦσθαι τῷ δήμῳ ξυμφέρον (cf. p. 360, 19 ὅτι μὴ κοινωσάμενος τῷ δήμῳ τὴν γνώμην ἐπλήρουν).

Non igitur mirum est quod numerus codicum quibus declamatio ad hanc aetatem pervenit parvus est et testimonia quibus singuli loci continentur fere desunt. Et sero declamationem in 'corpus' receptam esse inde conici potest quod plerique codices recentes sunt, cum nullus aetate saeculum decimum quartum excedat.

Sunt autem hi 17:

Incipio a 'corporalibus'.

1. Laurentianus LVII 27 (= L) anno 1392 exaratus fol. 189. Vide t. I p. 59 sq. Gratiose contulit meum in usum Hieronymus Vitelli.

Ex hoc descriptus est

2. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 203. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti.

Ex hoc per editionem Ferrariensem fluxit

3. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide t. I p. 67.

4. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 365. Vide t. I p. 24 sq. Contuli.

Transeo ad 'eclogarios'.

5. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 34^{v}. Correctus est duabus manibus (m^2 et m^3). Vide t. I p. 362 sq. et t. IV p. 417. Contuli.

Ex eodem quo hic exemplari fluxerunt duo codices:

6. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 7^{v} (216^{v}). Correctus est manu secunda. Vide t. IV p. 410 sq. Contuli.

et

7. Vindobonensis philos. et philol. IV 82 (= Vi) saec. XIV fol. 1. Correctus est manu satis antiqua (m^2). Vide t. V p. 169 sq. Contuli.

8. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 194. Correctus est manu secunda. Vide t. I p. 48 sq. Contuli.

9. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 267^{v}. Vide t. I p. 426 sq.

10. Escurialensis T-II-11 (147 in catalogo Milleriano) saec. XVI fol. 120^{v}. Vide t. V p. 366 sq.

11. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 261^{v}. Vide t. I p. 363 sq.

Ex eodem cum *MaClVi* cognato codice quo hic Ambrosianus fluxit

12. Parisinus gr. 3017 saec. XV fol. 228. E parte collatus est a Bastio[1]) et Boissonadio. Vide t. II p. 4 sq.

13. Parisinus gr. 3018 (= Pa) saec. XV fol. 226. Collatus est anno 1880 a Conrado Muellero et a me ipso. Vide t. V p. 173 sq.

Ex eodem quo hic fluxit codice

14. Laurentianus LVII 23 saec. XIV fol. 187. Vide t. V p. 176 sq.

Ex hoc descriptus est

15. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 138^{v}. Detrimentum nonnullorum foliorum cepit. Vide t. V p. 178 sq.

16. Mosquensis bibliothecae synodalis 489 antea 317 (304 in catalogo Mattheiano) saec. XV fol. 237. Vide t. V p. 180 sq.

17. Neapolitanus II E 17 (CLII in catalogo Cyrilliano) saec. XIV fol. 286^{v}. Cum Laurentiano LVII 27 cognatus est. Vide t. I p. 211 sq. et supra p. 4.

Ex his quos in censum vocandos esse duxi codices septem *LPaMaClViBVa* rursus in duas discedunt familias, quarum prior codicibus *LPa*, altera *MaClViBVa* continetur. Necessitudinis autem vinculum quod inter singulos codices intercedit hoc tibi reddet stemma

---

1) Cf. Ep. crit. ad Boiss. p. 282 et Append. ad ep. crit. p. 54. Greg. Corinth. ed. Schaefer p. 375.



Prior familia alteram fide paulo superat.

Unum locum laudavit Andreas Lopadiota auctor lexici Vindobonensis.[1])

Declamatio primum lucem vidit anno 1517 editione Ferrariensi (= Ferr) fol. 107ᵛ—119ᵛ quae e codice Wolfenbuttelano fluxit.

Hanc fere repetivit anno 1606 Fed. Morellus Lib. opp. I p. 765—791 (= Mor) paucis locis exceptis quibus vel ex alio codice vel per coniecturam aliam lectionem reposuit. Codex ille quis fuerit non constat. Coniecturas autem vel defendit vel novas protulit in 'Notatis ad Libanium' editioni praemissis fol. f. VII 3 (= Not).

Haud pauca huius editionis menda sustulit Reiskius (= Re) tum ex ingenio tum ope codicis Wolfenbuttelani, fundamenti editionis Ferrariensis, cuius plane immemor fuit. Reiskia vero quae editionem curavit t. IV p. 582—612 minime omnes mariti emendationes reposuit, quin etiam ne monstra quidem illa ex editione Ferrariensi in Morellianam transgressa qualia προὐβάλλεται p. 338, 5 et ξυνεληλύθησαν p. 349, 20 removit.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius 'Lectionum'[2]) libro, Bastius et Boissonadius qui codice Parisino gr. 3017 usi sunt[3]), Sintenis[4]), Cobetus.

1) Cf. t. I p. 238.
2) Cf. t. I p. 77 et t. V p. 198.
3) Cf. t. I p. 78.
4) Cf. t. I p. 78.

XL.

Νόμος τὸν ἄνδρα τὴν προῖκα τῆς μοιχευθείσης ἀποκερδαίνειν. ἐπείρασέ τις τὴν ἑαυτοῦ γυναῖκα ὡς ἀλλότριος ἐπὶ μοιχείᾳ καὶ εἷλεν. ὁ πατὴρ τὴν αἰσχύνην πτοηθεὶς ἐπέδωκεν ἑτέραν προῖκα. ὁ δὲ καὶ ταύτην ἐφ' οἷς καὶ τὴν προτέραν κατέσχε καὶ ὁ πατὴρ αὖθις ἑτέραν ἐπέδωκεν. ὡς δὲ ταῦτα πολλάκις ἐκεῖνος μὲν ἐποίει, ἡ δ' ἠπατᾶτο, τελευταῖον ὁ πατὴρ καὶ ἀμφοτέρους ἀποκτείνας κρίνεται.

Προθεωρία.

R IV 582 1. *Δυστυχὴς ὁ πατὴρ καὶ τῶν πώποτε πατέρων ὁ δυστυχέστατος. ξίφος γὰρ πρὸ μικροῦ κατὰ νυμφίου καὶ παιδὸς νεονύμφου ἐπέσεισε. καὶ θερμὸν*

L = Codex Laurentianus LVII 27
Pa = Parisinus gr. 3018
Ma = Matritensis 4679, olim N-49
Cl = Berolinensis gr. 195, olim Claromontanus
Vi = Vindobonensis philos. et philol. IV 82
B = Barberinus II 41 nunc Vaticanus Barb. 220
Va = Vaticanus gr. 82

---

1 Sopat. rhet. gr. VIII 229,18 sq. ed. Walz. Ach. T. VIII 8,13

---

1 *Ἄλλη μελέτη. Ὑπόθεσις* ante *Νόμος* Mor Re delevi | *Νόμος* — 9 *κρίνεται* inser *Va*[2] 4 *ἑτέραν ἐπέδωκεν BVa*[2] 6 *κατέσχεν Ma* | *ἐπέδωκεν Ma* sed *ἀ* supra *ἐ* m[3] *ἀπέδωκεν Cl* 7 *μὲν ἐκεῖνος BVa*[2] | *ἡ δ'* scripsi *ἥδ' LPaMaClVi* edd *ἡ δὲ BVa*[2] 8 *καὶ* inserui e *MaClVi* om *LPaBVa* edd 9 *Ἡ στάσις ἀντέγκλημα* post *κρίνεται. LPaMa* Mor Re delevi cf. ad p. 326,6 10 *ἡ* ante *προθεωρία MaClVi* Ferr | *προθεωρία* in marg rubr *L*

ἔτι τὸ ξίφος καὶ αἱ χεῖρες τοῦ λύθρου ἐναποστάζουσιν. ὅθεν δεῖ τῷ λόγῳ καὶ πάθους, ὡς ἔνι, μάλιστα. καὶ ὁσάκις μνησθῇ τῆς παιδός, καὶ ἐπιστενάξει τῷ λόγῳ καὶ ἀποκλαύσεται τῆς τύχης ἑαυτὸν καί τινα δαιμόνων τελχῖνα βαρὺν καταιτιάσεται, ὅς καὶ τῆς θυγατρὸς τὰς φρένας εἰς τοῦτο κακοῦ μετέστρεψε καὶ τὴν αὐτοῦ χεῖρα κατὰ τῆς παιδὸς ἐξεβίασε. 2. τὸ μὲν οὖν δυστυχὴς εἶναι πατὴρ | οὐκ ἀπαρνήσεται, τὸ δὲ κακός. R IV 583 τοῦτο δ', ὡς οἷόν τε, μὴ εἶναι διαγωνιεῖται καὶ προσαποδεῖξαι σπεύσει τὰ τῆς αὐτοχειρίας ἀβούλητα, ὅθεν καὶ τὸ ὑφορμοῦν θεραπεύσει καὶ τὰ τῆς ἀνάγκης ἐπιβεβαιώσει ὀλίγα μὲν τῆς παιδὸς ἐφαπτόμενος καὶ τὰ πολλὰ εἰς τὸ τῆς γυναικὸς ἀνάγων εὐεξαπάτητον, ἵνα μὴ πάντη ἀνεύθυνον δοκοίη διαχρήσασθαι, τὸ δὲ πᾶν τῆς σκαιωρίας τῷ νυμφίῳ προσάψει καὶ τοῦ ὅλου δράματος ἐκεῖνον εἶναι ποιητὴν ἰσχυρίσεται, ἐπάξει μέντοι καὶ ὅπως τὰ πρῶτα κἀκείνου ἐκήδετο, ἵνα πανταχόθεν τὸ θηριώδης εἶναι δοκεῖν ἐξέλῃ καὶ τὸ βεβιάσθαι ἀντεισάξει. 3. οὕτω τοι καὶ οἱ παῖδες ἂν εἶεν οἱ καὶ

5 cf. p. 330, 7; 364, 20; t. IV 317, 7   11 Plat. leg. V p. 733 D   13 Plat. rep. III p. 409 A   14 Her. III 80, 2. Thuc. III 43, 3

3 ἐπιστενάξει scripsi e *PaBVa* ut coni Re   ἐπιστενάζει *L MaCl* sed in hoc ζ in ξ corr m², *Vi* edd   6 ἐς *MaClVi* | κακὸν *Cl* sed ὸν in οῦ corr m² | παρέτρεψε *Ma* sed γρ μετέστρεψε in marg m², *ClVi* | αὐτοῦ libri edd   7 ἐξεβιάσατο coni Re cf. p. 333, 10; 352, 22   num ἐξεβίβασε?   10 ἀβουλήματα *Vi*   11 ὑφορμοῦν reposui e *PaMaClViBVa* coll t. IV 639, 8 sq. R et Thom. M. p. 265, 6 R   ἐφορμοῦν *L* edd   12 ὀλίγον *BVa*   13 τῶν γυναικῶν *Ma* sed in τῆς γυναικὸς corr m², *Vi* | εὐεξαπάτητον *Cl* sed α(1) in ras m²   15 σκαιωρίας reposui e libris cum Ferr   σκευωρίας Mor Re et Boissonade Pachym p. 210 cf. p. 336, 17; 334, 20; 336, 1; 345, 10; 337, 1; 349, 21; 363, 13; t. IV 805, 17 R   σκευωρεῖν p. 339, 1;   σκευωρεῖσθαι 362, 11; t. IV 802, 35 R   17 ταπρῶτα *MaVi*   18 βεβιᾶσθαι edd   19 ἀντεισάξει scripsi e *BVa*   ἀντεισάξῃ *LPaMaClVi* edd cf. p. 319, 15 sq.

τὸν πατέρα ἀδικεῖν ἀρξάμενοι μετὰ καὶ τοῦ παντὸς γένους, μετὰ τῆς ὅλης πόλεως καὶ αὐτοὶ ἐπὶ σφᾶς αὐτοὺς μονονουχὶ τὸ ξίφος ἄραντες καὶ ὁ πατὴρ ὁ τὴν ὕβριν τοῦ γένους ἐκκόψας καὶ τὸ τῆς πόλεως εὔφημον ἐν πλείονι τοῦ πατὴρ εἶναι θέμενος.

Ἡ μελέτη.

1. *Εἰ μὴ πατέρας ὑμᾶς ὄντας ᾔδειν, ὦ ἄνδρες, τάχα τι καὶ λέγειν δοκεῖν ᾤμην ἂν τὸν κατήγορον, καὶ τὰ πατέρων ἐν οὐ πατράσι διαβάλλειν ἐπιχειρῶν ἦν ἂν οὗτος, οἶμαι, πολὺ πιθανώτερος· ἐπεὶ δὲ πατέρες μὲν ὑμεῖς καὶ τὴν περὶ τοὺς παῖδας φιλοστοργίαν οὐκ ἀγνοεῖτε, καὶ τοῦτο μόνον ὁ κατήγορος ἀφελέσθαι ⟨με⟩*
R IV 584 | *μετὰ καὶ τῆς Τύχης οὐκ ἴσχυσε, πατὴρ δὲ καὶ αὐτὸς δυστυχὴς μὲν ἄλλως καὶ πατέρων ἁπάντων ἐλεεινότατος, κακὸς δὲ περὶ τὴν φύσιν ἑκὼν οὔτ' αὐτὸς γεγένημαι οὔθ' οὗτος ἂν εἰπεῖν ἔχοι, δέομαι ὑμῶν καὶ πάνυ δέομαι, μή μου πρότερον καταψηφιεῖσθε μηδ' ὡς ἄδικον περὶ τοὺς ἐμοὺς ἀποκτείνητε, πρὶν ἂν αὐ-*

---

9 Philostr. im. II 31

---

6 *ἡ στάσις ἀντέγκλημα MaClVi Par 3017* *ἡ μελέτη ἐξ ὑποδιαιρέσεως Vi*

---

1 *καὶ* inserui e *BVa* om *LPaMaClVi* edd cf. p. 319, 7 sq. 3 *ἅπαντες Vi* 5 *τιθέμενος BVa Par 3017* (Boissonade Anecd. V 351) 6 *Ἡ μελέτη* scripsi e *LPaBVa* sed in hoc in marg inser m², cum Ferr *μελετῶμεν τὸν πατέρα MaClVi Par 3017* *Κρινομένου φόνου ἀπολογία* Mor Re 12 *με* inserui coll p. 328, 18, ut ante *μόνον* e *Par 3017* inserendum coni Boissonadius Pachym p. 165 not. 2 om libri edd 13 *καὶ*(1) inserui e *MaClVi Par 3017* om *LPaBVa* edd 14 *ἄλλος B* 16 *ἔχῃ BVa* 17 num *καταψηφίσησθε*? at cf. p. 319, 15 sq. | *μὴ δ'* libri Ferr 18 *ἂν* om *BVa*

τοὶ λογίσησθε παρεστάναι τῷ βήματι καὶ τῷ λογισμῷ, μὴ γὰρ δή ποτε τοῖς ἔργοις εἰς τοῦτο τύχης ἐλθεῖν δόξαιτε, καὶ πηλίκα μὲν ἡ φύσις δύναται παρὰ τοῖς πατράσι ξυλλογιεῖσθε, τίνα δὲ καὶ παῖδες τολμήσαιεν ὡς εἰς τοσοῦτον ἐγεῖραι τοὺς τεκόντας ἔχθος ὡς καὶ ξίφει τὴν δεξιὰν ὁπλίσαι καθ' ὧν ἔτεκον καὶ μεθ' οὓς οὐκέτι τὸ καλεῖσθαι πατέρες ἕξουσιν. 2. εἰ μὲν οὖν ὡς ἁπλῶς ἀτυχῶν ἐγὼ κρίνομαι παρ' ὑμῖν καί τις εὐθύνας οἶδε παρά του τῶν νόμων τοῖς πρὸς οὓς τὰ τῆς Τύχης οὐκ εὐμενῆ, καὶ τοῦτο τῷ κατηγόρῳ τὸ σπούδασμα κτεῖναι τὸν μηδ' ὅπως ἐσεῖται βουλόμενον, ἡκέτω μὲν μετὰ ξίφους ὁ δήμιος, ὁ δὲ βέλτιστος εὐθυνέτω, ὑμεῖς δ' ἐπὶ τούτοις ποιεῖσθε τὰς ψήφους, μὴ μέλλετε, ὡς χαριεῖσθε μέν, εἰ οὕτω πατέρα δυστυχῆ μετὰ καὶ τῶν προσόντων συνεκκόψετε κακῶν καὶ τὸ ζῆν ἀφαιρήσεσθε τὸν εἰς τοσοῦτον συμφορᾶς ἀφικόμενον ὡς ταῖς αὐτὸν αὑτοῦ χερσὶν ἀφελέσθαι τὸ πατὴρ ὄνομα τοῦτο δὴ τὸ γλυκὺ μὲν τοῖς ἄλλοις, οὐ γὰρ δὴ τοιοῦτον καὶ ἡμῖν ὁ δαίμων παρῆκεν· εἰ δ' ἕτερον μὲν ἀτυχεῖν καὶ οἰκτείρεσθαι, ἕτερον δὲ κακουργεῖν

4 cf. t. VI 460, 17

1 „*num leg.* νομίσητε παρεστάναι τῷ βήματι, τῷ γε λογισμῷ?" Re | καὶ inserui e *MaClViBVa* om *LPa* edd 3 δόξετε *B* | καὶ inser *Ma*[2] om *ClViBVa* | πηλίκη *Vi* 4 ξυλλογιεῖσθαι *Vi* συλλογιεῖσθε *Ma* num ξυλλογίσησθε? at vide p. 319, 15 sq.; | τί *BVa* 5 ἐς *MaClVi* 9 του τῶν Mor sed γρ τούτων in marg τοῦ τῶν Ferr του delendum censet Iacobsius Lect 130 11 τὸν *Pa* sed ον del | μὴ δ' *Pa* sed μη del, *MaClViVa* Ferr Mor | ἔσεται coni Mor | βουλευόμενον coni Mor at cf. p. 320, 13 12 ὅ (2) *Cl* | δ' ὁ *MaCl* | βέλτιστος *Ma* sed ιστο in ras m[3] 13 ποιεῖσθαι *MaClViB* sed in hoc αι in ras, *Va* sed αι in ε corr m[2] 17 ἐν *Ma* sed ὡς antep m[2], *ClViBVa* | αὐτὸν αὑτοῦ Re αὐτὸν αὐτοῦ (αὐτοῦ *Vi*) libri edd αὐτὸς αὑτοῦ Bast ep. crit. 212 18 δὲ (1) *Cl* sed ε in η corr m[3], *Vi* 19 ἕτερον μὲν ἀτυχεῖν scripsi e *MaViBVa* ἕτερον μὲν ἀτυχεῖ *Cl* ἕτερος μὲν ἀτυχεῖ *LPa* edd 20 οἰκτείρεσθαι

καὶ κολάζεσθαι, κατελεήσατε τῆς τύχης τὸν μηδὲν μὲν ἠδικηκότα, μείζω δὲ τῶν ἁπάντων ἠτυχηκότα καὶ παῖδας μὲν αὐτὸν καὶ τεκόντα καὶ θρεψάμενον, οὐκέτι δὲ R IV 585 *καὶ τῶν ἐλπίδων | ἀπονάμενον, ἃς ἐπὶ τούτοις, ὦ θεοί, καλὰς καὶ γενναίας ὑπέτρεφον, μεθ' ὧν πρῴην ἐβίουν καὶ νῦν οἰχομένων ξυνοίχεσθαι κἀμοὶ βέλτιον ἂν εἴη.* 3. *ἓν μὲν οὖν τοῦτο καὶ πρῶτον τῆς ὑμῶν φιλανθρωπίας δέομαι, δεύτερον δὲ μηδὲν εἰς δίκην καὶ τοῦ προτέρου τούτου λειπόμενον, ὅτι πατὴρ μὲν ὁ κρινόμενος ἐγὼ καὶ πρὸς γένους οἱ πεπτωκότες καὶ συγγενῆ τὰ κακὰ καὶ δεῖ με διὰ τούτων βαδίζειν ἐπὶ τὸ πείσειν ὡς οἱ μὲν ἠδίκουν, ἐγὼ δὲ τὴν ὕβριν ἀπεκρουόμην.* 4. *τούτου μὲν οὖν ὁ χρηστὸς οὗτος αἴτιος τοιαύτην μοι προθέμενος αἵρεσιν δυοῖν τούτοιν ἑλέσθαι θάτερον, ἢ μηδὲν εἰπεῖν ἀνεχόμενον μετὰ κακούργων κεῖσθαι ἢ μὴ κακουργεῖν ἐλέγχειν πειρώμενον αὑτὸν ἀνακαλύπτειν ὡς ἐπὶ θεάτρου τὰς ἐμαυτοῦ συμφοράς.* 5. *ἔοικε δ' ἡ Τύχη μετὰ τοῦ παρόντος καὶ τοῦτό με τῶν πατέρων ἀφαιρεῖσθαι σπεύδειν τὸ μὴ τὰς τῶν*

---

scripsi *οἰκτείρεται* (*οἰκτείρετε Vi*) libri edd | *ἕτερον δὲ κακουργεῖν* scripsi e *MaClViBVa* *ἕτερος δὲ κακουργεῖ LPa* edd

1 *κολάζεσθαι* scripsi *κολάζεται* (*κολάζετε Vi*) libri edd 4 *ἀπονάμενον* scripsi e *MaClViVa* *ἀπωνάμενον LPaB* edd | *οὓς Ma* sed *υς* in ras m[3] | *ἐπὶ* in ras *Ma*[3] 5 *πρώην* libri edd 6 *συνοίχεσθαι Ma* 7 *ὑμῶν Cl* sed *ὑ* in ras m[3] 9 *καὶ* inserui e *MaClViBVa* om *LPa* edd | *προτέρου* scripsi e *MaClVi* *πρώτου BVa* *πρότερον LPa* edd | *δεόμενον MaCl*, sed *γρ λειπόμενον* in marg *Ma*[3]*Cl*[1],*Vi* 12 *πείθειν* coni Re | *ἐπεὶ* ante *ὡς* edd delevi ut coni Re et Sintenis 13 *οὖν* om *BVa* 14 *τούτοιν*] *τοίνυν* Ferr *τοίνυν τούτοιν* Mor 15 *μηδὲν* in ras *Pa*[2] 16 *αὑτὸν* reposui e *LMaClViBVa* cum Iacobsio Lect coll p. 344, 22 *αὐτὸν Pa* edd 17 *θεάτρου* scripsi auctore Re coll p. 341, 20 *θάτερον* libri edd 18 *με* om *BVa*

19 „*μὴ aut delendum aut cum δὴ mutandum*" Re cui oblocutus est Iacobsius Lect

παίδων ὕβρεις περιστέλλειν, ὡς οἷόν τε. ἂν οὖν ἐγὼ μὲν ἀναμνησθῶ τοῦ θαυμαστοῦ νυμφίου καὶ τῶν καλῶν τῆς παιδὸς ἐπιτηδευμάτων καὶ τὰ μὲν ἀθρόα προσεπιρρεύσῃ τὰ δάκρυα, τὰ δὲ τῆς φωνῆς ἐκκεκόψεται, τὰ δὲ τῶν λόγων οἰχήσεται, μὴ περιίδητε τῷ πάθει τῆς μνήμης ἐκκρουόμενον τὰ πολλά, ἀλλ' αὐτοὶ προσαναπληροῦν πειρᾶσθε τὰ τὸν ἐμὸν ἐκπεφευγότα λογισμὸν συγκεχυμένον οὕτω πολλοῖς τοῖς κακοῖς καὶ μηδ' ὅ τι καὶ χρὴ λέγειν ἀκριβῶς ἔχοντα ξυνορᾶν. τοῦτο γὰρ ἐμοὶ μὲν ἔσται τοῦ μὴ κακουργεῖν δικαία τις ἐπικουρία, ὑμῖν | δ' οὐκ ἀγεννὴς βεβαίωσις R IV 586 *ὡς τὰ πάντα ψηφίζεσθε εὔορκα.*

6. *Ἠγαγόμην, ὦ ἄνδρες, γυναῖκα κατὰ τοὺς τῆς πόλεως νόμους καὶ παίδων ἀκοῦσαι πατὴρ ἐπηυξάμην ὁ δυστυχὴς ὡς μὲν τοῖς τεκοῦσιν ἡμῖν πάνθ' ὁπόσα καὶ χρηστοὶ παῖδες γενησομένων, ὡς δὲ τῇ τε πόλει καὶ τῷ δήμῳ χρησιμευσόντων ἐν στρατηγίαις, ἐν χορηγίαις, ἐν δημαγωγίαις, ἐν εἰσφοραῖς, ἐπ' εἰρήνης ἔνδον, ἐν πολέμοις ἔξωθεν.* 7. *οἱ δ' ἄρα θεοὶ τὸ μέν τι καὶ ἔδοσαν, τὸ δ' ἐπέσχον. παῖδα μὲν γὰρ ἐχαρίσαντο καὶ πατὴρ ἐντεῦθεν ὠρώμην ἐγὼ καὶ τοῦτο προσάπαξ ὡς*

---

6 cf. ad t. III 89, 1   13 sq. Sopat. l. l. p. 229, 26 sq.

---

4 *τὰ δάκρυα* om Mor | *ἐκκεκόψεται* scripsi auctore Re *ἐκκόψεται* libri sed *αι* supra *ε* *B*, edd cf. p. 319, 15 sq.   5 *οἰχήσηται Va*   8 colon post *λογισμόν* edd delevi   9 *μὴ δ' LPaMaCl ViVa* | *ὅτι Vi* | *καὶ* om *BVa*   11 *τίς MaClVi* | *ἀγενὴς Vi*   12 *ψηφίζεσθαι Cl* sed *αι* in ras m5, *Vi* Ferr Mor   13 *Ἠγαγόμην — γυναῖκα* praemissis verbis *ἠγάγετο ὁ ἀνὴρ γυναῖκα. Λιβάνιος* citat Andr. Lopadiota lex. Vindob. s. v. *ἠγ.* p. 99, 3 ed. Nauck   16 *καὶ χρηστοὶ* in lac 7 fere litt om *B* | *παιδες* (ων supra) *Ma* *παίδων ClViBVa*   17 *χρησιμευόντων Vi*   19 *τοι Vi BVa*   20 *τόδ' LPaMaCl* | *γὰρ* om *Vi*

ἄν, οἶμαι, τῶν θεῶν καὶ ταῦτα βίᾳ πειθομένων καὶ τοῖς ἐμοῖς ἱερείοις οὐ πάνυ τι τὸν νοῦν προσεχόντων· τὸ δέ μοι καὶ μέχρι παντὸς ταυτηνὶ φυλάξαι τὴν προσηγορίαν, τοῦτο δ', ὡς ἔοικεν, οὔτ' ἐκείνοις ἐδέδοκτο οὔτ' αὐτῷ μοι τοῦ λοιποῦ περίεστιν. 8. ἀλλὰ ταῦτα μὲν τῆς ὑστέρας βαρυδαιμονίας καὶ τοῦ μετέπειτα πονηροῦ τελχῖνος, τῷ δ' οὖν τότε μεθ' ἡδονῆς ἐδεχόμην τὸ πρᾶγμα. θεῶν δῶρον ἡγούμην τὴν παῖδα καὶ τοῦ παντὸς γένους ἐκεῖθεν ὥσπερ τι δεδόσθαι μοι ζώπυρον. ἐπεὶ δὲ καὶ μεῖραξ ἐγεγόνει καὶ τῆς φρυνούσης ἡλικίας ἥπτετο καὶ τὴν μορφὴν μὲν οὐκ ἄσημος ἦν, ἀλλά τι καὶ κάλλους τῷ προσώπῳ ἐνέλαμπε καὶ τὸν νοῦν, ὥς γε ἐδόκει τέως, οὐ πάνυ τῆς ἔξωθεν ὥρας ἐλείπετο, ἐγὼ μὲν ἐνουθέτουν, ἡ δὲ μήτηρ ἐπαίδευεν ἐπὶ τῇ ταλασίᾳ διαπονουμένην πάνθ' ὅσα γυναικῶν ἔργα. 9. ἐγὼ δὲ ὁ τότε μὲν πατήρ, οὐ γὰρ ἔτι
R IV 587 καὶ νῦν παραμένει μοι | τοὔνομα τοῦτο, ὡς εἴθε μηδὲ τὴν ἀρχὴν μήτ' ἐκείνη μήτηρ μήτ' αὐτὸς ἐγὼ πατὴρ ἠκούσαμεν, τὸ γὰρ νῦν ἐπὶ τοιούτοις θρηνεῖν πάντως ἂν τὸ μηδὲ τεκεῖν ὅλως παρείλετο, τότε δ' οὖν ὅμως τί μὲν ἐπὶ σωφροσύνῃ τῆς παιδὸς οὐκ

3 cf. t. III 449, 3 6 Antiph. tetr. I 2 § 2 p. 116, 29. Lys. de vuln. § 9 p. 101, 23 7 cf. p. 325, 5 8 Sopat. l. l. p. 229, 27 10 Plat. leg. III p. 677 B

2 ἱεροῖς Cobet Misc 166 | τι scripsi e *Vi* ut coni Re et Boissonadius Anecd. V 157 τοι reliqui libri edd 5 τουλοιποῦ *LPaMaVa* 7 Τελχῖνος Mor Re | „τὸ *praeferam*" Re | αὖ *MaB* 10 μείραξ *MaClViBVa* edd 11 μὲν om *Ma* Wolf Ferr del Re 12 ἀντήλαμπε *B* ἀντέλαμπε *Va* 15 ὑπὸ *MaClVi Par 3017* (Boissonade Pachym. p. 170 not. 4) | ὁπόσα *MaBVa* 18 μὴ δὲ *LPaMaClViVa* sed in hoc ` supra η eras, Ferr | τὴν ἀρχὴν *L* sed ` supra η(1) del τηναρχὴν *PaB* | αὐτὸς om *BVa* 20 μὴ δὲ *LPaMaClViVa* Ferr 21 οὐκ post μὲν *B*

ἐτεχνώμην; τί δὲ οὐ παρῄνουν; κάλλους μὲν ἤδη, λέγων, ἱκανῶς ἔχεις, ὦ παῖ, τοῖς θεοῖς οὕτω καὶ τῇ τύχῃ δοκοῦν, καὶ τά γε δῶρα τῆς φύσεως οὐ μεμπτά, δεῖ δέ σε καὶ τοῖς ἔξωθεν τὰ παρὰ σαυτῆς ἐποικοδομεῖν, ὥστε καὶ τὴν ψυχὴν μηδὲν ἧττον ἐπανθεῖν ἢ τὰ περὶ τὸ σῶμα. τούτου μὲν γὰρ τὴν φύσιν ἅπας θαυμάσει κἀκείνης εἶναι δῶρον τὰ τῆς ὥρας νομίσει, ἢν δὲ σὺ σωφρονοίης καὶ πᾶν ὅ τι καὶ παρθένοις πρέπον ἐπιτηδεύοις, τοῦτο δὲ οὐκ ἔσται τῶν ἁπάντων οὐδεὶς ὃς οὐχὶ σὸν εἶναι τὸ καλὸν φαίη. 10. ὡς εἴ γε τὸν μὲν τοῦ προσώπου λειμῶνα λαμπρὸν ὑποφανεῖς, τὰ δὲ τῆς ψυχῆς, ὃ μὴ θεοὶ δοῖεν, τοῖς χείροσι τῶν ἔργων καταρρυπανεῖς καὶ τὸ μὲν τῆς σωφροσύνης ἀπέσται καλόν, τὸ δὲ τῆς αἰδοῦς οὐ προσέσται σεμνόν, ἐς οὐδὲν ἄν σοι καὶ τὰ τῆς ὥρας περισταίη. αἰσχυνεῖς μὲν γὰρ τὸ γένος, αἰσχυνεῖς δὲ σαυτὴν μετὰ καὶ τῆς μορφῆς, τὴν δὲ τοῦ σώματος ἀγλαΐαν ἐπελέγξει σοι τὸ τῆς ψυχῆς ἄκοσμον. 11. ἐπὶ τούτοις καθ' ἑκάστην πολλὰ μὲν ἐπέρρει μοι τὰ παρα-

---

2 *πᾶν Cl* 4 *δὴ MaClVi* | *σε* om *B* | *παρὰ σαυτῆς* scripsi e *B* ut coni Re *περὶ σαυτῆς PaClViVa* sed in hoc *ὶ* in *ὰ* corr *περὶ σαυτὴν LMa* edd 6 *τὰ περὶ* inserui e *BVa* sed in hoc *τὰ* inser m^2 *καὶ περὶ MaClVi* om *LPa* edd 8 *δῶρον* scripsi e *MaClVi* *δῶρα LPaBVa* edd | *νομίσει Cl* sed *νομί* in ras m^2 *θαυμάσει* in *νομίσει* corr *Va* | *εἰ* Iacobs Lect *ἣν* Mor 10 *ἐπιτηδεύῃς Vi* 12 *μὲν* inser Pa^2 *μὴ Vi* 13 *λαμπρὸν* scripsi e *Ma* sed *γρ καλὸν* suprascr m^2, *ClVi* *καλὸν LPaBVa* edd | *ὑποφανεῖς* scripsi *ὑποφαίνεις* (*ἀποφαίνεις Ma*) libri edd | *μὴ δὲ MaClViVa* 14 *καταρρυπανεῖς* scripsi *καταρρυπαίνεις* libri edd 16 *εἰς Vi* 17 *σοι Pa* sed *οι* in ras m^2 20 „*malim ἀπελέγξει*“ Re „*quod reperi in cod. Par. 3017*“ Boissonade Mich. Psell. de op. daem. p. 213 21 *καθεκάστην LPaClViVa*

δείγματα, πολλαὶ δ' εἰσήγοντο τοῦ προτέρου γένους ἐφ' ἑκατέρου τρόπου τὴν δόκησιν ἔχουσαι. καὶ τῶν μὲν τοὺς ἐπαίνους εἰς μέσον προὐτίθουν, ὁπόσας ἢ λόγοις ἄνδρες ἐθαύμασαν ἢ ποιηταὶ τοῖς ἔπεσιν ἀπεσέμνυναν, ταῖς δὲ διελοιδορούμην, ὁπόσαι μὴ πρὸς καλόν τι τῆς ὥρας ἀπώναντο. 12. *ὡς οὖν ἐγὼ μὲν ἔλεγον, ἡ δ' οὐκ ἀηδῶς τοὺς λόγους ἐδέχετο, ὁ δὲ χρόνος θᾶττον ἐπιτρέχων τὸ τῆς ἡλικίας παρεῖχεν ἐπίγαμον, ἐνταῦθα ἐγὼ μὲν ἐσκοπούμην ὅπως καλῶς* R IV 588 | *ἕξει μοι τὰ τοῦ κήδους, καὶ τῶν μὲν τὸ γένος ἐξηρευνώμην, τῶν δὲ τοὺς τρόπους διεσκοπούμην, τῶν δ' ἄλλως ἀπεπειρώμην. ἀλλ' ὁ δαίμων ἐκεῖνος ὅς εἰς τοῦτό με συμφορᾶς παρήγαγεν ἕτερον, ὡς ἔοικε, τρόπον ἡμῖν ἀντεπαλαμᾶτο. ὃς τοὺς μὲν ἄλλους παραδραμεῖν ἔπεισε, τῷ δὲ πάντων κακίστῳ ξυνάψαι μοι τὸ θυγάτριον κατηνάγκασεν.* 13. *ἤγετο μὲν οὖν τὰ τοῦ κήδους καὶ παρῆσαν τοὺς τῆς θυγατρός μοι γάμους συνεορτάσοντες ἑταῖροι, ξένοι, πάντες οἱ τοῦ γένους, οἱ τῆς πόλεως, τῶν εἰσέπειτα συμφορῶν εἶπεν ἄν τις φιλότιμον θέατρον· ἐγὼ δὲ ὁ δείλαιος, οὐ γὰρ ἐπὶ*

---

8 sq. Sopat. l. l. p. 229, 28 19 Soph. Ai. 35

---

1 *πρότερον BVa* 2 *προσδόκησιν Ma* 4 *ἐπεσέμνυναν MaViB* 5 *ταῖς* scripsi e *MaClViBVa Par 3017* cum Boissonadio Anecd. V 417 *τὰς LPa* edd | *διελοιδορούμην* scripsi e *MaClVi Par 3017* cum Boissonadio *διελοιδόρουν LPaBVa* edd 7 *ἡ δ'* scripsi *ἦδ'* libri edd 8 *ἐπίγαμον* scripsi e *Ma ViBVa Par 3017* (Boissonadius Psell. 192) ut coni Re *ἐπὶ γάμον LPaCl* edd 10 *κήδους Ma* sed *γρ κέρδους* in marg 11 *ἐξηρευνώμην Va* sed *η*(1) ex *ε* corr m² | *τοὺς* om *BVa* 13 *ἔοικεν L* 15 *ἔπεισεν MaVa* | *ξυνάψαι μοι* scripsi e *Ma* sed *ξ* supra *σ*, *ClBVa* *ξυνάψαιμι LPaVi* edd *συνάψαι με Par 3017* (Boissonade Psell 192) *ξυνάψασθαι* coni Mor *ξυνάψαι με* Re 18 *συνεορτάσαντες* (ον supra αν) *L* 19 *εἰς ἔπειτα Vi*

τούτοις ᾤμην ἀποτελευτῆσαί μοι τὰ τῆς Τύχης, δᾷδας γαμηλίους ὑπανῆπτον καὶ τῆς θαυμασίας ἐκείνης παιδὸς προεπόμπευσα καὶ τὰ βελτίω προσεπηυξάμην καί τι τῆς εὐχῆς καὶ τῷ καλῷ νυμφίῳ προσέθηκα, ὡς γένοιτο μὲν ἐκεῖνος εὐδαίμων πατήρ, ὦ θεοί, γένοιτο δ' ἐμὲ καὶ πάππον ἀκοῦσαι μετὰ πατρός. 14. *οὐκ ᾔδειν δὲ ἄρα ὡς τὰ μὲν τῆς εὐχῆς ἀποπεσεῖται πάντως ἀτέλεστα, ταῖς δὲ χερσὶ ταύταις ὑφ' ὧν τὴν μὲν ἐθρεψάμην, τὸν δ' ἐνυμφοκόμουν, ξίφους, οἴμοι καὶ σφαγέως ἅψομαι καὶ τούτους ἀνελεῖν ἐκβιασθήσομαι, παρ' οἷς καὶ μόνοις τὰς ἀμείνους ἔτρεφον ἐλπίδας, οὓς ἐπὶ μακρὸν βιῶναι τοὺς θεοὺς ἐλιπάρουν, παρ' ὧν τὰς τελευταίας ἐσχηκέναι τιμὰς καὶ τἄλλα ὅσια τῶν οἰχομένων.* 15. *ἔθυον μὲν οὖν ἤδη τοὺς γάμους καὶ τὸ γαμήλιον πῦρ ὑπανάπτων ἔχαιρον ὁ μετ' οὐ πολὺ τὰς ἐπιθανατίους ἀναψόμενος δᾷδας καὶ τὴν ἐπικηδείαν πομπὴν ἐκπομπεύσων, ὡς δὲ τὰ τοῦ γάμου ἦν ἐπὶ τῷ τέλει, ἐντεῦθεν ὁ μὲν εἶχε τὸ θυγάτριον ὑπὸ νόμοις ἀγόμενος, ἡμεῖς δὲ καὶ υἱωνοὺς ὠνειρώττομεν* | R IV 589 *ἐπιδεῖν οἱ μετ' οὐ πολὺ καὶ τὴν μόνην παῖδα προσαφῃρημένοι.* 16. *αὕτη τῶν καθ' ἡμᾶς ἀτυχημάτων ἀρχή,*

---

16 Eur. Tro. 514

---

7 *ἀτέλεστα* scripsi e *MaVi* *ἀτέλευτα Cl* *ἀτελεύτητα LPaBVa* edd 9 *τόν δ' Va* | *σφαγέως* reposui e libris *σφαγέος* edd 10 *ἐκβιάσομαι Ma* | *παρ' οἷς* om *Vi* „*fort. παρ' οὓς καὶ μόνους*" Re 11 *μόνοις Vi* sed *νόμοις* suprascr | *ἀμείνους* in marg inser *Ma* | *ἐλπίδας ἔτρεφον Ma* | *ἐπιμακρὸν Vi* 13 *ἐσχηκέναι*] „*neque tempus praeteritum convenit, (futurum melius quadraret) et deest aliquid, e. c. προσεδόκων*" Re num ⟨*ἐχρῆν*⟩ *ἐσχηκέναι*? | *τἄλλ' LPa* edd 14 *γάμους Pa* sed *μ* in ras m^2
16 *ἀναψάμενος PaMaClViBVa* Ferr | *ἐπὶ κηδείαν Va* 18 *ἐντεῦθεν* in marg *B* | *εἴχετο* Mor 19 *οἰωνοὺς MaVa* sed in hoc *οἰ* in *υἱ* corr | *ὀνειρώττομεν B*

τοῦτο τῶν ἡμετέρων συμφορῶν τὸ προοίμιον. ὡς γὰρ οἴκοι μετὰ τῶν ἕδνων τοὐμὸν εἶχε θυγάτριον καὶ δεσπότης ἦν τοῦ τῆς γυναικὸς σώματος, βουλεύεται βουλὴν ἀνοσιωτάτην καὶ τοῦ κήδους ἀνάξιον. ὁρᾷ τὰ χρήματα, λογίζεται τὴν ἀφαίρεσιν, συλλογίζεται τὸν νόμον ὑφ' οὗ τὸ μηδὲν ἔχειν τὴν μοιχευομένην διώρισται. ἐντεῦθεν ἐπιβουλεύειν ἄρχεται τῇ γυναικί. 17. *καὶ τὰ τῆς ἐπιβουλῆς, ὦ Ζεῦ καὶ Ἥρα καὶ πάντες ἄλλοι δαίμονές τε καὶ θεοὶ γαμήλιοι, ἐπὶ τὴν τῆς γυναικὸς ἀπάτην ὥρμησε καὶ τὸν μοιχὸν αὐτὸς σχηματισάμενος ἀγγελίας καὶ λόγους ὁ θεοῖς ἐχθρὸς προὔπεμψεν οἷς ἂν καὶ μοιχὸς ἀληθὴς χρήσαιτο καὶ δῶρα προὔτεινε καὶ ὑποσχέσεις προὐβάλλετο δι' ὧν ἂν καὶ σωφρονοῦσα γυνὴ ῥᾳδίως ἂν εἰς ἀπάτην προήχθη.* 18. *ἡ δὲ καὶ προσάπαξ ἐνοχλοῦντα καὶ πολλάκις ἀποσεισαμένη τελευταῖον τὸ μὲν ὑπαχθεῖσα τοῖς δώροις, τὸ δ' ἀπατηθεῖσα τοῖς ὑπεσχημένοις, τί γὰρ εἰς ἀπάτην ἁπλούστερον γυναικός; ἢ τί τῆς μιαρᾶς ἐκείνης ἐπιβουλῆς δολιώτερον, ἣν ὑπὸ παλαμναίῳ τῷ δαίμονι κακὸς κακῶς ἐκεῖνος ὁ κατάρατος ἐσκαιώρησε; παρορᾷ μὲν τοὺς ἐμοὺς λόγους οὓς πολλοὺς πολλάκις αὐτῇ περὶ σωφροσύνης*

---

3 Sopat. l. l. p. 230, 1 11 cf. p. 349, 14 12 sq. cf. p. 349, 2

---

2 *ἕδνων* scripsi e *LPa* *ἔδνων* *MaClViBVa* edd cf. p. 336, 2 | *τοὐμὸν* Ferr Mor sed in hoc *γρ ὁ μὲν* in marg 6 *ἐφ'* Ferr 10 *ὥρμησεν* *Va* 11 *καὶ* om *MaClBVa* | *λόγους* *B* sed *γ* in ras m² | *προὔπεμψεν* scripsi e libris (*προέπεμψεν* *L*) *ἐξέπεμψεν* Ferr Mor sed in hoc *γρ προὔπεμψεν* in marg *προσέπεμψεν* Re fortasse recte coll p. 270, 7 et Sopatri loco p. 320, 22 at cf. p. 349, 14 12 *χρήσαιτο καὶ δῶρα* inser *Ma* 13 num *προὐβάλετο* scribendum? at cf. p. 335, 9 14 *ἂν* om *MaB* 20 *ἐσκαιώρησε* scripsi e *BVa* sed in hoc in marg *ἐσκευώρησε* *ἐσκευώρησε* *LPaMaClVi* edd (*ἐσκευώρισε* Ferr) cf. ad p. 325,15

ἐπήντλουν, παρατρέχει δὲ τὴν ἐντεῦθεν τοῦ γένους αἰσχύνην, τὸν δὲ τοῦ ἀνδρὸς οὐχ ὑφορᾶται δόλον καὶ γίνεται τοῦ λοχήσαντος λάφυρον. 19. καὶ τὸ λοιπὸν ὁ καλὸς ἐκεῖνος καὶ τῷ τῆς πόλεως καλῷ, δηλαδὴ τοῖς νόμοις, ἐπὶ τὰ πάντων αἴσχιστα χρώμενος τὴν μὲν ὡς ἀληθῶς μοιχευθεῖσαν τῆς οἰκίας ἀπέκλεισεν, αὐτὸς δ' ὁ τὸ ξύμπαν δρᾶμα συσκευασάμενος οὐ μόνον τὸ μηδέν τι παθεῖν ἐδικαίωσεν, ἀλλ' ἤδη καὶ τῆς προικὸς ἀποκερδαίνειν ἠξίου. τὸν γὰρ νόμον, ὡς ἔοικεν, ἐπὶ γυναιξὶ μόναις γεγράφθαι τὴν ἀρχὴν ᾤετο. 20. ἐπεὶ δὲ καὶ ταῦτ' ἐπυθόμην ἐγὼ καὶ τὸ | θυγάτριον R IV 590 ἤδη κινδυνεύουσαν εἶδον ἐκβεβλῆσθαι μεθ' ὕβρεων, τὰ μὲν πρῶτα οὐκ εἶχον ἐπὶ τοῖς παροῦσιν ὅ τι καὶ χρήσομαι, ἀλλ' εἱστήκειν αὖος ὅλος, ἀπόπληκτος, τὸ γὰρ τῆς ξυμφορᾶς ἀπροσδόκητον ὅλον μοι τὸν νοῦν διέσεισεν, ὀψὲ δ' οὖν ἀνανήψας καὶ τὸν νοῦν εἰς ἑαυτὸν συλλεξάμενος τὰ μὲν τὴν τοῦ γένους ἀδοξίαν ὑφορώμενος, εἰ ταῦθ' ἡ πόλις πύθοιτο, τὰ δὲ καὶ μέχρις ἅπαξ τὴν μὲν ἠπατῆσθαι, τὸν δὲ ⟨οὐχ⟩ οὕτω

---

4 cf. p. 349, 9

---

2 *οὐχ* in marg *Va*[2] 3 *τολοιπὸν L* *τοῦ λοιποῦ BVa* 4 *χρηστὸς MaClVi Par 3017* (Boissonad. Pachym. 13, 1) | „*verba δηλαδὴ τοῖς νόμοις periodum onerant. saltem δηλαδὴ delendum sed sic iterum p. 595, 29*" Iacobs Lect cf. p. 317, 16 6 *μοιχευθεῖσαν τῆς οἰκίας Cl* sed *σαν τῆς οἰ* in ras m[2] | *οἰκείας Vi* 7 *μηχανησάμενος Va* sed *γρ συσκευασάμενος* in marg 10 *γυναιξὶ μόναις* in ras *Cl*[2] 12 *κινδυνεύουσαν Cl* sed *σαν* in ras m[2] et tuentur Iacobsius Anth Pal III 811 et Bastius ep. crit. 282 coll. Chor. Patr. p. 243, 6 ed. Boiss. *κινδυνεῦον ViBVa Par 3017* 13 *ἐπὶ τοῖς παροῦσιν* om *BVa* | *ὅτι Cl* 14 „*malim χρήσωμαι*" Re | *ἑστήκειν MaClVi* 15 *ξυμφορᾶς* reposui e libris *συμφορᾶς* edd 16 *διέσειεν* Ferr | *δὲ B* Re 18 *πύθοιντο LPaMa* sed in hoc *ν* inser, *ViBVa* Ferr 19 *τὸν δὲ οὐχ οὕτω* scripsi *τὸν δὲ οὕτω PaMaViBVa* *τὴν δὲ οὕτω LCl* edd *τὸν δὲ οὔπω* coni Re, *τὸν δὲ οὕτω σκαιωρήσασθαι οὐχ* Iacobs Lect

σκαιωρήσασθαι ὑποτοπήσας ἑτέραν ἐπέδωκα προῖκα καὶ γάμον δεύτερον, ὡς ἂν εἴποι τις, ἀπὸ δευτέρων ἕδνων ἐκρότησα τί μὲν εἰς ὄνειδος οὐκ ἐπειπὼν τῇ θυγατρί, τί δὲ πρὸς ὕβριν οὐκ ἐπαπειλήσας, τί δὲ πρὸς ὀργὴν οὐκ ἐπιπλήξας; ἐκείνῳ δὲ τὰ μὲν παραινέσας, τὰ δ', εἰ χρημάτων δέοιτο, παρ' ἑκόντων λαβεῖν ὑπεσχημένος σιγᾶν ἐδεόμην, μὴ καί τις αἴσθησις τοῦ κακοῦ τοῦδε τῇ πόλει προσβάλλοι. 21. *κἀγὼ μὲν οὕτως ἄμφω ξυνάψας καὶ συνδήσας δῆθεν αὖθις πρὸς εὔνοιαν ᾤμην ἤδη τοῦ λοιποῦ κακουργοῦντας παύσειν, οἱ δ' αὖθις ὁ μὲν τὸν δόλον ἐπήρτυεν, ἡ δ' ἐπὶ τοσοῦτον ἦλθεν ἀνοίας ὡς καὶ ταὐτὰ τοῖς προτέροις παραχθῆναί τε καὶ πρὸς ὕβριν τοῦ γένους ἀσχημονῆσαι. καὶ πάλιν ὁ μὲν ἀπεκέρδαινεν, ἡ δ' ἀπεκλείετο, ἐγὼ δ' ὁ κακοδαίμων καὶ τρίτον γάμον ἀπὸ τῶν ἐμῶν ἐτέλουν χρημάτων καὶ τῇ μὲν πάλιν ἐνεβριμώμην, τὸν δ' ἀνεῖναι τῆς σκαιωρίας ἠξίουν ἑαυτοῦ πάντα τὰ τῆς γυναικὸς εἰδότα.* 22. *ὡς δ' οἱ μὲν ταὐτὰ καὶ πάλιν οὐκ ἐπαύον-*

---

1 sq. Sopat. l. l. p. 230, 5 6 cf. p. 342, 16; 344, 7 10 Sopat. l. l. p. 230, 6 11 cf. p. 345, 1. Oppian. cyn. II 443

---

1 *σκαιωρίσασθαι B* *σκευωρήσασθαι* Mor Re cf. ad p. 325, 15 | *ὑποτοπίσας BVa* | *ἀπέδωκα MaClViBVa* cf. p. 324, 4 et 6 et Sopat. l. l 2 *ὡσὰν Va* | *εἴποι* scripsi e *MaClViBVa* *εἴπῃ LPa* edd | *ἕδνων BVa* cf. p. 334, 2 3 *ἐκρότησα* defendit Iacobs Anim. ad Anth. gr. XIII 685 contra Re qui adnotat „*malim συνεκρότησα*“ | punctum post *ἐκρότησα* libri edd delevi

4 *ἀπειλήσας BVa* 5 *ἐκείνῳ* (sscr. *ον*) *Vi* *ἐκεῖνον BVa* | *τά δ' Cl* *τα δ' Va* 7 *τῆδε BVa* 8 *προσβάλλοι* scripsi e *LBVa* *προσβάλοι PaMaCl* edd *προσβάλλει Vi* | *συνάψας Ma* 9 *δῆθεν* om *Va* 10 *τουλοιποῦ LPaVa* | *οἱ δ'* scripsi *οἱδ' Vi* *οἶδ' PaMaCl* edd *οἳ δ' Va* *ἥδ' B* 11 *ἥδ' Cl* *ἣ δ' Va* 12 *πραχθῆναι L* Mor 14 *ἥδ' Va* 16 *τόν δ' ClViVa* 17 *σκευωρίας* Mor Re cf. ad p. 325, 15 | *ἠξίουν*] „*hic videntur quaedam deesse*“ Re 18 *ταὐτὰ* scripsi auctore Re qui *ἐποίουν* post

το σκαιωρούμενοι, ἐγὼ δὲ τὴν μὲν οἰκίαν ἑώρων εἰς τὸ παντελὲς τῆς περιουσίας ἐκκενουμένην, | τὴν R IV 591 *δὲ πόλιν ἁπανταχῇ τῆς ὕβρεως γέμουσαν, τὴν μὲν τῆς ἄκρας ἀνοίας ἀποστραφείς, τὸν δὲ τῆς οὕτως ἀτόπου κακουργίας, ὡς προσῆκε, μυσαχθεὶς θυμὸν ἐπ' αὐτοὺς ἀναλαμβάνω δίκαιον καὶ τῶν κοινῶς ἐπ' ἀλλήλοις ἐξαμαρτόντων κοινὴν καταψηφίζομαι καὶ τὴν δίκην καὶ μιᾷ πλήξας τοὺς πολλὰς κατὰ καρδίας πλήξαντας τοὺς μὲν ἀπαλλάττω τοῦ βίου καὶ τῆς ἐντεῦθεν αἰσχύνης, τὸ δὲ γένος τοὐμὸν καὶ τὴν ὅλην πόλιν τῆς ἐκεῖθεν ὕβρεως.*

23. *Ἐγὼ μὲν οὖν ἐπὶ τούτοις δυστυχὴς μέν, εἴ καί τις ἄλλος πατέρων, δόξειν ὑπώπτευον, κακὸς δ' οὔτ' αὐτός ποτε, μὰ τοὺς θεούς, ἐλογιζόμην οὔθ' ἑτέρους τοῦτ' αὐτὸ κακουργεῖν ὑπολήψεσθαι, ἀλλ' ἠξίουν τῶν πολιτῶν τούς γε μετριωτέρους μάλιστα μὲν οἰκτείρειν ἐμὲ τῆς συμφορᾶς, εἰ δ' οὖν, ἀλλὰ τὴν τύχην, ὀκνῶ*

---

5 cf. p. 351, 12. Eur. Med. 1149

πάλιν perperam supplendum censuit *ταῦτα* libri edd | *οὐκ* scripsi e *LPaMaClViVa* *οὐδ'* *B* edd

1 *σκευωρούμενοι* Mor Re cf. ad p. 325, 15 2 *παντελὲς Va* sed *ελὲς* ex *ες* corr m[2] | *περὶ οὐσίας L* *οὐσίας B* | *ἐκκεκομμένην* (*νου* supra lin.) *Va* 3 *ἀπανταχοῦ* (*ῆ* supra lin.) *Ma* *ἀπανταχοῦ B* 4 *οὕτω Vi* Ferr 6 *ἀπαλλήλοις* (*ε* supra lin.) *Cl* | *ἐξαμαρτόντων* scripsi e *LPaMaClViVa* *ἐξαμαρτανόντων B* edd 8 *τὰς Cl* | *πολλὰ Vi* 12 *δυστυχὴς* scripsi e *MaCl* sed in hoc *εὐτυχὴς* in marg, *Vi* *εὐτυχὴς LPa BVa* Ferr et *γρ* in marg Mor *ἀτυχὴς* Mor Re 14 *μὰ* inser *Ma*[3] | „*post ἐλογιζόμην excidisse videtur εἶναι*“ Re 15 *τοῦτ' Ma* sed *τ'* in ras m[3] 16 *πολιτῶν* reposui e libris cum Bastio app. ep. crit. 54 *πολλῶν* edd | *οἰκτείρειν ἐμὲ* reposui e libris (sed *ἐμὲ οἰκτείρειν ἐμὲ L*) *ἐμὲ οἰκτείρειν* edd 17 „*sententia postulat εἰ δ' οὖν μή,* (*scil. ἔμελλον ἐμὲ οἰκτείρειν*) *ἀλλ' οὐκ ἐμέ, ἀλλὰ τὴν τύχην*“ Re

γὰρ τοὺς παῖδας λέγειν, αἰτιᾶσθαι. ὁ δ' ὥσπερ ἐπιχαίροντά με τῷ κακῷ τοῦ γένους ὁρῶν καὶ φαιδρότερον γεγενημένον οἷς ἐκεῖνοι πεπτώκασιν ἔπου, *φησί, δώσων δίκας ὧν κατὰ παίδων τετόλμηκας καὶ ψιλὸν ἐπὶ τούτοις τοῦ φόνου προβάλλεται τοὔνομα.* 24. *ἐγὼ δ' οἶμαι προσήκειν μὴ τὸ πραχθὲν αὐτὸ καθ' αὑτὸ μόνον προφέρειν μηδ' οὕτως εὐθύνας ἀπαιτεῖν τὸν εἰργασμένον, εἰ μὴ καὶ τὴν γνώμην μεθ' ἧς εἴργασται πύθοισθε. πολλὰ γὰρ τῶν πραγμάτων φαυλοτέραν ἔχει τὴν κλῆσιν, ἀλλ' εἰ καὶ τὸν τρόπον προσεπιθήσει τις, εὐθὺς καὶ τὸ δοκοῦν φαῦλον ἀπέωσται*
R IV 592 *καὶ τὰ τῶν κακούργων | ὁ δράσας ἐκπέφευγε.* 25. *καὶ νῦν ὁ μὲν κατήγορος ψιλὸν ἐπιφέρει τὸ εἰργασμένον καὶ εἰ μὴ τοὺς παῖδας ἀπέκτεινα, τοῦτο καὶ μόνον τῶν ἄλλων ἀποχωρίσας πολλάκις καὶ πυκνὸν ἐρωτᾷ, ἐγὼ δὲ τὸ μὲν εἰργάσθαι παράπαν οὐκ ἔξαρνος γίνομαι, τὸ δ' ὅτι καλῶς, τοῦθ' ὑμᾶς ἀναδιδάξαι πειράσομαι, εἴ που καὶ τὸν χρηστὸν τουτονὶ καὶ τοῦ πατρὸς περὶ τοὺς παῖδας φιλοστοργότερον καταιδέσαι δυνήσομαι βαρύτερον ἡμῖν καὶ τῆς τύχης ἀναφανέντα.*

26. *Τῶν ἀδικημάτων, ὦ κατήγορε, τῶν μέν τις καὶ δίκας ἀπέτισεν, ὅσαπερ ἢ πρὸς ἔχθραν κακουργήσας πεφώραται ἢ πρὸς κέρδος ἀφορῶν ἐπεβούλευσεν ἢ καὶ*

---

3 Sopat. l. l. 230, 14 sq. 8 cf. t. IV 466, 1 R

---

1 *τοὺς* in ras *Ma*[3] | *ὃ δ'* libri edd 4 *δώσειν* (ω supra ει) *Va* | *δίκην Va* 5 *προὐβάλλεται L* edd 7 *ἑαυτὸ Vi* | *μὴ δ'* libri Ferr Mor *μήθ'* Re | „*post οὕτως videtur ἁπλῶς deesse*“ Re 8 *τῶν εἰργασμένων BVa τῶν εἰργασμένων* (ὸν et ον supra) *Pa* 9 *φαυλοτέραν Ma* sed *αν* in ras m[2] 11 *τίς LPaMaClBVa* 12 *ἐκπέφευγε Ma* sed *γε* in ras m[3] 16 *τοῦ BVa* sed in hoc *οῦ* ex *ὁ* corr 22 *ἀπήτησεν MaClViBVa* 23 *πεφύραται L*

τρόπον ἕτερον σκευωρήσας ἐλήλεγκται· ἐφ' οἷς δ' ὁ μὲν ἠδικηκὼς πέπτωκεν, ὁ δ' οὐ προεπιβουλεύσας, ἀλλ' ὡς ἀδίκως ὑπ' ἐκείνου παθὼν πρότερον οἷς εἶχε δικαίως ἠμύνατο, τοῦτον δ' οὔποτ' ἂν οὐδεὶς οὐδὲν οὔθ', ὡς οἶμαι, νόμος οὔτε δικαστὴς αἰτιάσαιτο. 27. *εἰ μὲν οὖν ἔχεις τι καὶ σὺ τούτων εἰπεῖν, διάβαλλε τὸν περὶ τὴν φύσιν ὠμόν. καίτοι τίς οὐκ οἶδεν ὡς πατὴρ μὲν ὁ δυστυχὴς περὶ τοὺς παῖδας ἐγώ, ἐκεῖνοι δ' οἱ πεπτωκότες, ἡ μὲν κόρη τῶν νεογάμων, ἐφ' ᾗ πρὸ μικροῦ καὶ γαμηλίου πυρὸς ἡψάμην καὶ μέχρι καὶ εἰς παστάδα προεπόμπευσα καὶ πάνθ' ὁπόσα καὶ πατὴρ ἀγαθὸς ἐπεύξαιτο τοὺς θεοὺς ὑπὲρ τῆς παιδὸς ἱκέτευσα, εἰ καὶ μηδέν τι τῆς εὐχῆς ἐκείνης ἀπωνάμην καὶ τῶν | θυμάτων ὧν ἐπὶ τελουμένοις τοῖς γάμοις* R IV 593 *ἀνόνητά γε, ὡς ἔοικεν, ὁ δείλαιος ἐκαλλιέρουν. ἐκεῖνος δ' ὁ τὴν τοῦ παντός μοι γένους ἐρημίαν συσκευασάμενος καὶ τὰ φίλτατα ἐκπολεμώσας νυμφίος μὲν ἦν, παῖς δ' οὖν καὶ οὗτος ἐμός, κἂν γονῆς ἑτέ-*

---

17 cf. p. 335, 7

---

1 *τὸν* ante *τρόπον ViB* et in ras *Va* | *σκευωρήσας* (*αι* supra *ευ*) *B* cf. ad p. 325, 15   2 *ἠδίκει καὶ MaClViBVa* | *ὅ MaBVa*   4 *οὔδεὶς Ma* sed *ει* in ras m²   6 *τί Va* | *διάβαλε B* | *τὸν* inserui e *MaClViBVa* om *LPa* edd sed „*fort. τὸ πέρα τῆς φύσεώς μου ὠμόν, aut τὸ παρὰ τὴν φύσιν praeter naturam, secus atque natura fert*“ Re   7 *πατὴρ*] *πρὶν* Ferr Mor   8 *δ' οἱ* scripsi e *B* *δὲ LPaMaClViVa* edd sed *δὲ οἱ* coni Re   11 *προεπόμπευσα* reposui e libris coll p. 333, 3 *προὐπόμπευσα* edd   12 *τοῦ MaClViBVa* | *ἱκέτευσα Ma* sed *α* add m³   13 *τὸ* ante *μηδέν* libri edd sed „*aut τὸ aut τι est delendum*“ Re delevi   14 *καὶ τῶν θυμάτων* om *B* | *ἐπὶ τελουμένοις* scripsi e *Pa* ut coni Re *ἐπιτελουμένοις* reliqui libri edd   15 *ἀνόητά LPaViB* et *γρ* in marg Mor et Re | *ἐκαλλιέργουν ClVi* *ἐκαλλιέρρουν Va*   18 *κἂν γονῆς ἑτέρας* ante *παῖς δ' οὖν καὶ οὗτος ἐμὸς MaClViBVa*

ρας, ὡς ἀπὸ τῆς ἐμῆς ποτε θυγατρὸς ἐγνωρίζετο. 28. οὗτοι μὲν οὖν πάντες ὁπόσοι τοῦ βήματος ἐπιστατεῖν εἰλήχασι καὶ νόμοις τὴν πόλιν ἰθύνειν πατέρες τέ εἰσι καὶ τὴν ἐντεῦθεν περὶ τοὺς παῖδας φιλοστοργίαν οὐκ ἀγνοοῦσι, σὺ δέ, εἰ μὲν οὔπω πατὴρ ἔφθης πρὸς τῆς Τύχης γενόμενος, συγγνωστὸς μὲν οὐδ' οὕτως ἂν εἴης, τί γὰρ ὧν οὐκ οἶσθα τὴν φύσιν, περὶ τούτων διατείνεσθαι τολμᾷς ἐπ' ἐκκλησίας; εἴης δ' ἂν ὅμως περὶ τὸ δοκεῖν θρασύνεσθαι μετριώτερος οἷς οὐκ ἀπό τινος κακουργίας, ἀλλ' ἐξ ἀγνοίας τὸν μηδὲν ἠδικηκότα διαβάλλειν ἐπιχειρεῖς· εἰ δὲ πατὴρ μὲν εἶ καὶ αὐτὸς καὶ παῖδας πρὸς θεῶν ἔσχες ἐπιδεῖν τε καὶ θρέψασθαι, ὅρα μὴ κακοῦργός τις εἶναι περὶ τοὺς σαυτοῦ δόξῃς. 29. καί που καὶ ξύνοιδάς τινα περὶ τοὺς παῖδας τρέφων ἀπέχθειαν. ὡς δὲ σαυτὸν ἔγνως περὶ τὴν φύσιν σκαιόν, οὕτω καὶ τοὺς ἄλλους ἔχειν οὐ δικαίως νομίζεις. εἰ δ' οὐκ ἀπηχθανόμην, δῆλον ὡς οὐδὲ φθόνος οὐδεὶς τὴν ἐμὴν κατὰ τῶν φιλτάτων ὥπλισε δεξιάν. εἰ γάρ τις τὸ δυσμεναίνειν τῶν πατέρων ἐξέλοιτο, πάντως καὶ τὸ φθονεῖν συνεξείλετο. 30. ἢ μι-
R IV 594 *σεῖν μὲν καὶ φθονεῖν ὄντα πατέρα | καὶ τοῦτον ἄνθρωπον μὴ καὶ λέγειν οὐ καλόν; ἃ γὰρ οὐδὲ θῆρες περὶ τὰ ἔκγονα δράσειν ἀνάσχοιντο, ταῦτα πῶς οὐκ*

---

4 *παρὰ MaBVa* 5 *μὲν* scripsi *μὴ* libri edd | *οὕτω MaClViBVa* | *ὤφθης MaClBVa* Mor 6 *πρὸ ViVa* | *μέν, οὐδ' οὕτως ἂν Ma* sed *μέν, οὐδ'* in ras m^3 et *οὕτως ἂν* in marg m^3 *οὐδ' ἂν οὕτως ἂν Vi* 8 *τολμᾶν Vi* 9 „*fort. πρὸς*" Re | $\overset{\vartheta}{\text{τ}}$*ρα*$\overset{\sigma}{\text{χ}}$*ύνεσθαι L* | *μετριώτατος Vi* 10 *μὲν B* 12 *καὶ* (1)] *κατ' BVa* 13 *κακοῦργος τίς MaClViVa* | *τὰ Ma* sed *α* in ras m^3, *BVa* *τῆς Cl* 14 *δόξῃς* reposui e *PaMaClViBVa* *δόξεις L* edd | *σύνοιδας L* edd 15 *ὡς* scripsi ut coni Re *οἷς* libri edd 17 *δῆλος BVa* 19 *δυσμενὲς BVa* 22 *λέγειν Pa* sed *ει* in ras m^2 | *οὐδ' οἱ Ma*

ἂν ἀνθρώπῳ προσάπτειν αἰσχρὸν καὶ τούτῳ μὴ βαρβάρου λαχόντι παιδείας, ἀλλ' ὑπὸ νόμοις καὶ δημοκρατίᾳ τραφέντι καὶ γυναῖκα κατὰ τοὺς νόμους ἀγαγομένῳ καὶ παῖδας ἐπιδεῖν ἐπευξαμένῳ καὶ ἰδόντι θρέψασθαι καὶ θρεψαμένῳ εἰς καλὸν τῶν ἐπὶ τούτοις ἀπόνασθαι πόνων; ἀλλὰ τὸ πρὸς κέρδος τοιαῦτα κακουργεῖν εὐχερὲς ἂν εἰπεῖν ἔχοις; 31. *καίτοι τί κέρδος ἐντεῦθεν ἀνδρὶ βελτίστῳ προσγινόμενον εἰπεῖν ἂν ἔχοις; νὴ Δία, τοὺς τῶν πεπτωκότων κλήρους ἀνελέσθαι καὶ τὴν οἰκίαν ἐντεῦθεν χρήμασιν ἐπαυξῆσαι; ὡς καλόν γε, ὦ θεοί, τὸ κέρδος, ἄνθρωπον τῆς αὐτῆς φύσεως, τῆς αὐτῆς πόλεως ἀφελέσθαι τὸ ζῆν καὶ οὐδὲ τοῦτον ἕνα οὐδ' ἁπλῶς ἄνθρωπον, ἀλλ' οὓς ἔτεκεν, ἀλλ' οὓς ἔθρεψεν, ἀλλ' οὓς ἐπαίδευσεν, ἀφ' ὧν ἐπιδεῖν καὶ παῖδας πλείους ἤλπισε, τούτους αὐτοχειρὶ διαχρήσασθαι, ἵν' αὐτὸς ἔχῃ πλουτεῖν ὅθεν ὁ νόμος οὐκ ἐφῆκεν.* 32. *ἡδέως δ' ἂν ἐροίμην σὲ τὸν οὐκ οἶδ' ὅθεν οὐδ' ὅπως ἡμῖν ἐπιφυόμενον καὶ δυστυχῆ πατέρα πάλαι καὶ τὸ πολὺ τῆς ψυχῆς προσαφῃρημένον μετὰ τῶν παίδων θεατρίζειν ἐπὶ μέσου βήματος ἀναγκάζοντα τὰς αὐτοῦ συμφορὰς καὶ λέγειν ἃ καὶ λεγόντων ἑτέρων αὐτὸς ἂν εἰκότως κατεδυόμην, πόσων ταλάντων αὐτός, εἴπου σοι τέκνα περίεστι, τιμήσαις ἂν τὸ πατὴρ*

---

3 *τοὺς* om *MaClVi* | *ἀγαγομένῳ* scripsi *ἀγομένῳ* libri edd 4 *ἰδόντι Ma* sed *τι* in ras m[3] *ἰδόντους Cl* *ἰδόντα Vi* *ἰδόν̄* *BVa* 6 *ἀπώνασθαι BVa* sed in hoc *ω* in *ο* corr 7 *ἔχοις* scripsi e *MaClVi* ut coni Re *ἔχῃς LPaBVa* *ἔχεις* edd 9 *ἔχοις* reposui e libris sed *οι* ex *ει* corr *L* *ἔχεις* edd 11 *ἄνθρωπον* scripsi e *MaClVi* ut coni Re *ἀνθρώπου LPaBVa* edd 13 *ἀλλ' οὓς ἔτεκεν* om *BVa* 14 *ἀλλ'* (2) om *B* | *ἐφ' B* 15 *καὶ πλείους ἐπιδεῖν παῖδας MaClVi* | *ἤλπισεν LPaMaVa* edd 17 *ἀφῆκεν BVa* | *καὶ* ante *σὲ B* 21 *αὐτοῦ* libri edd 23 *τέκνον Vi* | *τιμήσειν Ma*

εἶναι πρὸς τῆς αὐτοῦ δεξιᾶς ἀφελέσθαι; εἶτα σὺ μὲν οὐδ' ἂν τοῦ παντὸς πλούτου προδοῦναι τὴν φύσιν κομπάζεις, ἐγὼ δ' οὕτω σμικρολόγος περὶ τὰ πᾶσιν ἀνθρώποις τιμιώτατα καὶ ἃ βάρβαροι καὶ τί λέγω R IV 595 *βάρβαροι; ἀλλὰ | καὶ θῆρες καὶ πᾶν ὅσον τῆς γῆς ἀγριώτατον πλείστου τιμῶνται, μᾶλλον δὲ τοῦ παντός, καί πως ἀποβαλόντες, εἰ τύχοι, καὶ τὰς ψυχὰς αὐτὰς μετὰ καὶ τοῦ ζῆν αὐθαιρέτως καταπροΐενται;* 33. *ἀλλ' οὐχ οὕτως ἐγὼ τοῦ τε δικαίου καὶ τῶν νόμων ἀξύνετος ὡς μὴ ξυνιδεῖν ὡς περιόντας μὲν ἐκείνους καὶ καλῶς πολιτευομένους καὶ τύχης εὖ ἥκοντας παῖδάς τε προσειπεῖν ἔξω καὶ πατὴρ αὐτὸς ὑπ' ἐκείνων ἀκοῦσαι, τοῦτο δὴ τὸ πᾶσιν ἀνθρώποις εὐκταιότατον, καὶ τὰ μὲν τῶν προσόντων μεταδοῦναι νόμῳ πατέρων, τὰ δ' αὖθις αὐτός, ὁπηνίκα καὶ ὅτου καὶ ὅσον δεοίμην τῆς ἐκείνων εὐδαιμονίας, παρ' ἑκόντων κομιεῖσθαι.* 34. *εἰ δ' ἐκεῖνοι μὲν οἰχήσονται, τὸ δὲ ζῆν ἐμοὶ περιέσται, στερήσομαι μὲν ἁπάντων ὁπόσων ἂν ἐχαρίσαντο περιόντες, τὸ δὲ καλεῖσθαι πατὴρ μετὰ καὶ τῶν ἄλλων προσαπολέσας ἀθλίως καὶ κακοδαιμόνως βιώσομαι. ἢν δέ μοι καὶ ἡ χεὶρ ἀθεμίτως ταῦτα καὶ μὴ προσηκόντως ξυνείσεται, ἃ νῦν εὐλόγως, οἶμαι,*

σ
τιμή Cl | „post *τιμήσαις ἂν* deesse videtur *εἴ τις σε βούλοιτο τὸ πατὴρ εἶναι πρὸς τῆς σεαυτοῦ δεξιᾶς ἀφελέσθαι*" Re cui recte oblocutus est Iacobsius Lect

1 *πρὸ ClViBVa* | *αὐτοῦ* libri edd 3 *οὕτως μικρολόγος MaClVi* 4 *καὶ* (2) om *BVa* | *καὶ τί λέγω βάρβαροι* om Mor 8 *αὐτὰς* om *Vi* | *μετὰ καὶ τοῦ* scripsi e *MaClViBVa* *καὶ τὸ*
ξ
LPa edd cf. ad p. 343, 4 10 *ἀσύνετος Ma* | *μὴ* om *MaClViBVa* 11 *πολιτεύομαι Vi* | *τῆς* ante *τύχης BVa* 12 *ἕξω Vi* 13 *πᾶσιν Ma* sed *ᾶσιν* e *ρο*(?) corr m[3] 14 *νόμοις Vi* 16 *παρεκόντων Cl* 21 *εἰ* Iacobs Lect at cf. p. 319, 16 sq. 22 *ξυνοίσεται* Ferr Mor

καὶ κατὰ νόμον ξύνοιδεν, ἐκεῖνοι μὲν οὐδὲν ἧττον αὖθις οἰχήσονται, ἐγὼ δ' οὐ μόνον ὧν ἐκεῖθεν ἀποκερδᾶναι οὐχ ὁσίως ἤλπισα παρὰ τῶν νομοφυλάκων τούτων ἀποκεκλείσομαι, ἀλλὰ μετὰ καὶ τοῦ κακοῦργος εἶναι δοκεῖν καὶ τῶν περὶ τὴν φύσιν πονηρῶν ὁ σκαιότατος καὶ τὰς ἐπὶ τοῖς ἀσεβοῦσι δίκας ἀποίσομαι καὶ δημίου χεὶρ τὴν ἐμὴν δεξιὰν μετ' οὐ πολὺ διαδέξεται. 35. *εἰ δὲ καὶ τοῦτο δοίη τις ὡς ἔσται τις τῶν ἁπάντων οὕτω μὲν ἄδικος περὶ τοὺς κοινοὺς τῆς φύσεως νόμους, οὕτω δὲ τῶν ἔξωθεν τῇ πόλει νενομοθετημένων ἐς τὸ παράπαν ἀμύητος, ἀλλ' οὖν τό γε τοῖς ὅ τι καὶ τύχοι κακουργεῖν βουλομένοις τὰ μάλιστα σπουδαζόμενον, δηλαδὴ τὸ λαθεῖν κακουργήσας | δυ-* R IV 596 *νήσεσθαι, τοῦτο δὲ πάντως ὅλαις ἂν μηχαναῖς ἐθηρώμην, ὡς μηδὲ τὴν ἀρχὴν ὅλως ὁμολογεῖν τοῦ ξίφους ἐφάψασθαι καὶ τὴν ὄντως ἀτυχῆ ταυτηνὶ δεξιὰν ἐπικεχρωσμένην ἔτι τῷ τῶν παίδων λύθρῳ προτείνειν μόνον οὐ τὸ τοῦ δημίου ξίφος ἑαυτῷ ἐπακονῶντα. ὡς ἔγωγε οὐδὲν ἕτερον τὰς δυστυχεῖς ταύτας χεῖρας αἰ-*

---

2 *δὲ B* edd 3 *περὶ MaCl* 4 *μετὰ καὶ* scripsi e *LPa MaClVi* coll p. 326, 1 et 13; 327, 15; 331, 18; 342, 8 et 19; 351, 17 *καὶ μετὰ BVa* edd 6 *ἀποίσομαι Ma* sed *γρ ποιήσομαι* suprascr m² 7 *μετον ClVi* 10 *καὶ* post *δὲ Ma* | *τῇ πόλει Ma* sed *ῇ* et *ει* in ras m² 11 *ὅτι Vi* 12 *τύχοιεν* Cobet Misc 141 | *τα μάλιστα LPaMaViVa* Ferr | *σπουδαζόμενος* Mor sed *γρ σπουδαζόμενον* in marg 13 *τὸ*] *πῶς* coni Re, *εἰ* Iacobs Lect | *δυνήσεσθαι* scripsi e *MaClViBVa* *δυνήσεται LPa* edd 14 *ὅλως BVa* | *μηχανῆς BVa* 15 *μὴ δὲ LPaMaClVi Va* Ferr | *την αρχὴν LPaB* | *ὅλως* ut scholium dictionis *τὴν ἀρχὴν* delendum censet Re cui Iacobs Lect adstipulatur, Not. crit. in Lib. apol. Socr. p. 47 adversatur | *τοῦ* scripsi ut coni Re *τε* libri sed in ras *Ma*³, edd 16 *καὶ*] *μήτε* Iacobs Lect, *μηδὲ* Not crit | *ταύτην BVa* 18 *τὸ Ma* sed *ὁ* in ras m³ | *ἑαυτῶ Ma* sed *ῶ* in ras m² *ἑαυτοῦ BVa* 19 *ἐπαιτιασαίμην Ma ClVi*

τιασαίμην ἂν εἰ μὴ τοῦθ' ὅτι μὴ κἀμὲ τρίτον προσέθηκαν, ἵν' εἶχον τὸ μηκέτ' ἀλγεῖν τοῦ κακοῦ μηδὲν αἰσθανόμενος μηδ' ὑπὸ σοῦ τὰ νῦν ἐπ' ἐκκλησίας ἐρεσχελούμενος. 36. ἦν ἄν μοι τρόπος ἕτερος, εἰ δυσμενῶς εἶχον, καὶ ὅλον τὸν θυμὸν ἀποπλῆσαι καὶ τὸ καταφανὴς ἐπὶ τοιούτοις γενέσθαι φυλάξασθαι· εἴ μέ τι τῶν ἐκείνοις προσόντων ἔθελγε, παρ' ἑκόντων εἶχον ἂν κομισάμενος. εἰ δὲ καὶ πρὸς τὴν δόσιν ἀνένευον, ἀλλ' ἦν ὑφελέσθαι δόλῳ παρακρουσάμενον. εἴ μέ τι δυσμεναίνειν εἰς τοσοῦτον ἐκείνοις ἔπειθεν, ἦν ἂν τοὺς μὲν ἀλλοτρίας ἔργον γεγονέναι χειρός, ἐμὲ δὲ τὸ μὴ δοκεῖν ἀδικεῖν ἀπενέγκασθαι. εἰ δὲ καὶ φαρμάκοις ἀνελεῖν ἐπεχείρουν, ποῖος ἄν τις τῶν ἁπάντων ᾔσθετο; νῦν δ' οὔτε κακουργεῖν εἱλόμην καὶ λαθεῖν οὐκ ἐμηχανώμην.

37. Τίς οὖν καὶ πῶς ὁ τῶν παίδων ὄλεθρος ἐκεῖνος ἐγίγνετο; ζῆλος ἦν ὑπὲρ τοῦ γένους αἰσχυνομένου καὶ θυμὸς δίκαιος. ἀλλ', οἴμοι, δεῖ γάρ με καὶ πάλιν ἐκτραγῳδεῖν τὸ κακὸν καὶ πάλιν οὐδὲν ἧττον καὶ πεπτωκότας τὰ μὲν αἰσχύνειν καὶ μηκέτ' ὄντας ὡς κακῶς δεδρακότας τοὺς παῖδας, τὰ δ' ὑπὲρ ἐκείνων καὶ τῆς ἐκείνων τόλμης αὐτὸν ἐγκαλύπτεσθαι, ἔρως ἐκεῖνον ἠνώχλει χρημάτων καὶ τοῦ μὲν τῆς γυναικὸς ὑπερεφρόνει κάλλους, τῆς δὲ προικὸς μᾶλλον ἤπερ

17 cf. p. 331, 17 sq. Il. ξ 209

1 κἀμὲ scripsi e *MaClViBVa* coll p. 365, 11 κατ' ἐμὲ *L Pa* edd sed καὶ ἐμὲ coni Mor quod probaverunt Re et Sintenis 3 μηδ' scripsi μήθ' libri edd | ὑπό του *BVa* | τανῦν libri edd 4 ἡμέτερος *Vi* 5 ὅλως (ον supra) *L* 6 τούτοις *B* 8 ἀπένευον *MaClViBVa* 9 παρακρουσάμενος *Vi* 10 ἐς *MaCl* 12 ἀδικεῖν om Re 17 ἐγίνετο *MaCl* 21 τά δ' *Pa* 22 „*fort.* τῆς κατ' ἐκείνων τόλμης (*subaudi* ἐμῆς)“ Re

ἐκείνης ἡλίσκετο. 38. *ἐντεῦθεν ὁ μὲν δόλους ἐπήρτυεν, ἡ δ' ὑπήγετο. καὶ ὁ μὲν ἐξὸν ἀνὴρ καλεῖσθαι μοιχὸς ἤθελεν εἶναι καὶ ἣν* | *ὑπὸ νόμοις εἶχε, ταύτην* R IV 597 *ὑποκλέπτειν ἐπεχείρει. ἡ δ' οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἑάλω τε πειρῶντος καὶ τοσαύτην ἄνοιαν ἀκρασίᾳ συνέμιξεν ὡς μηδὲ μετὰ τὴν πρώτην πεῖραν τἀνδρὸς ὑπιδέσθαι τὸ πικρὸν ἐκεῖνο ἐνθύμιον καὶ φρονῆσαι μὲν ἀξίως τοῦ γένους, ἐμὲ δὲ τὸν πατέρα καταιδεσθῆναι τηλικαῦτα τούτοις ἐπαισχυνόμενον.* 39. *ἤκουσεν ἡ πόλις τοῦ σκαιωρήματος, ἠχθέσθη καὶ πρὸς ἄμφω τοὺς τὸ καινὸν ἐκεῖνο δρᾶμα ἐκμελετήσαντας τὰ τῆς φήμης ἐπήρετο, τὰ τῆς αἰσχύνης ἐπηύξετο καὶ τὸ κακὸν ἐπ' ἀγορᾶς μέσης ἐπόμπευε, καὶ τὸ λοιπὸν διὰ γλώττης ᾔδετο πανταχοῦ ὁ παλαμναῖος καὶ μοιχείας ἑτέρας ἐφευρετής, ἡ σώφρων ἐκείνη θυγάτηρ καὶ νοῦ πολλοῦ γέμουσα καὶ φρενῶν, τρίτος ἐπὶ τούτοις ἐγώ. καὶ τὸν δεῖνά τις προσειπὼν ἐπέσκωψεν ἂν καὶ τὸν τῆς θαυμασίας κόρης πατέρα προσέθηκε.* 40. *τί οὖν ἔδει με, πρὸς θεῶν, ποιεῖν, ὦ κατήγορε; βαδίζειν ἐπ' ἀγορᾶς ἀπὸ τῆς ὕβρεως καλούμενον; δημηγορεῖν ἐπὶ βήματος ὑπὸ τῶν δεινῶν τούτων ῥητόρων καταγελώμενον; καὶ*

---

1 cf. p. 336, 11 4 Sopat. l. l. p. 230, 19 8 cf. p. 338, 19; 363, 6 9 Sopat. l. l. p. 230, 20 14 Anacreont. 36 (41), 3 17 Sopat. l. l. p. 230, 22 20 cf. t. IV 473, 18 R

---

1 *δόλους ὁ μὲν MaClViBVa* | *ἀπήρτυεν Vi* 2 *ἡ δ'* scripsi *ἥδ'* libri (*ἥ δ' Ma*) edd | *ἐπήγετο BVa* | *ἀνὴρ Ma* sed *νὴρ* in ras m[3] 4 *ἡ δ'* scripsi *ἥδ'* libri (*ἥ δ' Ma*) edd 5 *ἑάλωκε* Mor | *τε* inser *Va* om Mor 6 *μὴ δὲ* libri 8 *ἀξία Cl* 9 *τηνικαῦτα Vi* | *ἐπ' αἰσχυνόμενον Ma* 10 *σκευωρήματος* Mor Re cf. ad p. 325, 15 12 *ἐπήρετο BVa* Ferr | *ἀπ' BVa* 13 *τολοιπὸν LPaVa* Ferr | *τῆς* ante *γλώττης BVa* 14 *ἤδετο Vi* 15 *γρ θυγάτριον* in marg Mor 19 *θεοῦ Ma* 21 *δεινῶς Va*

τίσιν ἂν ὀφθαλμοῖς ἢ δικαστὰς προσεῖδον ἢ φίλους προσειπεῖν ἐθάρρησα ἢ καί τῳ τῶν ἄλλων ξυνήθων προσδιαλέξασθαι; πῶς δ' ἂν ταῖς ἀκοαῖς ταύταις ἤνεγκα τῶν μὲν ἐπιχλευαζόντων ἀκούων, τῶν δὲ κατελεουμένων τῶν γε μετριωτέρων τῆς τύχης, τῶν δὲ καὶ τοῖς οὐκ εἰδόσι διηγουμένων ὡς οὗτος τῆς δεῖνος ὁ πατὴρ καὶ νυμφίον ἔσχε πολλῷ τῆς κόρης σεμνότερον;

41. *Ἦ ταῦτα βαρέα μὲν ἀκούειν καὶ οὐδ' ἐπὶ σμικρὸν ἀνεκτὰ τοῖς γε νοῦν ἔχουσιν, ἔδει δὲ νουθετοῦντα πειρᾶσθαι σωφρονίζειν, ταῦτα γὰρ*
R IV 598 *πατρὸς ὑγιαίνοντος ἔργα. οὐκ οὖν | ἐνουθέτουν, παρῄνουν; ἀλλ' ἐπὶ τὰ τῆς χειρὸς τελευτᾶν τῶν λόγων ἀπελεγχομένων. οὐκ οὖν ἐπὶ τοῦτο κἀγὼ τελευτῶν ὥρμησα μετὰ τὰς πολλὰς παραινέσεις ἐκείνας, μετὰ τὰς μυρίας ἐπιπλήξεις τὰς πρότερον, μετὰ τὰς ψιλὰς τοῦ φόνου προσδοκίας ἃς αὐτοῖς πολλάκις ἐπέσεισα; τὸ γὰρ δεδιέναι φρουρὰν αὐτοῖς*

---

10 Sopat. l. l. p. 231, 13 sq.

---

2 ἢ inser *Ma*² | *ἄλλως Vi* | *συνήθων BVa* *ξυνήθως Vi* 4 *κατελεουμένων* scripsi *καὶ τελουμενων* e *καὶ τελούντων* corr *L* *καὶ* ^γ*τελουμένων Pa* *καὶ τελουμένων MaClViBVa* Ferr *καὶ γελωμένων* Mor sed *γρ τελουμένων* in marg, Re sed *κατελεούντων* coni cf. p. 328, 1; de medio cf. *ἐπαπειλούμενος* p. 347, 4 6 *εἰδόσιν Ma* | ὁ om *MaClVi* 8 ἦ scripsi ἢ libri edd 9 signum interrogationis post *ἔχουσιν* Mor Re 10 *πειρᾶσθαι* inser *Va*² 11 *πατρὸς* scripsi e *Vi* ut coni Re *πρὸς LPaMaClBVa* edd 11 et 13 *οὐκ οὖν* scripsi *οὐκοῦν* libri edd 12 *ἀλλὰ μάτην.* vel *ἄλλα ἐποίουν* coni Re | *τὰς BVa* | *τελευτᾶν Ma* sed *ν* add m³ *τελευτᾶσ Cl* *τελευτὰς BVa* 13 signum interrogationis post *ἀπελεγχομένων* edd delevi 14 *τελευτᾶν* Re 15 *ἐπιπλήξεις* scripsi e *MaClVi* *ἐκπλήξεις LPaBVa* edd 17 *ἀπέσεισα Cl* sed ἀ in ἐ corr m³ | *τὸ Ma* sed *ο* in ras m³ *τῶ BVa* | *δὲ* post *τὸ* Ferr Mor sed in hoc *γρ τὸ γὰρ* in marg, Re sed aut delendum aut in *τε* mutandum censuit delevi

οὐ παροπτέαν ἐπιστήσειν ἐδόκουν ὁ μάταιος καὶ τοῖς ἁπαλοῖς ἐξαπορήσας λόγοις τοῖς δριμυτέροις ἐπιστύφειν διενοούμην ἃ δράσειν ἤμελλον, ταῦτα πρὸ τῶν ἔργων ἐπαπειλούμενος. 42. *ὡς δ' οὐδὲν οὐδ' οὕτω τοῖς λόγοις ἐπέραινον, ὁπλίζω μετὰ τοῦ δικαίου τὴν χεῖρα καὶ πρὸ τῆς χειρὸς τὴν γνώμην καὶ τῶν Ἀσκληπιαδῶν μιμοῦμαι τοὺς σοφωτέρους οἳ πρὸς τοὺς καυτῆρας καὶ τὴν τομὴν ἀφορῶσιν, ἐπειδὰν εἰς οὐδὲν αὐτοῖς τὰ φάρμακα τελευτήσῃ. τοῦτο τέλος τοῖς μὲν τοῦ δόλου καὶ τῆς μιαρᾶς ἀπάτης ἐκείνης, ἡμῖν δὲ τῆς ἐκεῖθεν ἀδοξίας, οὐ γὰρ δήπου καὶ τῆς ἀτυχίας ἔχω λέγειν.* 43. *ἐξέκοψα μοιχὸν ἄνδρα τῆς πόλεως, ἀνεῖλον νυμφίον πολέμιον, ἐπέθηκα καὶ φόβον τοῖς κηδεσταῖς, ἐτήρησα τοῖς πατράσι τὰς περιουσίας, ἐδίδαξα τοὺς ἄνδρας τὴν νόμῳ γημαμένην στέργειν, ἐφόβησα τὰς γυναῖκας ἀποκλίνειν πρὸς ἑτέρους παρ' οὓς οἱ πατέρες αὐτῶν ἠγάγοντο, ἐπετείχισα τὴν ὑποψίαν τοῖς γένεσι. τίς γὰρ ἂν εὐνὴν ἑτέρου κακῶς ὑποκλέπτειν ἔτι τολμήσειεν οὕτω μέχρι καὶ σήματος ὁρῶν τὸν μοιχὸν κολαζόμενον;*

44. *Τί μοι τὸν | λόγον ἐπιταράττειν ἐπιχει-* R IV 599

6 sq. cf. p. 360, 9. Plat. rep. III p. 406 A et D   16 Od. δ 10   20 sq. Sopat. l. l. p. 230, 14 sq.

2 *ἁπλοῖς B Va* | *ἐπιστίφειν B Va*   3 *ταῦτα Ma* sed e *τοῦτο* corr m[3]   4 *δ'* om *Vi*   5 *ἐπέραινον* scripsi e *B Va*   *ἐπέρανον LPaMaClVi* edd | *ὁπλίζομαι Va* sed *ομαι* in *ω* corr   7 *καυτῆρας Ma* sed *υ* in ras m[3]   *κρατῆρας ClVi* | *καὶ* inser *Ma* om *ClVi*   9 *τελευτῶσι B Va* | *τοῦ Ma* sed *οῦ* in ras m[3] | *δόλου Ma* sed *ό* in ras 2 litt m[3]   *δούλου Vi*   10 *εὐδοξίας Vi*   14 *περιουσίας Ma* sed *περιουσ* in ras m[3] | *τὸν νόμον Ma ClViB Va*   15 *γημάμενον Vi*   *γημαμένους B Va*   16 *ἑτέρους* scripsi ut coni Mor Not et Re coll p. 350, 16   *ἕτερον* libri edd   17 *ἐπετείχισα Ma* sed *ε*(1) ex *α* corr m[3]   18 *ἀποκλέπτειν Ma*   19 *καὶ* ante *μέχρι Vi* | *σχήματος MaClViVa* | *τὸν μοιχὸν ὁρῶν MaClVi*

ῥεῖς καὶ τοῦ μοιχὸς ὀνόματος μεταξὺ λεγομένου δραξάμενος μέγα τι καὶ σχετλιάζων ἀνέκραγες· ἀλλ' οὐ μοιχὸς ὁ πεσὼν οὐδ' ἡ κειμένη μεμοίχευτο; τίνα γάρ σοι καὶ δοκοῦσι τὰ μοιχῶν, ὦ βέλτιστε; ἀλλὰ καὶ πάλιν μετὰ τῶν δεινῶν ἐπιρρεῖ μοι τὰ δάκρυα. δεῖ γάρ με δυστυχῆ τινα τοῦτον ἀγῶνα δραμεῖν καὶ τοῖς αὐτὸν αὑτοῦ κακοῖς, ὡς ἔοικε, πολλή τις ἀνάγκη σώζεσθαι. 45. *ὡς εἴθε λέγειν παρῆν μηδὲν αἰσθανόμενον. νῦν δ' ἅμα δεῖ με δυοῖν κακοῖν ἀνέχεσθαι βαλλόμενον καὶ νῦν μὲν ἐπιστομίζειν πειρᾶσθαι τουτονὶ τὸν καὶ τῆς τύχης βαρύτερον, νῦν δ', ὡς οἷόν τε, πρὸς τὴν τοῦ πάθους ἀπομάχεσθαι μνήμην αὐτῆς μου τῆς ψυχῆς μέσης καθικνουμένην καὶ ὅλας δακρύων πηγὰς ἐκ τῶν ὀφθαλμῶν ὀχετηγοῦσαν, ὡς καὶ τὸν νοῦν καταβαπτίζειν καὶ καθ' ὁδὸν οὐκ ἐᾶν προβαίνειν τοὺς λόγους.*

46. *Σκοπητέον δ' οὖν ὅμως, ὦ ἄνδρες, τίς μὲν ὁ μοιχός, τίνα δὲ καὶ τὰ τῆς μοιχευομένης. οὐκοῦν ὁ μοιχεύσων πρῶτα μὲν δεῖται προαγωγῶν, μαστροπίδων, θεραπαινίδων. λόγους τοὺς μὲν εἰς ἔρωτα καὶ γυναικὸς ἀπάτην ἐπετεχνάσατο, τοὺς δὲ πολλάκις, εἰ τύχοι,*

---

2 cf. t. IV 444, 5   20 Opp. hal. III 194

---

2 *οὐ γὰρ ὁ πεσὼν Va* | *μοιχὸς Ma* sed *ι* in ras m[3]   3 *μεμοίχευται MaClVi*   *ἐμεμοίχευτο* coni Mor Not   cf. p. 349, 20   4 „*malim ἀλλὰ γὰρ καὶ πάλιν*" Re   5 *μου MaViVa*   6 *δυστυχῆ*] *δὶς BVa*   7 *αὐτοῦ* libri edd | *πολλή τις ἀνάγκη σώζεσθαι* in lac 15 fere litt om *B* | *ἀνάγκη σώζεσθαι*] *ἀνασώζεσθαι MaClViVa*   9 *ἅμα* scripsi auctore Re *ἀλλὰ* libri edd | *ἀνέχεσθαι* scripsi auctore Re *ἀντέχεσθαι LPaBVa* edd *ἀντέχεας MaCl* *ἀντέχειν Vi*   11 *οἷός τε* Re   13 *ἐκ τῶν ὀφθαλμῶν* om *B*   14 *ὡς* om *Vi*   16 *ὅμως* inser *Ma*[3]   18 *μοιχεύσων* scripsi e *MaClVi* *μοιχεύων LPaBVa* edd | *μαστρωπίδων ClBVa*   19 *γυναικὸς* reposui e libris *γυναικῶν* edd sed *γρ γυναικὸς* in marg Mor   20 *τὰ MaClBVa*

καὶ προσεπιχαράξας τῷ πίνακι τὸ πάθος ἐσήμηνε. δῶρα πολλὰ τὰ μὲν παραυτίκα προὔτεινε, τὰ δὲ μετ' οὐ μακρὸν ὑπισχνεῖται. ἐπὶ δὴ τούτοις ἡ κόρη προσίεται τοὺς λόγους, τὰ δῶρα, τὰς ἀγγελίας, τὰ γράμματα καὶ πρὸς ὅπερ ἐκεῖνος ὁ γεγραφὼς ἐθέλει κατένευσεν. ἔπειτα δέχεται τὴν ὑπόσχεσιν, ἐκεῖνος λαμβάνει τὸ ξύνθημα, καὶ πέρας ἔχει τὸ τόλμημα. 47. *τούτων οὐδὲν ἐνταυθοῖ παρῆκεν οὔθ' ἡ σεμνὴ παῖς ἐκείνη καὶ σώφρων οὔθ' ὁ καλὸς ἐκεῖνος νυμφίος ὁ μᾶλλον τῆς ἐμῆς περιουσίας | ἢ τῆς παιδὸς ἐραστής, ἀλλ' ὑπ'* R IV 600 *ἀμφοῖν καὶ τὰ τῶν ἀλλοτρίας εὐνῆς πειρωμένων πάντα τετέλεσται καὶ τῶν ὅσα γυναικὸς παραγομένης οὐδὲν ἐνεδέησεν, ἀλλ' ὁ μὲν ἀγγελίας καὶ δώρων ὑποσχέσεις προὔπεμπε καὶ ἦσαν οἱ ταῦτα· φέροντες, ἡ δ' ἡδέως ἐδέχετο. καὶ τὸ δὴ μεῖζον καὶ τελευταῖον, ὡς ἐπὶ τοιούτοις ξυνήεσαν ἄμφω καὶ τέλος εἶχεν ἡ σκηνὴ καὶ τὸ δρᾶμα, ὁ μὲν τὸ τοῦ μοιχοῦ περικείμενος προσωπεῖον ἐλάνθανεν, ἡ δ' ὡς ἀλλοτρίῳ περιεπλέκετο καὶ τοὖργον ἦν ὡς οὐκ ἐν εἰδόσι γιγνόμενον. ὅπου δὲ ταῦτα πάντα ξυνεληλύθεσαν, πρὸς Διός, πῶς οὐ μοιχεία τὸ σκαιωρούμενον;*

---

1 *πινακίσκῳ* Iacobs Lect | *καὶ* ante *τὸ* Mor Re qui delendum censet aeque atque Iacobs Lect | *ἐσήμηνε L* *ἐσήμαινε MaClViVa* *ἐσήμανε B* 2 *προέτεινε L* Ferr *προτεῖναι Ma* *προτείναι Cl* *προτείνει Vi* *προτεῖναι BVa* | *μετον ClVi* 3 *μακρὸν* scripsi auctore Re *μικρὸν* libri edd | *ἐπὶ δὴ τούτοις* in lac 7 litt om *B* | *δὲ Ma* | *ἡ*] *καὶ Ma* 5 *ἐθέλοι Cl* 6 *ἐκεῖνος Ma* sed *ἐκε* in ras m[3] 7 *σύνθημα BVa* 10 *τῆς*] *τοῦ MaCl* | *ὑπ' ἀμφοῖν* scripsi *ἐπ' ἀμφοῖν* (*ἐπαμφοῖν Cl*) libri edd 13 *ἐνεδέησε Vi* *ἐδέησεν BVa* 14 *προὔπεμπεν LPaClVa* edd cf. ad p. 334, 11 | *ἡ δ'* scripsi *ἡδ' Cl* *ἦδ'* reliqui libri edd 18 *ἡ δ'* scripsi *ἡδ' Ma* *ἦδ'* reliqui libri edd 19 *ἐν οὐκ MaClVi* 20 *ξυνεληλύθεσαν* reposui e libris *ξυνεληλύθησαν* edd sed „*aut ξυνεληλύθεισαν aut ξυνεληλύθεσαν leg.*" Re 21 *σκευωρούμενον* Mor Re cf. ad p. 325, 15

48. *Περὶ μὲν οὖν τῆς παιδὸς τοσοῦτον ἐγὼ δυστυχὴς καὶ τοῦτο τὸ μέρος ὁ κακοδαίμων ὡς μηδὲ πλειόνων δεῖσθαι λόγων ὡς οὐ πάλαι προὔδωκε τὴν σωφροσύνην ἐκείνη. εἰ γὰρ τὸ βούλεσθαι πανταχοῦ τοῖς νόμοις ὑπεύθυνον καὶ τὰ τῆς γνώμης ἀνιχνεύειν προὔργου τοῖς δικασταῖς, τό γε μή τινα τῶν ἀλλοτρίων εἶναι τὸν ἐξαπατῶντα οὐκ οἶμαι τοῦ μεμοιχεῦσθαι ταύτην δοκεῖν ἐξελέσθαι, ὅτι μηδὲ τὸν ὡς ἀποκτενοῦντα τὸ βέλος ἐπιρρίψαντα μέν, οὐκ εὐτυχήσαντα δὲ τὴν βολὴν τοῦ δοκεῖν ἀνδροφόνον τὸ μὴ τὰ καίρια τυχεῖν ἀπολύσεται οὐδὲ τὸν νυκτὸς ἐπιθέμενον μὲν ὡς ὑφαιρησόμενον, φωραθέντα δὲ πρότερον τοῦτ' αὐτὸ τὸ μὴ λαβεῖν ὡς ἀνέγκλητον ἐξαιρήσεται.* 49. *τοῦτό τοι καὶ ὁ δεινὸς ἐκεῖνος ἀνὴρ · ἐξηπίστατο καὶ τῇ προαιρέσει τὴν μοιχείαν ἐπέγραφε καὶ τοσαύτας εἶχε προῖκας ὁπόσα τὸν νοῦν ἐκείνη πρὸς ἑτέρους ἀπέκλινε. καί μοι τίς ἂν καὶ τολμήσαι φθέγξασθαι μὴ μοιχὸν εἶναι τὸν*
R IV 601 *τὰ τοιαῦτα πειρώμενον; αὐτὸς ἐκεῖνος | οἷς τὴν ἐμὴν παῖδα τὰ τῶν μοιχευομένων κατέκρινε, τούτοις ἑαυτὸν ἐν τοῖς αὐτοῖς ἐνεχόμενον προδήλως ἀπέφαι-*

---

1 „*fort.* *τοσοῦτον λέγω· δυστυχὴς εἰς τοῦτο τὸ μέρος καὶ κακοδαίμων*" Re 2 *ὁ καὶ τοῦτο τὸ μέρος κακοδαίμων* Iacobs Lect | *μὴ δὲ* *LPaMaClViVa* Ferr 3 *πάμπαν* Iacobs Lect 6 *οὐ τόγε μή* coni Mor 7 *οὐκ* inserui e *MaClViBVa* om *LPa* edd sed *οὐκ ἂν* inserendum coni Re 8 *μὴ δὲ* *LPa MaClViVa* Ferr 10 *βουλὴν* *MaClViB* sed in hoc *υ* eras, Ferr | *τὰ* om *BVa* 12 *τὸ* inser *Va* om *MaClVi* 13 *τοῦτό* — 14 *ἐξηπίστατο* inserui e libris om edd sed latine reddidit verbis *hoc profecto etiam callidus ille vir noverat* Mor 15 *ἐπέγραφε* *Ma* sed *ε*(3) in ras m³ 17 *τολμήσαι* scripsi e *PaMa ClVi* ut coni Re *τολμῆσαι* *BVa* sed in hoc ˜ in ´ corr m² *τολμήσας* *L* edd | *τὸν τὰ*] *τόνδε* Mor 19 „*locus hic depravatus est. utcunque mollias addendo* *παθεῖν* *post* *μοιχευομένων*. *Verum tamen aliud melius requiro*" Re at cf. praef. p. 318, 35 | *κατέκρινεν* *Vi* 20 *ἐν* scripsi *ἐπὶ* libri edd sed aut delen-

νεν. οὐ γὰρ ἂν ἐκείνην μὲν ἀποκλείεσθαι δίκαιον τὴν παθοῦσαν, τὴν ἠπατημένην, τὴν τὰ μείζω πάντων ἐξυβρισμένην, τὸν δ' οὕτω παρακρουσάμενον καὶ τὴν ὅλην ἐπεσκευακότα ὕβριν ἀζήμιον εἶναι καὶ παντάπασι πρόδηλον καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καί, τὸ δὴ μεῖζον, προσαποκερδαίνειν τῆς ὕβρεως. 50. εἰ δ' οὐκ ἐκεῖνος τὰ τῶν μοιχῶν ἐκακούργει, τί τὴν συνοικοῦσαν λοιπὸν ὡς ἀπὸ μοιχικῶν νόμων ἐξώθει τῆς οἰκίας; οὔτε γὰρ ξίφους ἔργον γένοιτ' ἄν τις μὴ παρούσης ἀνδροφόνου χειρὸς οὔτ' ἂν γυνὴ μοιχείας ὑποσταίη γραφὴν μὴ προϋφεστῶτος τοῦ τὴν εὐνὴν ὑποκλέψαντος. 51. ἔπειτα τίς οὐκ ἂν μυσαχθείη τῆς πονηρίας ἄνδρα γυναικὸς ὑβριστήν, νυμφίον τοῦ κήδους πολέμιον, ξύνοικον τοῦ γένους ἐπίβουλον καὶ τοσαύτης ἀδοξίας κέρδος μικρὸν ἀνθελόμενον καὶ τοῦτο πικρὸν καὶ θεοῖς ἀποτρόπαιον καὶ ταῦτα παρὸν κεκτῆσθαι μετ' εὐδοξίας καὶ προσαπολαύειν μετὰ καὶ τῆς γυναικὸς βέλτιον, εἰ σωφρονεῖν ἐκεῖνος ἠπίστατο;

52. *Εἰ δὲ* μοιχὸς οὗτος ἦν καὶ μοιχῶν ἁπάντων ἔχθιστος καὶ τοσούτῳ μᾶλλον κολάζεσθαι δίκαιος, ὅσῳ καὶ πολλῷ καινότερον ἐφεῦρε πονήρευμα, τί μὴ δι-

12 cf. p. 337, 5

dum aut in *ἐπιτιμίοις* mutandum censet Re *ἔτι* coni Iacobs Lect | *ἐναχόμενον L* *ἀνεχόμενον Ma* sed *ἀ* in *ἐ* corr m², *ClVi*

1 *ἂν* om *BVa* | *εἴη* post *δίκαιον* inserendum videtur 4 *ἀπεσκευακότα B* | *καὶ* om *MaClVi* 5 *παντάπασιν MaVi* „*num ἀπαντᾶν πᾶσι? non satis placet*“ Re | *προσῆκον MaClVi* | *καί* om *Vi* 7 *τῶν* om *BVa* 9 *γένοιτοτ' Vi* | *τις* reposui e libris cum Morello Not et Cobeto Coll 297 *τι* edd 10 *γυνὴ* reposui e libris *τις* edd *γυνή τις* coni Re 12 *ὑποκλέψαντος* scripsi *ὑπεκλέψοντος* libri edd 15 *ἀνελόμενον* Ferr Mor sed in hoc *γρ ἀνθελόμενον* in marg 17 *καὶ τῆς*] *καλῆς* Iacobs Lect 19 *δὲ* scripsi e *MaVa* *δὴ LPaClViB* edd 20 *αἴσχιστος Va* sed *γρ ἔχθιστος* in marg | *τοσοῦτον Vi* 21 *δικαιότατον BVa*

καιότατα πέπτωκεν, ὦ σὺ καὶ ὑπὲρ τὸ δέον φιλάνθρωπε; εἰ δ' ἐχρῆν τοιαύτην πονηρίαν ἐκκόψαι τῆς πόλεως, αὐτὸς ἐγὼ πρὸς ἐκείνου τηλικαῦτα περιύβρισμαι, αὐτὸς ἐγὼ τὸ λοιπὸν καὶ καλῶς ἠμυνάμην καὶ κακῶς ὑπ' ἐκείνου παθὼν οὐ κακῶς ἐπήνεγκα καὶ τὴν δίκην καὶ ἄμφω τῆς ἐκ τοῦ ζῆν ἀδοξίας ἔπαυσα, καὶ τοῦτο τὸ
R IV 602 μέρος ἐκεῖνοι καὶ πεσόντες | παρ' ἡμῶν εὐηργέτηνται. τί γὰρ ἂν τοῦ κακῶς καὶ μετ' αἰσχύνης βιῶναι λέγειν ἔχοι τις αἴσχιον; 53. εἰ δ' ἐκεῖνοι νοῦν γενναῖον ἐτύγχανον ἔχοντες καὶ λογισμὸν ἐκ μεταμελείας ἀνελάμβανον σώφρονα, οὐκ ἂν ἑαυτοὺς αὐτοὶ τοῦθ' ὅπερ ἡμεῖς πάλαι προὔλαβον δράσαντες, ἐξότουπερ πανταχῇ τὸ κακὸν διακεκωδώνιστο καὶ τὰ κάλλιστα τῶν ὀνομάτων εἰς τὰ πάντων αἴσχιω μετέβαλον ἀντὶ μὲν νυμφίου μοιχός, ἀντὶ δὲ γυναικὸς ἐννόμου καὶ σώφρονος ἀκόλαστος καὶ τῆς εὐνῆς προδότις ἀποκαλούμενοι; 54. πόσοι τοῦ κακῶς ἀκοῦσαι τὸ μηκέτι ζῆν ἀντηλλάξαντο. ἤδη τινὲς ὕβριν εἰς τὸ σῶμα δεξάμενοι βίᾳ τυχὸν πολεμίων εἴθ' ὑπὸ ἑτέρας ἡστινοσοῦν ἀνάγκης πίπτουσι μετὰ τὴν ὕβριν αὐτόχειρες καὶ τὸ τῇ γνώμῃ σωφρονεῖν ἐπιβεβαιοῦσι, κἂν τὸ σῶμα ἡ τύχη ἐξεβιάσατο. τί γὰρ τοῦ μοιχὸν εἶναι δοκεῖ σχε-

4 Sopat. l. l. p. 230, 25 16 Anacreont. 58 (52), 20

2 δὲ χρῆν *Vi* 3 ἐκείνου *Ma* sed ου in ras m[3] 4 τολοιπὸν *LPaMaViBVa* edd 6 εὐδοξίας *Ma* sed γρ ἀδοξίας in marg m[2], *Cl* | καὶ scripsi e *MaClViBVa* coll p. 350, 2 κατὰ *LPa* edd 7 καὶ inserui e *MaClViBVa* om *LPa* edd 9 αἴσχιστον *B* 11 ἑαυτοὺς αὐτοὶ scripsi αὐτοὺς ἑαυτοὶ *BVa* αὐτοὺς ἑαυτοὶ *LPaMaCl* αὐτοὺς αὐτὸ *Vi* αὐτοὶ ἑαυτοῖς edd sed „*malim* αὐτοὶ ἑαυτοὺς" Re 12 ἐξ ὅτουπερ *ClVi* 13 κεκωδώνιστο *Vi* 16 προδότης *LPaMaClBVa* Ferr | ἀποκαλούμενος *BVa* 18 ἀνηλλάξαντο *Pa* 19 εἴθ' *Pa* 22 δοκεῖν libri corr Ferr

τλιώτερον; τί δὲ γυναικὶ σωφρονούσῃ τοῦ τὴν τἀνδρὸς καταισχύνειν εὐνὴν οὐ κουφότερον; 55. *ὑπὲρ τίνων καὶ πατέρες μαχόμεθα καὶ ἄνδρες φέρουσι πίπτοντες; ὅτι παῖδές που πάντως καὶ γυναῖκες ἡμῖν τὰ τιμιώτατα. κἄν τις εἰς τὰ φίλτατα ἐξυβρίσῃ, τὰ ὅπλα εὐθὺς ἁρπάζομεν. ὑπὲρ τίνων καὶ πόλεις ἔχομεν καὶ νόμους ταττόμεθα καὶ ὅπλα φέρομεν καὶ βουλὰς ἀθροίζομεν καὶ πρὸς βῆμα φθεγγόμεθα, τοὺς δὲ τυραννεῖν ἑλομένους καὶ τὰς ἀκροπόλεις περισκοποῦντας οὐ τούτου γε ἕνεκα καὶ μισοῦμεν καὶ κολάζομεν καὶ πᾶν ὅ τι καὶ δεινὸν μικρὸν καὶ | οὐδὲν ὡς ἐπὶ τυραννίδι* R IV 603 *νομίζομεν;* 56. *οὐκοῦν ἃ πρὸς ἑτέρους τοὐμὸν γένος αἰσχύνοντας διεπραξάμην ἂν δικαίως, ταῦτα καὶ τοὺς οἰκείους ὑπ' αὐτῶν περιυβρισμένος διέθηκα. καίτοι τοῦτο πολλῷ χεῖρον καὶ πλείονος γέμον αἰσχύνης ἤπερ εἰ παρά του τῶν πολεμίων ἀδοξεῖν ἠναγκάζοντο. ἐκεῖ γὰρ μόνης τῆς βίας ἂν ἐδόκει τὸ κακόν, ἐνταῦθα δὲ πρὸς τὴν γνώμην ἡ φαυλότης ὁρᾷ. τὸ δ' ἑκόντας ἐξαμαρτεῖν οὔτε τινὰ παρὰ τοῖς νόμοις ἀποφέρεται συγγνώμην καὶ τὸ παντελῶς ἀδοξεῖν προσεφέλκεται.* 57. *εἰ μὲν οὖν ἕτερόν τινα τρόπον ἐνῆν τὴν ὕβριν ἀποσκεδάσαι καὶ τηλικαύτην ἀδοξίαν ἀποφυγεῖν τῆς*

---

9 cf. p. 253, 3. t. VI 620, 12

---

1 *σωφρονούσῃ Ma* sed *ύσῃ* in ras m[3] *σωφροσύνῃ* Re | *τοῦ τὴν τἀνδρὸς* scripsi auctore Re *τὴν τοῦ ἀνδρὸς* libri edd sed *τοῦ τὴν τοῦ ἀνδρὸς* coni Mor 6 *νόμοις* libri et *γρ* in marg Mor corr Ferr „*aut servanda vulgata aut, si νόμοις praeferamus, legerit ὑποταττόμεθα*" Re 8 *βουλομένους MaCl* sed in hoc *ἑ* supra *βου*, *ViBVa* 10 *ὅτι ClVa* 12 *οὐκοῦν Ma* sed *οὖν* in ras m[3] 13 *διεπραξαίμην* (α supra ε et αι) *Ma* *διεπραξαίμην Cl* 15 *γέμων LPaCl* 16 *παρὰ τούτων Va* 20 *ἀδοξεῖν Ma* sed *α* in *ευ* corr m[3] 22 *καὶ* inserui e *MaClViBVa* ut coni Re om *L Pa* edd

τυχούσης τιμησάμενον δίκης, ἐμοὶ μὲν τοῦτο οὔτε πρότερον ἐπῄει λογίσασθαι, ἀλλ' οὐδὲ νῦν ἔχω ξυνορᾶν ὅπως οὕτω τι μέγα καὶ δεινὸν αἶσχος ἑτέρως ἄν τις ἐνθυμηθεὶς ἀποτρίψαιτο. 58. *εἰ δὲ νῦν ὁ κατήγορος ξυνῆκέ τι σοφώτερον, ἐγὼ μὲν ξυγγνωστὸς ἂν εἴην ὡς ἐς τοσοῦτον κακοῦ μέγεθος ἀξίαν καὶ τὴν τομὴν ἐφευράμενος καὶ τοῦτο μόνον τὸ τὴν ἐπιπονωτέραν ἴσως τραπέσθαι κακίζεσθαι δίκαιος καὶ ἅμα ἄνθρωπος τὸ πολὺ τοῦ φρονεῖν, μᾶλλον δὲ τὸ πᾶν ἀφῃρημένος οἷς ὁ θυμὸς μετὰ βαρείας οὕτω τοι τῆς ἀθυμίας πολὺς κατὰ καρδίαν ἐπιχυθεὶς ὅλον μοι τὸν νοῦν συνεθόλωσεν· ὁ δ' οἷς οὐ πρὸς ξυμβουλὴν τοῦτό μοι τὸ σοφὸν φέρων κατέθηκε πρότερον, εὐλόγως ἄν, οἶμαι, νομίζοιτο τῶν ἁπάντων ἀνδρῶν ὁ σκαιότατος καὶ τοῖς τῶν πολιτῶν ἐλλοχῶν κακοῖς καὶ τοῦτο τῆς ἐκκλησίας καρπούμενος.*

59. *Εἰ δὲ καὶ βαθύτερόν τι διαλογιεῖσθε, γνοίητ' ἂν ὡς μέχρις ἂν ἐπὶ τῆς πόλεως εἶχον ἐκεῖνοι τὰ σώματα, καὶ τὸ αἶσχος ἐπήνθει καὶ τὸ κακὸν ἐπεκώμαζε. μᾶλλον μὲν οὖν οὐκ ἔσθ' ὅπως μὴ καὶ τὸ τῆς φήμης* R IV 604 *πτερὸν ταχὺ φερόμενον τὴν ὕβριν | ἁπανταχῇ διεσύριττε καὶ ζώντων ἂν τὰ τῆς αἰσχύνης συνέζη τε πάντως καὶ συνηύξετο.* 60. *καί που καὶ πολὺς τοιοῦ-*

---

12 cf. t. II 362, 3 15 Alciphr. II 3 22 Sopat. l. l. p. 231, 16

---

3 *τί Va* | *ἑτέρως Cl* sed *ως* in ras m³ 5 *συνῆκε Ma* | *τί MaClViVa* 6 *τοσοῦτο MaCl* *τοσούτον Vi* 7 *τοῦτο* in *τούτω* et *τὸ* in *τῶ* corr *Ma* 10 „*malim τι*" Re 11 *ἐπιχυθεὶς* scripsi auctore Re *ἐπισχεθεὶς* libri edd 12 *ὅ δ' L* Ferr Mor *ὃ δ' PaMaClViB* Re 15 *τῶν* om *Va* 20 *τὸν Vi* 22 *τὰ τῆς αἰσχύνης* om *B* | *τε* om *B*

τος ὑφεῖρπε λόγος παρὰ τοῖς ἀστυγείτοσι, παρὰ τοῖς ἐνταυθοῖ ξένοις, παρ' ἡμῖν αὐτοῖς· ἄνθρωπος εἷς ὅλην πόλιν, ὅλον γένος ἐξύβρικε. καὶ οὔθ' ὁ τῆς κόρης πατὴρ οὔθ' οἱ τοῦ λοιποῦ γένους οὔθ' οἱ τῆς πόλεως φροντισταὶ τὴν ὕβριν περιαιροῦσιν. ἀλλ' ἡ μὲν φήμη οὕτω πικρά τις καὶ πάνδημος καὶ οὐκ ἔσθ' ὅποι οὐ φέρεται, ὁ δὲ πατὴρ οὐ λογίζεται τὴν ὕβριν, τὸ δ' ἄλλο γένος οὐχ ὑφορᾶται τὴν ἀδοξίαν. οἱ δὲ σεμνοὶ καὶ νομοφυλακοῦντες οὗτοι κάθηνται ὥσπερ γεγηθότες ἐφ' οἷς ἡ πόλις αἰσχύνεται καὶ οὔτε τῶν νόμων παραβαινομένων ὑπεραλγοῦσιν οὔτ' αὖ τῶν ὅρκων φόβος οὐδεὶς αὐτοὺς ὕπεισιν, οἷς ἔμπεδα τὰ τῶν νόμων τηρεῖν ἐπωμόσαντο.

61. *τὸ γένος περιύβρισται, τοῖς δὲ τοῦ γένους λόγος οὐδείς. ὁ τῶν ὅλων πατὴρ Ζεύς, τὸ ἐπὶ τούτοις, ἠτίμωται, ὁ δὲ πατὴρ οὐκ ἀλγεῖ. Ἥρας γαμηλίου θεσμὸς ἠδίκηται, τοῖς δ' ἐπὶ τοῦτο τεταγμένοις τοῦ πράγματος ὅλως οὐκ ἐμέλησεν. ἡ πόλις ὅλη μετὰ καὶ τῆς δίκης αὐτῆς ἀδοξεῖ, τῶν δὲ δικαστῶν οὐκ ἔστιν ὃς οὐκ ἀποσιωπᾷ.*

---

14 Testim. apud Dem. cor. § 137 p. 273, 8 16 cf. t. V 389, 9

---

1 *ἐφεῖρπε B ἐφῆρπε Va* | *ἀστυγείτοσιν περὶ Ma* 2 comma post *ξένοις* posui punctum libri edd 7 *ὅπη BVa* 8 *δὲ Vi* 12 *παραβαινόντων B* | *ὑπεραλγοῦσι Cl* 13 *αὐτῶν Ma ClViVa* Ferr Mor | *αὐτοὺς* om *BVa* 14 *οὓς Vi* | *τὰ* om *B Va* | *τὸν νόμον* in *τῶν νόμων* corr *Va* | „*malim τηρήσειν*" Re 15 *περιύβριστον B* 16 *ὅλος MaClViVa* | *ἄλλων Vi* 17 *ἠτίμωμαι Vi* | *ὃ MaVi* | *δ' ὁ MaClVi* 18 *τούτω MaCl* sed in hoc *ύτω* ex *ῦτο* corr, *Vi* „*malim τούτῳ*" Re 19 *ἐμέλησεν* scripsi e *MaViVa* ut coni Re *ἐμέλλησεν Cl ἠμέλησεν L Pa* edd

62. *τούτους μετήλλαξα τοὺς λόγους ἐγώ, ταύτας μετήμειψα τὰς φωνάς, τηλικαύτην ἀδοξίαν ἔπαυσα. καὶ νῦν τό τε τῆς φήμης πικρὸν ἔσβεσται καὶ οὔτ' ἐμὲ τὸν πατέρα οὔτε τοὺς λοιποὺς τοῦ γένους οὔθ' ὑμᾶς αὐτοὺς οὐδ' ἂν τῶν πάνυ φιλαιτίων ἔχοι τις αἰτιᾶσθαι, ἀλλ' ἔστι πολὺς οὗτος ὁ λόγος παρὰ τοῖς ξένοις, παρὰ τοῖς αὐτόχθοσιν, ἐπὶ θεάτρων, ἐπ' ἀγορᾶς, ἐπ' ἐκκλησίας, ὡς οὐκ ἦν ἄρα ἐπὶ μακρὸν λήσεσθαι τοὺς ἐπὶ τοιαύτης ὑβρίζοντας πόλεως οὐδὲ πρὸς δημοκρατίας*
R IV 605 *οὕτω | σεμνῆς περιόψεσθαι τὸ δεινὸν ὑφέρπον τε καὶ λωβώμενον, ἀλλ' ὁ συζευξάμενος τὸν γάμον πατὴρ καὶ τὰ πατρὸς ἐτήρησε καὶ ὁμόγνιον Δία καὶ Ἥραν συζυγίαν ἐτίμησε πρότερον καὶ νῦν οὗτος τούς τε τοῦ γένους τήν τε πόλιν ἀδοξίας οὐ τῆς τυχούσης ἐξείλετο καὶ γάμων ὕβριν ἐξέκοψε καὶ οὔτε τῆς παιδὸς ὑπεισῆλθέ τις οἶκτος αὐτὸν οὔθ' ὅσα ἐφ' οἷς ἔτρεφεν ἐκείνην ἀνάλωσεν ἐπῆλθε τῷ λογισμῷ οὔθ' ὡς οὐδὲν πατέρων ὀφθαλμοῖς γλύκιον τοῦ παῖδας ὁρᾶν ἔχειν ἐσκέψατο, ἀλλ' ὑπερεῖδε πατρικῶν σπλάγχνων ἀνάγκην, ὑπερεῖδε τοὺς ἐπὶ παιδοτροφίᾳ πόνους, οὐκ ἐλογίσατο τὴν περὶ τοὺς γάμους δαπάνην, οὐκ ἐσκέψατο τοὺς μετέπειτα παῖδας οὓς εἶχεν ἄν, εἰ μὴ τὴν κόρην ἐφ' οἷς εἶλε μετεπορεύσατο, ἀλλ' ἐπὶ τοὺς νόμους ἔβλεψεν,*

---

1 Nonn. Dion. IV 182 11 Sopat. l. l. p. 231, 20 sq. 12 Eur. Andr. 921. Arist. ran. 750. Plat. leg. IX p. 881 D 19 Arist. nub. 1036; ran. 844. 1006. Eur. Cycl. 424 23 Lys. or. 31 § 2 p. 187, 1

---

1 *μετήλλαξα BVa* 3 *τότε Va* | *μικρὸν BVa* 6 *ἔστι* scripsi e *Vi* *ἔτι LPaMaClBVa* edd 7 *θεάτρον MaClVi* 10 „*malim περιόπτεσθαι*" Re | *ὑφέρπον Ma* sed *ὑ* in ras m[3] 11 *ποτὲ BVa* 14 *γε ClVi* | *γε Vi* | *ἀδοξίαν Vi* 16 *ὑπεισῆλθε τίς MaClVi* 18 *τοῦ Ma* sed *ῦ* in ras m[2] *τοὺς ClVi* | *ὁρᾶν ἔχειν ἐσκέψατο* in ras *Ma*[3]

ἐπὶ τὴν πόλιν ὅλους ἀφῆκε τοὺς λογισμούς. 63. *εἶδεν ὡς τὸ μηδὲν παρ' ἐκείνοις οἱ νόμοι καὶ τὰ τῆς πόλεως περιύβρισται καὶ παραυτίκα ὅλος τοῦ δικαίου καὶ τῆς θρεψαμένης γίγνεται καὶ δραμάτων τὴν οἰκίαν ἐνέπλησεν, ἵν' ἔχοι μηδὲν ἡ πόλις αἰσχύνεσθαι καὶ οὐδὲ δικαστῶν καὶ βήματος ἐπὶ τούτοις ἠνέσχετο, ἀλλ' ἐξ ἧς οἰκίας, ἀφ' οὗ γένους τὸ κακὸν ἀνεφύη, παρ' αὐτῶν ἐκείνων ἔκρινε δεῖν ἐκκεκόφθαι.*

64. *Ὅτι δὲ καὶ τὰ τῆς τιμωρίας ἐς οὐδὲν μείζω τοῦ πονηρεύματος, ἀναλογίσασθε, ὦ ἄνδρες, ὅσα καὶ ὅπως τοὺς τηλικαῦτα ἐξαμαρτάνοντας ὁ νομοθέτης ἐκόλασεν. εἶδε κἀκεῖνος τὸ πολὺ τοῦ κακουργήματος καὶ παραυτίκα ἐπὶ τὴν σφαγὴν ὥρμησε καὶ τὸ ξίφος ἐπέσεισε. τίνος οὖν ἂν εἴη λόγου, ποίας δὲ δίκης παρ' ὑμῖν εὐθυνόμενον ἑστάναι τὸν ἅπερ ἂν καὶ ὑμεῖς ἐργάσασθαι | οὐκ ἂν ἀποκνήσαντα; ἢ μὴ ξίφους ὁ* R IV 606 *νομοθέτης τουτὶ τὸ δεινὸν ἐτιμήσατο; ἐπέξιθί μοι τὸ γράμμα καὶ τοῦ βήματος ἀποστήσομαι.* 65. *εἰ δ' οὖν, ἀλλ' ὅτι μὴ μοιχὸς ἐκεῖνος ἐξέλεγχε. εἰ δὲ τοῦτο μὲν πρὸς τῆς ἀληθείας, ἐκεῖνο δὲ παρ' ἡμῶν, μᾶλλον δὲ ὑπὸ τῶν νόμων ἀφῄρησαι, μὴ σύ γε μάτην γίνου*

---

2 *τομηδὲν L* 4 *γίνεται MaClVi* | *δραμόντων Vi* 5 *ἔχοι* scripsi e *ClViBVa* *ἔχῃ LPaMa* edd 9 *μωρίας B* | *ἐς* inserui e *MaClViBVa* om *LPa* edd 10 *ἀναλογίσασθαι MaCl* 11 *τηλικαῦτα Ma* sed *καῦτα* in ras m[3] | *ὁ* om Mor 12 *οἶδε B* 13 *παραυτίκα* scripsi e *PaMaClViVa* *παρ' αὐτίκα LB* edd | *ἐπέσεισεν Ma* 15 *ἡμῖν* libri Ferr et *γρ* in marg Mor corr Mor 16 *ἀπωκνήσαντα LPaCl* Ferr *ἀπωκνήσατε Ma* sed *γρ ἀπωκνήσαντα* suprascr m[2], *ViBVa* corr Mor | *ἢ* scripsi auctore Re *εἰ* libri edd 18 *τι* ante *ἀποστήσομαι* edd delevi *ὑποστήσομαι* Ferr 19 *ἐξήλεγχε BVa* 21 *τῶν* in ras *Ma*[3] | *σύ γε μάτην* reposui e libris *μάτην σύγε* edd | *γίγνου BVa*

κατήγορος. ἦ γὰρ οὐκ αἰσχύνῃ, πρὸς τῆς Δίκης αὐτῆς, οὕτω γραφόμενος ἄτοπα πατέρα ἄνθρωπον καὶ τοῦτον, ὡς οἶμαι καὶ πάντες ἴστε, τῶν μετριωτέρων τοὺς τρόπους καὶ λήματος καὶ ὀργῆς ἀνθρωπικώτερον ἔχοντα καὶ μὴ κατὰ τοὺς τῶν θηρῶν ἀγρίους ἐπιπηδῶντα. 66. καὶ τί λέγω περὶ τῶν ἐμῶν καὶ οὓς αὐτὸς καὶ γάμοις ἔζευξα καὶ ἔθρεψα καὶ ἐπαίδευσα; ἀλλὰ τίνα τῶν τῆς αὐτῆς πόλεως, ἀλλὰ τίνα τῶν ἐξ ἀστυγείτονος, ἀλλὰ τίνα τῶν πορρωτέρω μόνον ἁπλῶς ἄνθρωπον δοκεῖς μ' ἂν ἐθελῆσαι κτείνειν δίκης ἄνευ καὶ νόμων; ἀλλὰ τί μὴ τοὺς τῆς αὐτῆς φύσεως ἀφείς, οὓς ἄν τις καὶ ἄκων οἰκτίσαι ἀνθρώπους γε ὄντας ἄνθρωπος, ἀπὸ τῶν φαυλοτέρων ποιοῦμαι τοὺς λόγους; 67. ὁρᾷς τοὺς φυτηκομοῦντας τούτους ἐπὶ τῶν ἀγρῶν; οὐδ' οὗτοί ποτε τοῦ τῶν φυτῶν στοίχου μὴ ὅτι δένδρον
R IV 607 ὅλον, ἀλλ' οὐδὲ κλάδον ἐκκόπτουσιν | ἀλόγως, εἰ μὴ πρότερον αὐτοῦ καταγνοῖεν τὸ ἄκαρπον. καὶ οὐ τὴν αὐτὴν περὶ μόνα ταῦτα γνώμην ἔχουσιν, ἀλλ'

---

1 cf. t. IV 813, 7 R   4 Eur. Med. 119. 348   13 Her. IV 54; 195, 2; VII 195   14 Opp. cyn. I 122; IV 254 cf. p. 360, 10

---

1 ἦ *ClBVa* | πρὸ Ferr | Δίκῃ Mor | αὐτῇ Re   2 „*fort.* ἄνθρωπον ἀνθρώπου" Re   3 τῶν μετριωτέρων scripsi e *Ma* sed γρ τὸν μετριώτερον in marg m^2, *ClViBVa* μετριώτερον *L Pa* edd   4 λήμματος *MaClViBVa* | ἀνθρωπικώτερα *BVa*   5 „*post* ἐπιπηδῶντα *deest aliquid, e. c.* τοῖς ἐμοῖς" Re   6 καίτοι τι λέγω coni Re   8 ἐξαστυγείτονος *ViVa*   9 πορροτέρω edd   10 δοκεῖς μ' scripsi δοκῇς libri (δοκοῖς *Vi*) edd et defendit Re ἐμὲ ad ἐθελῆσαι supplens | καὶ *Ma* sed ἢ suprascr m^2 om *BVa*   11 αὐτῆς φύσεως scripsi e *MaClVi* cum Iacobsio Lect φύσεως αὐτῆς *LPaBVa* edd sed αὐτῆς φύσεως κοινωνοὺς vel μερίτας coni Re   13 περὶ? at cf. Her. ll. ll.
14 signum interrogationis posui e *B* comma reliqui libri edd | οἱ δ' *BVa*   16 εὐλόγως *Ma*

οὐδὲ πόαν τινά, τοῦ κηπεύματος τὸ φαυλότατον, οὐχ ὑπούσης αἰτίας ἀπέσπασαν.

68. *Ποῦ δέ σοι καὶ κατηγορίας ἄξιον τὸ καθελεῖν οὓς ὁ νόμος ἐπέτρεψεν; εἰ δ' ἐμὲ δεῖν φόνου νενόμικας γράφεσθαι, τί μὴ καὶ τοὺς δικαστάς, ὅτι καὶ παρ' αὐτῶν οὐκ ὀλίγοι πεπτώκασιν ἔννομα; ξίφος ἐνταῦθα κἀκεῖ πάντως καὶ τοὖργον ἓν καὶ ἡ χεὶρ ἐπίσης ἐξώπλισται. καὶ τόν γε τῶν πεπτωκότων τρόπον ἔνεστιν ἰδεῖν οὐκ ἀνόμοιον. μοιχοὶ καὶ κακοῦργοι καὶ παρ' ἐκείνοις.* 69. *τοῦτο δὴ τὸ κακὸν καὶ νῦν ἤνθησεν ἐκ τῆς ἐμῆς οἰκίας, ἐκ τοῦ αὐτοῦ μοι γένους, ὦ θεοὶ ἐφέστιοι, καὶ τοιοῦτον μῦσος ὑμεῖς ἐπ' οἴκου τελούμενον ἰδεῖν ἠνέσχεσθε τάχα που καὶ παρὰ τὴν ὑμετέραν ἑστίαν ἐκμελετώμενον. εἰ δὲ πάντα παρ' ἀμφοτέροις ταὐτὰ καὶ τοῦ πεσεῖν ἄξιοι, δῆλον ὅτι καὶ παρ' ἀμφοῖν τὸ μὴ κακίζεσθαι λείπεται.* 70. *ἀπέκτεινα μέν, ἀλλ' οὐ νυμφίον. ἐξέκοψα μέν, ἀλλ' οὐ παῖδα. ἐφηψάμην ξίφους, ἀλλ' ἐν οἷς ὁ νόμος ἐφῆκεν. ὥπλισα τὴν δεξιάν, ἀλλ' ἔνθα καὶ ὁ νομοθέτης τὸν δήμιον. μοιχὸν ἀνεῖλον καὶ τὴν μοιχευομένην προσέθηκα. καὶ τό γ' ἀξίως ἀπεκτονέναι τὸ καὶ φόνον εἶναι δοκεῖν ἀφαιρεῖ-*

---

1 Arist. av. 1100 11 Hierocl. apud Stob. floril. 67, 24. Soph. Ai. 492

---

3 *καὶ* om *Vi* 4 *φόνου* scripsi e *PaMaViBVa* *φόβου* *LCl* edd 9 *καὶ*(2) om *MaClVi* 12 *μύσος* *MaVa* *μῖσος* *Cl* | *ἐπ' οἴκου* om *B* *ἐποίειν* *Va* | *ὑποτελούμενον* *BVa* 15 *ταὐτὰ* scripsi e *MaClVi* ut coni Re *ταῦτα* *LPaBVa* edd | „*circa* *ἄξιοι* *deesse videtur* *οἱ τοιοῦτοι*" Re | *παραμφοῖν* *Cl* 18 *ἐφ'* *Ma* | *ἐφῆκεν* Mor sed *γρ* in marg *ἐφήκει* *ἐφῆκε* *Ma* *ἀφῆκε* *BVa* 19 *ὁ* inserui auctore Re coll. p. 357, 11 om libri edd 20 *ἀλλὰ* ante *καὶ* *B* | *τὸ δ'* *MaClViBVa* 21 *ἀφαιροῦμαι* *MaClViBVa*

ται. οὐκ ἀφαιρεῖται τὸ φόνον εἶναι τὸ πρᾶγμα ἄλλο τι ἢ ὅτι δικαίως ἠγώνισμαι. 71. εἰ δὲ τοιοῦτος ὁ τρόπος, οὐδ' εὐθύνας ἐπὶ τοιούτοις ἀπαιτεῖν εὔλογον. οὐ καθαρὸν πολίτην ἀφειλόμην τῆς πόλεως, ἀλλ' ὑβριστήν, ἀλλὰ μοιχόν, ἀλλ', εἰ οἷόν τ' ἦν, καὶ πολλάκις R IV 608 ἀπολέσθαι δίκαιον. | οἷς μὲν γὰρ ἠδίκει πεπτωκὼς οὐκ ἠδίκηται, οἷς δ' ἀξίαν ἐδέχετο τὴν πληγὴν οὐδ' ἡ πόλις προσεζημίωται. 72. ἐχρῆν δ', οἶμαι, καὶ τοὺς ἐξ Ἀσκληπιοῦ τῶν σωμάτων ἀποκόπτειν ὁπόσα καὶ σέσηπε καὶ τὸν φυτηκόμον ὁπόσους ἂν φωράσειε τῶν κλάδων ἀποθνήσκοντας καὶ τοὺς πατέρας οὐδὲν ἧττον τοῦ γένους ἐκκαθαίρειν τὸ ἄκοσμον οὐ μᾶλλον ὑπὲρ αὑτῶν τοῦτο μηχανωμένους ἤπερ τῆς πόλεως ἣ τούτους ἐθρέψατο. τὸ γὰρ ἄνδρα πονηρὸν ἐξελέσθαι πόλεως ἴσον τῷ καὶ μέλος διεφθορὸς σώματος ἐκτεμεῖν.

73. Ἀλλ' ἐνταῦθα μὲν οὐδὲν ἔχουσι λέγειν οἱ μηδὲν ἧττον τῆς τύχης ἐμπηδῶντες ἡμῖν οὗτοι, τὸ δ' ὅτι μὴ κοινωσάμενος τῷ δήμῳ τὴν γνώμην ἐπλήρουν, τοῦτο δὲ γραφῆς τιμῶνται καὶ δίκης. ἐγὼ δ' εἰ μὲν ᾔδειν ἕτερόν τι τὸν δῆμον περὶ τῶν ἐμῶν βουλευσό-

10 sq. Ael. var. hist. I 34 18 Sopat. l. l. p. 231, 20

1 *τὸ*(1) scripsi e *PaMaViBVa* ut coni Re *τὸν LCl* edd | *ἄλλο τι ἢ ὅτι*] *ἀλλ' ὅτι MaClViBVa* 2 *δικαίως ἠγώνισμαι*] *δίκαιος ἀγωνίζομαι Ma* sed *γρ δικαίως ἠγώνισμαι* in marg m², *ClViBVa* 5 *οἷός τ'* Re 9 „*malim ὁπόσα κατασέσηπε*“ Re at cf. p. 319, 6 10 *ὁπόσους Ma* sed *ὅσους* in ras m³ *ὁπόσας Cl* *ὁπόσα BVa* | *φωράσαι BVa* 11 *ἀποθνήσκοντα BVa* 13 *αὑτῶν* scripsi e *Vi* *αὐτῶν* reliqui libri edd 15 *ἴσον MaClViBVa* | *τὸ BVa* 18 *ἡμῖν ἐμπηδῶντες MaClVi* | *καὶ* ante *οὗτοι Vi* 19 *κοινωσάμενος* scripsi e *MaViBVa* coll p. 361, 8. Sopat. l. l. *κοινωνησάμενος LPaCl* edd 20 *τοῦ Vi* 21 *τὸν ἐμὸν Cl* sed in *τῶν ἐμῶν* corr m²

μενον, ἀλλ' οὐ τοῦθ' ὅπερ αὐτῷ μοι νενόμιστο δίκαιον, τάχ' ἂν ἔκρινα δεῖν ἐπὶ δικασταῖς ποιεῖσθαι τὰς ψήφους καὶ ὡς ἐκείνοις δοκοῦν, ἐπὶ τοὺς παῖδας ἁμαρτόντας φέρεσθαι· ἐπεὶ δὲ ταῦτα ἅπερ ἐγὼ ψηφιεῖσθαι καὶ πέρα τούτων οὐδὲν ἤμελλον, οὔ μοι δικαίως τοῦ σοῦ τούτου βουλεύματος προσεδέησεν. ἐν οἷς γὰρ ὅ τι καὶ δεῖ πράττειν οὐκ ἔγνωσται, ταῦτα καὶ κοινοῦσθαι τῷ δήμῳ ξυμφέρον, ὡς ἔνθα τὸ πρακτέον δῆλον, μὴ καὶ περιττὸν ἐκκλησίας προσδεῖσθαι. 74. *ταῦτα ἄρα κατ' ἐμαυτὸν εἶδον τὸ καλόν, ἐσκόπησα τὸ τοῖς νόμοις περὶ τούτου δοκοῦν, κατεψηφισάμην μετὰ καὶ τοῦ νόμου θάνατον, ἐπεκύρωσα τοῦτο τὸ ψήφισμα καὶ τὸ ἐντεῦθεν, ὡς ὁ νόμος οἶδεν, ἐπράττετο. ἐπὶ τούτοις ἐξηπιστάμην ἐμαυτὸν τὸν πατέρα τῶν ἁμαρτόντων, τοὺς δὲ νόμους πάντα τῷ πατρὶ περὶ τοὺς παῖδας ἐφιέντας. οὐ γάρ ἐστιν ὅπου καὶ νομοθέτης τὴν γνώμην πεφόβηται, μή τι καὶ δεινὸν παραπολαύσωσι τῆς τοῦ πατρὸς αὐτονομίας οἱ παῖδες,* | R IV 609 *εἰ μὴ πρότερον ἐκεῖνοι μονονοὺ τὸ ξίφος ἐπὶ σφᾶς αὐτοὺς ὠθήσουσιν.* 75. *ὡς οὖν πατὴρ περὶ τοὺς παῖδας οὐ βάρβαρος τὰ πρῶτα προσηνῶς τε εἶχον καὶ πᾶν ὁτιοῦν τοῦ καλῶς ἐκείνους βιῶναι δεύτερον ἐτίθετο παρ' ἡμῖν. ἐπεὶ δ' ἐκεῖνοί με τῶν ἐλπίδων ἐψεύσαντο, κἀγὼ τοῦ στέργειν ἐκείνους ἐξέπεσον. τοσοῦτο*

---

2 *τάχα MaClVi* 7 *ὅτι MaClViVa* 10 *ταῦτ' BVa* | *κακὸν Ma* sed *κ* in *λ* corr, *Vi* 13 *ὁ* om Re quod notavit Bastius Greg. Cor. ed. Schaefer p. 139 14 *προσεπιτούτοις MaClViB* *πρὸς ἐπὶ τούτοις Va* | *ἐξεπιστάμην MaClVi* 15 *πάντα* scripsi *πάντας* libri edd sed „*malim πάντας πάντα*" Re 20 *ὠθήσωσιν BVa* 21 *καὶ* ante *τὰ MaClViBVa* | *ταπρῶτα LPaMaVa* Ferr | *εἶχον* reposui e libris sed ex *εἶχεν* corr *L*, ut coni Re *εἶχεν* edd 22 *ὅτι MaClViBVa* 23 *ἔψευσαν* Cobet Coll 297 at cf. p. 95, 3 24 *τοσοῦτον MaVi*

δέ μοι τὸ τῷ δήμῳ περὶ τῶν ἐμῶν δοκοῦν ἐνέδει μαθεῖν βούλεσθαι ὡς μηδ' εἰς νοῦν λαβεῖν ὅλως ὡς ἔσται τις ὡς μὲν ἀναιδείας γέμων, ὡς δ' ἐπὶ κενοῖς φιλόμαχος ἄνθρωπος ὡς οὐ μόνον οὐκ οἰκτείρειν ὧν ἐπεπόνθειμεν δράσαντες, τὸ γὰρ ἐπὶ τῶν παίδων τι δρᾶν ἴσον ἐστὶ καὶ πάσχειν, ἀλλὰ καὶ διασύρειν τολμᾶν ἐπὶ βήματος καὶ ταῦτα προσαφαιρεῖσθαι τοὺς πατέρας ἃ καὶ φύσις καὶ νόμος δίδωσιν.

76. Ἀλλ' ἴσως ἄν, φησίν, ὁ δῆμος οὐχ ὅσα καὶ μοιχῶν ἐκείνων κατεψηφίσατο, ἀλλ' ὡς ἐπὶ κακῷ τῶν προσόντων σοι χρημάτων σκευωρουμένους ἐκόλασεν ἂν μετριώτερα. ἀλλ' εἰ καὶ τὰ μοιχῶν ἐκακούργουν, πῶς ἂν μὴ καὶ τὰ τῶν μοιχῶν ὁ δῆμος εἶχεν ἐπιψηφίσασθαι; τὸ γὰρ ὅτι μοιχοὶ πάλαι τε πρὸς ἡμῶν ἀποδέδεικται καὶ πρὸ ἡμῶν αὐτοῖς ἔργοις τοῦτο δὴ τοὔνομα κληρωσάμενοι φαίνονται. 77. ποσάκις, δοκεῖ σοι, περὶ τούτων ἐκείνοις διείλεγμαι; ποσάκις τὸν νυμφίον, ποσάκις τὴν παῖδα καταιδέσειν ταῦτα λέγων ἐδόκουν; εἴ σοι δεῖ χρημάτων πλειόνων, ὦ παῖ, καὶ κλήρου μείζονος, ὁ πατὴρ

9 sq. Sopat. l. l. p. 231,9 sq. 18 cf. p. 363,6 et p. 338,19

2 *μὴ δ'* libri Ferr | *ἐλθεῖν Vi* | *ὅλως* inser *Va*² | *ὡς* om *Va* 3 *τίς MaClViVa* | *ὡς Pa* sed *πῶς* in marg, *Ma* sed in *πῶς* corr m², Mor sed *γρ πῶς* in marg *πῶς L* „*malim οὕτως*" Re | „*malim οὕτως*" Re | *ἐπὶ κενῆς* coni Re at cf. t. IV 811, 33 R | *καινοῖς BVa* 5 *τί LMaClViBVa* edd 6 *ἶσον MaClViVa* 8 *νόμος καὶ φύσις Vi* 9 *ἄν φησιν* in ras *Ma*³ 11 *καινῷ Ma* sed *ιν* e *κ* corr m³, *BVa* | *σοι* inserui e *LPaMaClViVa* om *B* edd | *σκευωρουμένοις Vi* 12 *καὶ* om *BVa* 13 *ἐκακούργουν — μοιχῶν* in marg *Ma*³ | *τῶν* om *Vi* 14 *μοιχὸν BVa* | *πάλαι Ma* sed *άλαι* in ras m³ 15 *πρὸς BVa* | *ὑμῶν B* 16 *κληρονομησάμενοι BVa* 18 *καταιδέσειν LMa* sed *έ* in ras *LMa*³ 19 *λέγειν ViB*

ἐγώ σοι τὰ δυνατὰ προσεπιδαψιλεύσομαι καὶ τὸ περιττὸν τοῦ πόθου προσαναπληρώσω. μόνον ἐξ ἑκόντων αἴτει καὶ λάμβανε καὶ παῦσαι τὸ γένος αἰσχύνουσα. ἀναλόγισαι τὸ τῆς φήμης | αἰσχρόν. εἰ δ' οὖν, ἀλλ' ἐμὲ τὸν πατέρα R IV 610 *καταίδεσαι, εἰ δ' οὐκ ἐμέ, τούς γε νόμους φοβήθητι. ἐγώ σοι πατήρ, τὰ δὲ τοῦ πατρὸς ὑμῶν τῶν παίδων κειμήλια. μικρὸν ἔτι μοι τὸ βιώσιμον ὑπολείπεται καὶ τετελευτηκότος κερδανεῖς ὑπὸ νόμοις ἃ νῦν βιάζῃ προαφαιρεῖν ὡς αἴσχιστα.* 78. *ταῦτα καὶ τὰ τοιαῦτα νῦν μὲν τῆσδε, νῦν δ' ἐκείνου κατεπᾴδων ἐν μέρει ληρεῖν ἐδόκουν. οἱ δ' ὧν ἔσπευδον σκαιωρεῖν οὐκ ἐπαύοντο. παῦσαι καὶ σύ, πρὸς θεῶν, ὦ κατήγορε. τί καὶ τοῦ παρόντος δαίμονος βαρύτερος ἡμῖν ἀναπέφηνας; ἱκανῶς ἔχω θρηνήσας ἐμαυτὸν τῆς συμφορᾶς, ἱκανῶς ἔχω τοῦ πάθους ἀποκλαυσάμενος. μὴ γίνου πατρὸς πρὸς τοὺς παῖδας φιλοστοργότερος. μὴ φαίνου καὶ νόμων φιλανθρωπότερος. ἔα πεσεῖν οὓς ὁ πατὴρ μετὰ καὶ τῶν νόμων οὐκ ᾤκτειρεν. εἴ σοι τὰ τῶν παίδων οἰκτρά, πολὺ χείρω τὰ τοῦ πατρὸς λόγισαι. οἱ μὲν γὰρ μετὰ τῆς ψυχῆς καὶ τὴν αἴσθησιν προσαφῄρηνται, ἐγὼ δ' ὁ δείλαιος νῦν μὲν πονηροὺς τοὺς παῖδας ἀνακαλοῦμαι, νῦν δ' ἐμαυτὸν ἁπάντων πατέρων ἐπὶ τῇ*

---

4 cf. p. 331, 17; 344, 17 9 Eur. Alc. 650 22 Plat. apol. p. 40 C

---

3 *ἔτι B* 8 *ὑμῶν Ma* sed *ὑ* in ras m³ 9 *κερδανοῖς Cl* 10 *βιάζει MaClVi* 11 *ὡς τάχιστα B* | punctum post *τοιαῦτα* edd sed delendum vidit Mor Not 13 *οἱ δ'* scripsi e *Cl Vi* *οἵδ' LPaMaBVa* edd | *σκευωρεῖν* Mor Re cf. ad p. 325, 15 18 *φιλοστοργώτερος BVa* 23 *πονηρὰ Cl* 24 *ἐπὶ τῇ γονῇ* scripsi *ἐπὶ τὴν γονὴν* libri edd sed „*aut ἐπὶ τῇ γονῇ leg. videtur aut κατὰ τὴν γονήν*" Re

γονῇ ἀτυχέστατον ἀποκλαίομαι. 79. ὁσάκις τὴν δεξιὰν ὄψομαι, μνημονεύω τοῦ ξίφους, φαντάζομαι τὴν σφαγὴν καὶ τὴν ἐπὶ τούτοις ἀπαιδίαν ἀπολοφύρομαι, ὡς ἦν μέν ποτε πατὴρ ἐγὼ καὶ παῖδες ἐκεῖνοι καὶ τὰ τῆς ἐλπίδος φαιδρὰ παῖδας ἑτέρους ἀπὸ τῆς παιδὸς ὄψεσθαι καὶ πάππος μετὰ καὶ τοῦ πατὴρ ἀκοῦσαι, καὶ πάντα τἄλλα τὰ τῆς τύχης λαμπρά. ἀλλ' ἀντέπνευσέ τις δαίμων βάσκανος, ἵνα μὴ λέγω τοὺς παῖδας, καὶ τὰ μὲν προσόντα ἀπόλωλε, τὰ δ' ἐλπιζόμενα προσαπόλωλε. καὶ νῦν μὲν ἐπ' οὐ καλοῖς ἑάλωσαν καὶ πεπτώκασιν, ἐγὼ δ', ὡς μὴ ὤφελον, περιλέλειμμαι μόνος μετὰ τῆς τύχης ἔρημος παίδων, ἐκκεκομμένος τὰς ἐλπίδας, περιῃρημένος τὰ φίλτατα.

80. Ὡς ἀνομοίαν, ὦ θεοί, τὴν ἡμέραν εἶδον ἐκείνην, ὁπότε παστάδα ἐκόσμουν καὶ πῦρ πρὸ τῆς παιδὸς
R IV 611 ὑπανεῖχον | γαμήλιον. τότε πατὴρ ἐκαλούμην ἐγὼ καὶ θυγάτηρ ἐκείνη καὶ τρόπον ἕτερον παῖς ὁ νυμφίος. ἀλλ' οὔτε παῖδες ἐκεῖνοι μετὰ τὸν γάμον τὸν δυστυχῆ, τὸν ἐπάρατον οὔτ' ἐγὼ πατὴρ ἔτι καλοῦμαι. ἐκεῖνον τὸν γάμον Τελχῖνες ἐζεύξαντο, ἐκείνην τὴν παστάδα Ἐριννύες ἐπήξαντο. τάφος ἦν ὁ γάμος ἐκεῖνος καὶ Πυριφλεγέθων αἱ δᾷδες καὶ Κωκυτὸς ὁ ὑμέναιος. 81. καὶ νῦν παστὰς νυμφικὴ πρὸς τραγῳδίαν ἀπετε-

---

20 cf. p. 325, 5 21 sq. cf. t. V 145, 12; t. IV 803, 11 sq. R
23 Sopat. l. l. p. 232, 11 sq.

---

1 *ἀτυχέστατον* scripsi *ἀτυχέστερον* libri edd 3 *ὀλοφύρομαι Ma* 6 *πατρὸς Vi* 7 *τἄλλα πάντα MaClVi* 11 *ὄφελον B* 14 *ἀνομίαν MaViVa* 16 *ὑπανεῖχον* scripsi e *LMaClViBVa* *ἐπανεῖχον Pa* edd 19 *ἀλλ'* ante *ἐκεῖνον BVa* 21 *καὶ* ante *τάφος BVa* | *ἐκεῖνος ὁ γάμος MaClVi* 22 *Πυριφλεγέθων* reposui e libris *πῦρ φλεγέθον* edd sed *γρ πυριφλεγέθων* in marg Mor | *Ὑμέναιος* Mor Re

λεύτησεν. ὅλος ἐμαυτοῦ πολέμιος γίνομαι καὶ σύνοικον ἔχω τὸ κακὸν μετὰ τοῦ θαλάμου, μετὰ τῆς δεξιᾶς, μετὰ τῶν ὀφθαλμῶν τούτων τῶν δυστυχῶν ὑφ' ὧν καὶ νυμφευομένους εἶδον τὸ πρῶτον καὶ τὸ τελευταῖον, οἴμοι, παῖδας παρὰ πατρὸς πίπτοντας. τί γὰρ ἐμοὶ τῶν κακῶν ἀφαιρεῖται τὴν λήθην; ἂν ἴδω τὸν θάλαμον ἐν ᾧ τοὺς γάμους ἐκείνοις εἱστίων, εὐθὺς μέγα τι ἀνῴμωξα. ἂν ὄψομαι τὴν παστάδα, τὰ τῆς ὑστέρας τύχης λογίζομαι καὶ τὸ βαρὺ τοῦ πάθους οὐ φέρω. ἂν δὲ καὶ τοῦ ξίφους ἀναμνησθῶ, τότε δή, τότε καὶ ταῖς χερσὶν ἐπαρῶμαι ταύταις, ὅτι μὴ κἀμὲ τρίτον προσέθηκαν, ἵν' εἶχον τὸ μηκέτ' ἀλγεῖν αἰσθανόμενος καὶ σοὶ κόρος ἄν τις τῶν ἡμετέρων κακῶν προσεγένετο.

82. *Ἐμοὶ μὲν οὖν τὸ τεθνάναι οὐχ ὅπως οὐ φοβερόν, εἰ μὴ καὶ μᾶλλον εὐκταῖον τῶν προσόντων κακῶν ἀπαλλάξον. κἄν τις ἀποκτείνῃ βαλών, χάριν ἕξω βαλλόμενος. μόνον τὸ μὴ δικαίως ἐπὶ τοὐμοῦ γραφέσθω σήματος. τὸ δ' ὅτι καὶ ὡς ἐπ' αὐτοφώρῳ τοὺς ἐμοὺς ἀνῄρουν, τοῦτο δ' οὐκ ἐμοὶ μᾶλλον ἢ τοῖς παισὶ*

10 Eur. Cycl. 152 15 Sopat. l. l. p. 232, 7 sq.

1 *ἐμαυτῷ Vi* 4 *τοπρῶτον PaVa* Ferr | *τοτελευταῖον Pa* 5 *πατέρος Pa* Mor Re | *οὐκ* ante *ἐμοὶ MaClViBVa* 7 *ἐν* scripsi *ἐφ'* libri edd 8 *τί MaClVi* | *ὄψωμαι Pa* sed *ω* in *ο* corr, *BVa* et coni Re at cf. p. 319, 16 sq. 10 *καὶ* om *MaClViBVa* | *ἀναμνημονεύσω MaClViVa* *μνημονεύσω B* cf. p. 329, 2 | *τότε*(2) scripsi e *MaVa* *τό τε LPaClViB* edd 12 *μὴ καταλγεῖν Vi* 13 *καὶ σοὶ* scripsi e *MaClVi* *καί σοι LPaBVa* edd 15 *οὐχόπως B* | *οὐ* om *BVa* 16 *εὐκτέον* Bast ep. crit. 217 et Boeckh Plat. Min. 170 cf. p. 342, 13 17 *ἀπαλλάξειν* Pierson Moer. 137 *ἀπάλλαξιν* Boeckh 18 *βαλόμενος Pa* Mor sed vertit *caesus*, Re sed adn: „*lege βαλλόμενος*“ 19 *σώματος BVa* Mor sed vertit: *in tumulo* | *ἐπαυτοφώρῳ Pa* sed ras supra *παν*, *ClViB* 20 *παισὶν Ma*

καὶ τῷ λοιπῷ γένει χαρίσασθε. οὐ βούλομαι δυστυχὴς R IV 612 *εἶναι δικαίως οὐδ' ἀφ' ὧν ἐκεῖνοι δικαίως | πεπτώκασιν, αὐτὸς ἀδικώτατα κείσεσθαι.* 83. *ὑμεῖς δ' οὓς τὸ καλεῖσθαι πατέρας ὁ δαίμων ἀφείλετο, ἀλλ' ὅπως μὴ καὶ τοῖς νόμοις αὐτοῖς προσκρούσητε ψηφιζόμενοι καὶ γράφοντες ἃ μὴ δίδωσι νόμος. εἰ δὲ καὶ πατέρες ἐστὲ καὶ παῖδας ὡραίας γάμων ἔχετε, εὐξαίμην ἂν ὑμᾶς ἔγωγε μὴ πρὸς τοῦτο τύχης ἐλθεῖν μηδὲ νυμφίον δυστυχῆσαι τοιοῦτον ἐπ' αἰσχύνῃ τοῦ γένους.* 84. *τοῦ δ' οὖν ψηφίσματος τούτου δέδοικα μὴ καί τις ὑμῶν εἰς κακὸν ἀπολαύσῃ, καὶ δικαίως ἴσως οἷς τοὺς τὰ μοιχῶν καθαιροῦντας εὐθύνετε καὶ τοῖς γε νυμφίοις τὸ περὶ τοὺς κηδεστὰς κακουργεῖν ἀνεύθυνον ἔδοτε.*

---

8 Pallad. Anth. Pal. XI 287, 1

---

1 *χαρίσασθε Cl* sed *ε* ex *αι* corr, *Vi* sed *ε* supra *αι* 2 *δικαίως*(1) scripsi *δίκαιος* libri edd | *δικαίως* om *B* 3 *πείσεσθαι MaClBVa* 4 *οὔπω* ante *τὸ MaClViBVa* 5 *μὴ* non post *ὅπως* sed post *αὐτοῖς BVa* sed in hoc in marg inser m² 6 *δίδωσιν ὁ νόμος BVa* 8 *μὴ δὲ LPaMaClViVa* Ferr 9 *ἐπαισχύνῃ Cl* 10 *μὴ καί*] *μηκέ Cl* *μὴ τὸ Vi* 11 „*legendum videtur οἷ*“ Re | *γὰρ* post *οἷς Vi* | *τοὺς* om *Ma* 12 *τῶν* ante *μοιχῶν MaVi*

XLI.

Declamatio inscripta *Λοιμὸς ἐπεῖχε τὴν πόλιν. ἔχρησεν ὁ θεὸς παύσασθαι τὸν λοιμόν, εἰ ὁ δῆμος ἑνός του τῶν πολιτῶν παῖδα θύσειεν. ἔλαχεν ὁ τοῦ μάγου. ὑπισχνεῖται παύσειν τὸν λοιμόν, εἰ ἀπόσχοιντο τοῦ παιδός. βουλεύονται*, qua unus e civibus urbis peste[1]) oppressae suadet ne magus audiatur pollicens se pesti finem esse impositurum, si a filio ipsius sorte ut ad illam arcendam deo mactaretur destinato manus abstinerent, non in numero earum est quae summo plausu accipiebantur. Itaque quamquam non finibus ʻcorporisʼ coercita mansit, sed etiam in eclogas etsi paucas transiit, tamen numerus codicum quibus ad hanc aetatem pervenit parvus est. Sunt autem hi 15:

Incipio a ʻcorporalibusʼ.

1. Hierosolymitanus S. Crucis 57 (= Cr) palimpsestus saeculi XI/XII continuit folio 67[vr] verba inde a p. 379, 18 *ἦν καθαρὸν* usque ad p. 384, 11 *ἡμᾶς παρὰ*, folio 63[vr] verba quae his succedunt p. 384, 11 *παρὰ τὸν θεὸν* usque ad p. 389, 20 *οὐκ ἐμὲ*, folio 86[vr] verba sequentia p. 389, 20 *σφάττει* usque ad p. 393, 13 *νεκρούς*, folio 39[v] verba sequentia p. 393, 13 *ἐπανῆλθε* usque ad 394, 14 *κερδαίνων*. Sed pleraque

---

1) Quamquam Reiskius p. 725 not. 14 dicens: „*Magus, in quem hac oratione invehitur, ficticia est persona, cuius assimulatione sacerdos christianus designatur*“ rem in maius extulit, tamen in magi personam nonnulla e sacerdote christiano illata esse haud nego velut p. 380, 9 *μακροῦ χρόνου καὶ πείρας πολλῆς καὶ μαρτυρίας κοινῆς ἄνθρωπος θεοῖς ἐχθρὸς ἀξιοῖ νομισθῆναι σεμνότερος*; p. 392, 19 *ὁ δὲ λοιδορεῖται τοῖς θεοῖς καὶ μονονοὺ κατασκάπτει τοὺς νεώς*; p. 373, 9 *τοὺς τούτῳ συνειπόντας οἳ τὸν μάγον ὅθεν φιλοῦσιν οὐκ ἄδηλον*. Sed etiam Sophocleae illius in Oedipo Rege v. 387 sq. magi descriptionis Libanium haud immemorem fuisse facile apparet. Argumentum declamationis in mentem revocat quae Thucydides in descriptione pestis Atticae II 47, 3 rettulit *ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο πάντα ἀνωφελῆ ἦν.*

abrasa sunt et pauca imprimis in folio 86 certo legi possunt. Excussi. Vide t. V p. 154 sq.

2. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 423ᵛ. Vide t. I p. 24 sq. Meum in usum contulit Pius Franchi de Cavaleriis.

3. Laurentianus LVII 21 saec. XIV/XV fol. 294. Vide t. V p. 158 sq. Nuper mea causa inspexit Hieronymus Vitelli.

Transeo ad 'eclogarios'.

E codice cum *Cr* cognato fluxerunt duo codices

4. Monacensis gr. 96 saec. XVI fol. 142. Vide t. V p. 364 sq. et supra p. 38 sq. Contulit Reiskia in usum mariti qui eum littera *B* insignivit

et

5. Matritensis N-130 saec. XVI fol. 140ᵛ. Vide t. I p. 428 sq. et supra p. 39.

Similis originis est codex

6. Vaticanus Ottobonianus gr. 46 saec. XVI/XVII fol. 49ᵛ. Vide t. VI p. 2 sq. Nuper mea causa inspexit Pius Franchi de Cavaleriis.

7. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 205. Vide t. V p. 168 sq. Contuli.

8. Parisinus gr. 2988 (= P) saec. XIV fol. 237. Vide t. V p. 182 sq. Contuli.

9. Parisinus gr. 3019 (= Par) saec. XIV/XV fol. 156. Correctus est manu secunda ex altero codice. Vide t. IV p. 306 sq. Contuli.

10. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 a Michaele Suliardo exaratus fol. 381ᵛ. Vide t. I p. 363 sq. Nuper mea causa inspexit Achilles Ratti.

11. Vaticanus Palatinus gr. 350 saec. XVI fol. 13—18 et 1—3ᵛ. Vide t. II p. 3 sq. Nuper mea causa inspexit Pius Franchi de Cavaleriis.

12. Mosquensis bibliothecae synodalis 489, antea 317 (304 in catalogo Mattheiano) (= Mos) saec. XV fol. 132.

Vide t. V p. 180 sq. Gratiose meum in usum nuper contulit N. Popoff.

13. Parisinus gr. 3018 saec. XV fol. 147ᵛ. Vide t. V p. 173 sq. Nuper mea causa inspexit Henricus Lebègue.

14. Parisinus gr. 3014 saec. XIV fol. 159ᵛ. Vide t. II p. 375 sq. Adhibitus est a Morello. Nuper mea causa inspexit Henricus Lebègue.

15. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 54ᵛ e Barberino ipso vel eius fonte descriptus. Vide t. V p. 7 sq.

Ex his quos in censum vocandos esse duxi codices sex *CrPParMosMB* rursus in duas discedunt familias quarum prior codicibus *CrPParMosM*, altera tantum codice *B* continetur. Rationem quae inter hos singulos codices intercedit hoc tibi reddet stemma



Fides qua utraque familia archetypum reddidit in universum quidem fere par est sed librario apographi *b* accidit ut a priore πῶς οὖν p. 388, 12 ad alterum p. 389, 20 aberrans verba quae inter haec leguntur omitteret. Quae *B* servavit unus e codicibus superstitibus[1]), si excipis codicem Escurialensem qui si non ex illo ipso, certe ex eius fonte fluxit. Singularis igitur in hac declamatione est auctoritas codicis *B*, praesertim cum in *Cr* pleraque abrasa et in *M* nonnulla vel omissa vel corrupta sint, *Par* autem recensionem e *d* et *M* mixtam exhibeat.

1) Ex hoc a Pio Franchi de Cavaleriis descripta primum publici iuris feci Mus. Rhen. LII 297.

Testimonia desunt excepto loco uno quem Macarius Chrysocephalus[1]) laudavit.

Declamatio anno 1606 in lucem protracta est a Fed. Morello Liban. opp. t. I p. 898—911 (= Mor) qui praeter codicem Parisinum gr. 3014 cum *Mos* cognatum, quo fundamento usus est, codicem *P* adhibuit.[2])

Nonnulla huius editionis vitia cum ope codicis Monacensis tum ex ingenio sanavit Reiskius (= Re), sed uxor quae editionem curavit t. IV p. 724—738 non omnes mariti emendationes in textu reposuit.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum 'Lectionum'[3]) libro, C. Sintenis[4]), Cobetus.

---

1) Cf. t. I p. 351 sq.
2) Cf. t. V p. 198.
3) Cf. t. I p. 76 et V p. 198.
4) Cf. t. I p. 78.

XLI.

Λοιμὸς ἐπεῖχε τὴν πόλιν. ἔχρησεν ὁ θεὸς παύσασθαι τὸν λοιμόν, εἰ ὁ δῆμος ἑνός του τῶν πολιτῶν παῖδα θύσειεν. ἔλαχεν ὁ τοῦ μάγου. ὑπισχνεῖται παύσειν τὸν λοιμόν, εἰ ἀπόσχοιντο τοῦ παιδός. βουλεύονται.

1. | *Οὐ τὸ τοῦτον, ὦ πολῖται, πάντα τρόπον* R IV 724 *ἐξαρπάσαι πειρᾶσθαι τὸν υἱὸν τὸν ἑαυτοῦ θαυμαστὸν εἶναί μοι δοκεῖ, τὸ δὲ ὑμᾶς τῆς πόλεως νοσούσης τοιούτων καθημένους ἀκροᾶσθαι λόγων. νοῦν μὲν γὰρ ἦν ἐχόντων ἀνθρώπων καὶ βουλομένων παῦσαι τὸ κακὸν εὐθὺς ὑπακοῦσαι τοῖς παρὰ τοῦ θεοῦ καὶ μηδὲν παρὰ ταῦτα μήτε λέγειν μήτε ἀκούειν μηδένα· ἐπεὶ δὲ*

Cr = Codex palimpsestus Hierosolymitanus S. Crucis 57
P = Parisinus gr. 2988
Par = Parisinus gr. 3019
Mos = Mosquensis syn. 489
M = Marcianus gr. 439
B = Barberinus II 41 (Vaticanus Barb. 220)

---

8 Soph. Ant. 1015

---

6 *πραγματική PParM*

---

1 *Ἄλλη μελέτη. Θεωρία.* ante *Λοιμὸς* edd delevi | *Λοιμὸς* — 5 *βουλεύονται* om *Mos* | *τὴν* om *B* 2 *ὁ δῆμος* om *PPar M* | *ἑνὸς τοῦ Par* 5 *καὶ* ante *βουλεύονται B* 6 *Μάγου κατηγορία.* ante *Οὐ* edd delevi | *παρόντες PPar* et *γρ* in marg Mor cf. p. 372, 16; 376, 3; 381, 6; 384, 13; 389, 1; 390, 14; 391, 10 7 *γρ ἐμαυτοῦ* in marg Mor 8 *μοι* om *B* 12 *μήτε ἀκούειν μήτε λέγειν Mos*

ἀφέντες τὸ βοηθεῖν τῇ πόλει λόγων ἠνέσχεσθε μακρῶν καὶ τοσοῦτον ἐδυνήθη τις παρ' ὑμῖν ὥσθ' ὑμᾶς καταστῆσαι πρὸς τὸ ζητεῖν εἰ δεῖ τῆς προδήλου σωτηρίας ἀμελήσαντας τὰ μηδαμοῦ γενησόμενα περιμένειν, πῶς οὐκ ἂν εἰκότως δοκοίητε παραφρονεῖν; 2. ἐγὼ δὲ ἠξίουν μὲν ὑμᾶς ἀπὸ τῶν πρώτων ῥημάτων εὐθὺς τουτονὶ τὸν μιαρὸν ἐκβαλεῖν καὶ μηδὲν ἐπ' αὐτῷ δεηθῆναι ῥήτορος, ἀλλὰ τοῦ δήμου καθαρῶς ποιῆσαι τὸ ἔργον· ἐπεὶ δὲ οὐκ οἶδ' ὅπως ἐδόθη τοσοῦτος χρόνος τῇ τοῦδε ψευδολογίᾳ καὶ τοῦ διδάξοντος ὑμᾶς περὶ ὧν μόνων οὐδὲν δεῖ διδαχῆς ἐδεήθητε, παρῆλθον οὐκ ἐπιτρέψων βελτίω νομισθῆναι τοῦ Πυθίου τὸν μάγον.

3. *Τὸ μὲν οὖν ἐξελέγξαι τοῦτον ἀλαζονευόμενον οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ παντί τῳ ῥᾴδιον, οὕτως οὐδὲν πιθανὸν ἐν οἷς ὑπέσχηται τούτοις ἦν· δύο δέ με, ὦ πολῖται, μάλιστα τῆς τοῦ μάγου δημηγορίας ἀνιᾷ, ἓν μὲν ὅτι πολλοὶ νῦν τῶν πολιτῶν ἐν τοῖς τούτου*
R IV 725 *κεκηλημένοι λόγοις, ἔστι δὲ καὶ τούτων | οὗτος αἴτιος, ἀποθνήσκουσι τοῦ λοιμοῦ τὸ αὐτοῦ ποιοῦντος,*

10 Soph. O. R. 387 sq.

2 *τίς PParM* | *ὑμῖν] ὑμῶν B* | *καταστῆναι* Re 5 *δοκεῖτε P* et *γρ* in marg Mor *δόξετε B* 6 *εὐθὺς* post *ῥημάτων* posui e *PParB* post *ὑμᾶς MosM* edd 7 *μικρὸν Par* | *αὐτὸν Mos* et *γρ* in marg Mor 9 *οἶδα Par* 10 *διδάξοντος B* (ο supra α) *διδάξαντος PPar* 11 *διδαχῆς δεῖ M* | *δεῖ* om *PPar* 12 *βελτίονα PParM* 15 *πιθανὸς PPar* et *γρ* in marg Mor | *ὑπόσχηται PB* 16 *πολῖται* scripsi e *MosM* (*πολίται*) et *γρ* in marg Mor *παρόντες PParB* edd cf. ad p. 371, 6 17 *νῦν* om *M* | *ἐν* delendum censent Re et Cobetus Misc 155 Coll 299 sed convenit usui Libanii 18 *κεκηλημένοι* scripsi e *B* sed *κλι* supra *κηλη*, ut coniecerunt Re, quamquam in nota impressum est *κεκλημένοι*, et Cobetus *κεκλημένοι PParMosM* edd *κεκωλυμένοι* Iacobs Lect 138 | *αἴτιος οὗτος ParM* 19 *αὐτοῦ* scripsi e *M* *αὐτοῦ PMosB* edd *αὐτὸ Par* et *γρ* in marg Mor

ἕτερον δὲ τὸ μὴ τὸν θεὸν ὁμοίως ἡμῖν ἔτι βοηθεῖν ἐθελήσειν. τὸ γὰρ πρὸς ἑτέρας ἡμᾶς ἰδεῖν ἐλπίδας καὶ δέξασθαι λόγους ὑπὲρ ἄλλης ἐπικουρίας μετὰ τὴν μεγάλην ἐκείνην θαυμάσαιμ' ἂν εἰ μὴ τῆς εὐνοίας τε καὶ σπουδῆς ᾗ κέχρηται περὶ τὴν πόλιν ὁ θεὸς μέγα μέρος ἀφαιρήσεται. 4. *διὸ καὶ σφόδρα δεῖ τουτονὶ καὶ μισῆσαι καὶ ζημιῶσαι τηλικαύτης ἡμᾶς ἐν οἷς ἐπαγγέλλεται καί φησι δώσειν ἀποστεροῦντα ῥοπῆς, οἶμαι δὲ καὶ τοὺς τούτῳ συνειπόντας, οἳ τὸν μάγον ὅθεν φιλοῦσιν οὐκ ἄδηλον, εἰκότως ἂν τῆς παρ' ὑμῶν ὀργῆς τυγχάνειν, εἰ τὰ πρὸς τοῦτον ὄντα τοιοῦτον πρὸ τῶν τῆς πόλεως τίθενται.*

5. *Τῶν μὲν οὖν ἄλλων τινὲς ἀποροῦσι καὶ πρὸς αὐτοὺς ἐξητήκασι πολλάκις, ⟨ἐκ⟩ τίνος ποτὲ ἀρχῆς καὶ πόθεν τὴν αἰτίαν λαβὸν τὸ δεινὸν τοῦτο καὶ ἀφόρητον νόσημα κενοῖ τὴν πόλιν. καὶ δὴ καὶ πρὸς ἀλλήλους ᾐσθόμην τινῶν ἐπ' ἀγορᾶς στενόντων· τίνος ταύτην ἀδικήματος δίδομεν δίκην; οὐχὶ καὶ νεῴ καὶ ἱερὰ καὶ τεμένη καὶ βωμοὶ καὶ πάντα κατὰ τοὺς παλαιοὺς νόμους πεφύλακται τοῖς θεοῖς; οὐ θύομεν; οὐ σπένδομεν; οὐ τελοῦμεν; οὐ πανηγυρίζομεν; οὐ παρ' αὐτῶν ἐπὶ τὰς μάχας ἐρχόμεθα; οὐ μετὰ νίκας ἀναθήματα κομί-*

---

1 *μὴ* scripsi e *MB* *μὴ δὲ PParMos* *μηδὲ* edd | *ἡμῖν ὁμοίως MosM* | *ἔτι βοηθεῖν* om *B* 2 *ἰδεῖν ἡμᾶς Par* | *ὑμᾶς PB* 7 *ἐν οἷς* om *Par* 9 *τῶν μάγων* Mor | *τοι* post *ὅθεν B* 10 *εἰκότως ἂν* post *ὀργῆς Mos* 11 *εἶτα Par* | *τούτων P* sed *τοῦτον* suprascr m[2] 14 *αὐτοὺς* scripsi e *MB* *αὑτοὺς PParMos* edd | *ἐκ* inserui auctore Re om libri edd 18 *ταυτὴν* edd | *δίδομεν* scripsi e *PMosMB* ut coni Re *διδόαμεν Par* 19 *νεῴ* scripsi cum Bastio Greg. Cor. ed. Schaefer p. 646 *νεὼ PMosMB* edd *νεὼς Par*

ζομεν; οὐ συνθήκας τηροῦμεν; οὐχ ὅρκοις ἐμμένομεν; οὐ τὰ δίκαια πρὸς τοὺς περιχώρους ποιοῦμεν; πῶς οὖν νοσοῦμεν; 6. *οἱ μὲν ἄλλοι ταῦτα, ἐγὼ δὲ οὐδεπώποτε θαυμαστὸν ἡγησάμην τὸ ταῦτα πάσχειν ἃ πάσχομεν οὐχὶ τῶν τρόπων κατεγνω-*
R IV 726 *κὼς τῆς πόλεως οὐδ' ἀσεβές τι συνειδὼς | ὑμῖν οὐδ' ἄγριον οὐδέν, μήποθ' οὕτως ἀγνοήσαιμι τὴν πόλιν, ἀλλ' ὁρῶν τὸν ἄνθρωπον τοῦτον ἐκ γεωργίας μὲν ἢ θαλάττης ἤ τινος ἄλλης ἐπιεικοῦς ἐργασίας οὐ βουλόμενον ζῆν, τὴν πονηρὰν δὲ ταύτην μετιόντα τέχνην καὶ φάσκοντα μὲν ὑπὲρ τοὺς ἄλλους ἐπίστασθαι τοὺς θεοὺς καὶ τἀκείνων ἀπόρρητα καὶ τίσι χαίρουσι καὶ τίσιν ἕλκονται καὶ τί λαβόντες ἀντιδοῖεν ἄν.* 7. *ὅλως δὲ ὁ κατάρατος ἑταῖρον αὑτὸν καὶ φίλον προσαγορεύων τῶν θεῶν καὶ πᾶν δυσχερὲς δι' ἐκείνων λύειν ὑπισχνούμενος πολλοὺς οἴκους ἀνατέτραφε μισθῶν αὑτὸν ταῖς τῶν πολιτῶν ἔχθραις καὶ περὶ τοὺς τάφους καλινδούμενος κἀκεῖθεν ὀλέθρους τοῖς αὐτὸν οὐδὲν ἀδικοῦσιν ἐπάγων ἀνθρώποις, νεκροὺς ἐνοχλῶν καὶ ψυχὰς οὐκ ἐῶν ἐν τοῖς αὑτῶν μένειν ἤθεσι.* 8. *καὶ πολλοὶ δὴ τοὺς αὐτοῖς προσκεκρουκότας ἀπώλεσαν δι'*

---

10 Soph. O. R. 388 16 cf. t. IV 379, 2. Plat. Euthyphr. p. 14 B

---

1 *ἐμένομεν Par* 4 *οὐδὲ πώποτε MB* 6 *ἀσθενές Par* 7 *οὐδὲ MosB* 10 *τὴν* inserui e *MosB* om *PParM* edd 12 *τὰ ἐκείνων PParM* 13 *τίσιν*] *τίνων Par* 14 *αὐτὸν PParMosB* edd *ἑαυτὸν M* | *αὐτόν* post *φίλον P* | *προσαγορεύων* scripsi *προσαγορεύ*$^{\omega\nu}$*ει B* *προσαγορεύει PParMosM* edd 16 *ἀνατέτραφθαι Par* | *αὐτῶν P* 17 *κυλινδούμενος B* 18 *δι'* ante *αὐτὸν ParM* | *αὐτὸν οὐδὲν* scripsi e *ParMB* *οὐδὲν αὐτὸν PMos* edd 20 *ἐν* om Re | *αὐτῶν* libri edd 21 *δὲ Par* | *ἀπό*$^{\omega}$*λεσαν P*

ἑνὸς τούτου μισθοφόρου, ὃς οἷς ἤδη πολλοὺς περιβεβλήκει κακοῖς τούτοις καὶ τὴν τοῦ μὴ δοῦναι δίκην ἄδειαν παρεσκεύαζεν αὑτῷ. ὁ γὰρ αἰσθανόμενος καὶ κρίνειν δυνάμενος αὐτῷ παρῄνει σιγᾶν ὡς οὐκ ὂν ἀσφαλὲς ἄνδρα παροξύνειν ἀπὸ σημάτων ἰσχύοντα, ἐπεὶ καὶ αὐτὸς νῦν οἶδα μὲν ἃ πείσομαι, τὴν κοινὴν δὲ σωτηρίαν πρὸ τῆς ἐμαυτοῦ τιθέμενος ἀνέστην. τῷ δὲ οὐ τοῦτο συνηγωνίζετο μόνον, ἀλλὰ καὶ οἱ τὰς καλὰς αὐτῷ ταύτας ὀφείλοντες χάριτας πᾶν ἦσαν ἕτοιμοι καὶ ποιεῖν καὶ πάσχειν ὑπὲρ αὐτοῦ. ὁρᾶτε δὲ ὡς καὶ νῦν οὐδὲν ὀκνοῦσι.

9. *Ταῦτα ὁρῶντες οἱ θεοὶ καὶ μισοῦντες καὶ τοὺς τούτῳ περιπεσόντας ἐλεοῦντες τὴν ὀργὴν ἐπὶ πάντας ἀφῆκαν, ὃ πολλαχοῦ γεγένηται πολλάκις. τοῦτο δὲ ἄρα οὐδὲ τοὺς γενναίους ποιητὰς ἐλάνθανεν, ἀλλ' εἰδότες ᾄδουσι·*

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.

τοῦτο πόλεσι διέστησε γῆν, τοῦτο θάλατταν ἐπήνεγκε, τοῦτ' ὄμβρον ἔξω τοῦ μετρίου, τοῦτο λιμόν, τοῦθ' ὅπερ | ἡμῖν. 10. ἀλλὰ παρ' ὧν τὸ τραῦμα, παρὰ R IV 727
τούτων καὶ ἡ βοήθεια. ἐπειδὴ γὰρ πολλοὶ μὲν ἐτεθνήκεσαν ἤδη, τὰ δὲ τῶν ἰατρῶν ἦν οὐδέν, εἴδομεν οἱ

---

17 Hes. op. 240. cf. t. II 180, 4; 99, 6 23 Thuc. II 47, 3

---

2 *τὴν* om Mor 3 *αὐτῷ PB ἑαυτῷ ParM* 4 *αὐτῷ P ParMosB* edd | *νικᾶν Par* | *ἂν* Mor 5 *νοσημάτων Par* sed *νο* antepos m^2 6 *αὐτὸς* om *PParB* et *γρ* in marg Mor | *οἶδ' ἃ P* 10 *καὶ*(1) om *M* | *τε* post *ποιεῖν M* | *αὐτοῦ Par* 11 *καὶ* om *B* 14 *ὁ P καὶ Par ἧ M ἧ γρ* in marg Mor 17 *πολλάκις* libri Re 20 *ὄμβρους Par* sed *ους* in lac 3 vel 4 litt m^2 | *ἔξω* om *Par* | *λιμόν* scripsi *λοιμόν* libri edd 22 *καὶ* inser *B* | *ἐτεθνήκασιν PParM* 23 *τὸ Par* | *ἡ Mos*

χρῆν ἰδεῖν, ἐπὶ τὸν οὐκ ὀλίγαις πόλεσι λελυκότα καὶ ταύτας καὶ πολλὰς ἑτέρας συμφοράς, τὸν θεὸν τὸν ἐν Δελφοῖς. καὶ ἐδεδοίκειν μέν, ἐδεδοίκειν, ὦ πολῖται, μὴ τῷ τοῦτον οὐκ ἐξεληλακέναι τῆς πόλεως ἀτυχήσωμεν τοῦ μαντείου, κρείττων δὲ εὖ ποιῶν ὁ θεὸς τῆς ἐμῆς ἐλπίδος γίνεται καὶ ἀναιρεῖ δὴ σαφῆ καὶ ἁπλᾶ καὶ οὐχ οἷα τὰ πολλὰ Δελφικὰ τοῖς μὲν τοῦτο, τοῖς δ' ἐκεῖνο παρέχοντα νομίζειν, ἀλλ' εἶπε διαρρήδην, εἰ παῖς ἑνός του τῶν πολιτῶν ὑπὸ τοῦ δήμου τυθείη, στήσεσθαι τὸ κακόν. 11. *ταῦτα ἀκούσαντες ἀνέστρεφον οἱ θεωροὶ θέοντες νύκτα καὶ ἡμέραν ὁμοίως ἐπειγόμενοι καὶ ἡμεῖς ἐκαθήμεθα τρέμοντες, τί ποτ' ἄρα ἥξουσι φέροντες. ὡς δὲ ᾐσθόμεθα προσιόντας, πολλοὶ πρὸ τῶν τειχῶν περιχυθέντες ἠρωτῶμεν, εἴ τι τοιοῦτον ἦλθον ἀκούσαντες, ὃ δίδωσιν ἀναπνεῦσαι τῇ πόλει, χρηστὰ δὲ αὐτῶν ὑπισχνουμένων οὐκ ᾠόμεθα δεῖν μέλλειν, ἀλλ' ἐπὶ τὴν ἐκκλησίαν δρόμος καὶ ὁ γραμματεὺς εὐθὺς ἀνεγίνωσκε τὸν χρησμόν.* 12. *ἐνταῦθα ψήφισμα μὲν οὐκ ἐδόκει δεῖν γράφειν ὅτι τὸν ⟨δεῖνα τὸν⟩ τοῦ δεῖνος, οὐ γὰρ ἦν, οἶμαι, δημοκρατίᾳ πρέπον, κλῆρον δὲ ὁ καιρὸς ἐκάλει καὶ τὸ ἴσον οὕτως ἐσῴζετο.*

---

1 cf. t. V 118,6 2 cf. p. 378,10 20 cf. p. 309,20; t. V 38,1; VI 515,3. Arist. Thesm. 622 c. schol. Chor. inf. p. 216,7 Boiss.

---

3 *πολῖται* scripsi e *PParMos* (*πολίται*) *B* *ἄνδρες M* *παρόντες* edd cf. ad p. 371, 6 4 *τῷ* om *Par* | *τούτω Par* | *οὐκ* inserui e *Mos* cum Cobeto Coll 300 om reliqui libri edd | *ἐξεληλυθέναι B* 5 *κρείττ$\overset{\omega}{o}$ν B* | *δὲ* om *Par* 6 *γίγνεται M* edd | *σαφῶς Par* sed *ῶς* in lac 2 litt m² 8 *δὲ MosB* edd 9 *ἑνὸς τοῦ Par* | *τεθείη PPar* 10 *στήσε$\overset{σθαι}{ται}$ B* 11 *θέοντες* om *PPar* et *γρ* in marg Mor 12 *ποτε B* 13 *δὲ* ante *ᾐσθόμεθα* posui e *MosMB*, post *PPar* edd 14 *ἐρωτῶμεν Par* 17 *μέλειν P* 18 *ἀνεγίγνωσκε Mos* | *ἐντεῦθεν P* et *γρ* in marg Mor 20 *δεῖνα τὸν* inserui coll ll. ll. om libri edd

τῶν πατέρων δὲ παρόντων καὶ τῶν ὀνομάτων ἃ τοῖς τούτων ἦν παισὶν ἐν τοῖς κλήροις κειμένων καὶ τῶν ἐφεξῆς πραττομένων ἔλαχεν ὁ τοῦ πολλὰ καὶ δεινὰ τούτου δεδρακότος υἱός. καὶ ἐπηκολούθησεν, ὡς ἴστε, κρότος, ὅτι δὴ δυοῖν ἐμέλλομεν ἀπαλλάξεσθαι κακῶν, λοιμοῦ τε καὶ πονηροῦ σπέρματος. 13. *τὸ μὲν οὖν δίκαιον ἦν εὐθὺς τεθύσθαι τὸ ἱερεῖον* | *καὶ τὴν* R IV 728 *νόσον ἀπεληλυθέναι καὶ εἶναι νῦν τὴν πόλιν ἐν δευτέραις θυσίαις ταῖς ἐπὶ τῷ σεσῶσθαι καὶ τοῦτον μάλιστα μὲν μὴ λίαν ἀλγεῖν ὡς ἂν καὶ αὐτῷ τινος γιγνομένης φιλοτιμίας, εἰ δ' οὐχ οἷόν τε τοῦτό [γε], προσποιεῖσθαί γε· ὁ δὲ αἴρεται μὲν πρὸς τὸν θεὸν πόλεμον, καταφρονεῖ δὲ ὑμῶν, οἷς δὲ λέγει τὴν νόσον ἐκτείνει καὶ μὴ προσέχετε τῷ Πυθίῳ, φησίν, ἀλλ' ἐμοί. παύσω γὰρ τὸν λοιμὸν ἐγώ. καὶ τί δεῖ τὸν παῖδα θύειν; καὶ ὁ μὲν γόης ταῦτα, ὑμεῖς δὲ ἀνέχεσθε.* 14. *νῦν, ὦ κατάρατε, ταῦτα λέγεις καὶ τολμᾷς ὁμολογεῖν ὡς ἔχων βοηθεῖν οὐκ ἐβούλου; οὐκοῦν οὐχ ὁ παῖς διὰ τοῦτο ζῆν ἄξιος, ἀλλ' οὗτος προστυθῆναι τῷ παιδὶ καὶ τὸν μὲν ὑπηρετῆσαι τῷ χρησμῷ δίκαιον, τὸν δὲ δοῦναι δίκην, ὅστις ὁρῶν τὴν πόλιν οὕτως*

---

12 Her. VII 132. Thuc. I 80, 2

---

3 *τὰ B* 5 *ὅτι* scripsi *ὅ τι* libri edd | *δὴ* om *M* *δὲ Par* | *ἀπαλλάξεσθαι M* sed *ε* in ras *ἀπαλλάξασθαι P* Mor sed in hoc *γρ ἀπαλλάξεσθαι* in marg 7 *εὐθύς τε θῦσαι*^{σθαι} *B* *εὐθύς τε θῦσαι Mos* Mor | *τεθῦσθαι Par* Re 8 *πόλιν PPar* et *γρ* in marg Mor 11 *γινομένης Par* *γενομένης P* edd sed *γρ γιγνομένης* in marg Mor | *εἰ*] *οὐ Par* | *οἷός τε* Re | *γε* om *B* cancellavi 12 *τὸν* om Re 15 *φησὶ* post *γὰρ PPar* Re *φημὶ* Mor delevi 19 *τοῦτο*^{ων} *B* | *προστυθῆναι* scripsi e *γρ* in marg Mor cum Iacobsio Add 199 Lect 138 Cobeto Coll 300 *προστεθῆναι ParMB* Re *προστεθεῖναι PMos* Mor 21 *οἰκτρῶς οὕτως MosB*

οἰκτρῶς ἀπολλυμένην οὐκ ἠλέησεν οὐδὲ ἐπήμυνε κύριος ὤν, ὡς αὐτὸς λέγει;

15. Ἀλλὰ τοῦτο μὲν οὐκ ἄξιον ἐγκαλεῖν, οὔτε γὰρ τότε τοσοῦτον οὔτε νῦν ἰσχύει, διακρούεται δὲ καὶ παράγειν ἐπιχειρεῖ καί ἔστι πανταχοῦ πονηρός. ὃς πρῶτον μὲν ὑμᾶς οὐκ ἐᾷ τοῖς ἐγνωσμένοις ἐμμένειν. φέρε γάρ, τί τότε βουλευομένοις ὑμῖν ὑπὲρ βοηθείας ἔδοξεν; οὐ τοὺς μὲν ἀνθρώπους ἅπαντας χαίρειν ἐᾶν ὡς ἂν ἐλάττονας τοῦ πράγματος, ἐπὶ δὲ τὴν ἁπάσης κρείττω συμφορᾶς ἐπικουρίαν καταφεύγειν, τὸν θεὸν τὸν ἐν Δελφοῖς; 16. καὶ οὐκ ἂν φαίην ὅτι πολλοὶ περὶ τούτων ἐγένοντο λόγοι παρ' ὑμῖν. ἀλλ' εἶπε μὲν ὁ δεῖνα διὰ βραχέων, ἀντεῖπε δὲ οὐδείς, ἐχειροτόνησε δὲ ὁ δῆμος. ᾑρέθησαν οἱ θεωροί, ἦλθον ἐκεῖσε, ἐχρήσαντο τῷ μαντείῳ, τί παύσει τὴν νόσον; ἤκουσαν, ἐπανῆλθον, ἀπήγγειλαν· ἔξεστι μὴ νοσεῖν. νῦν οὖν λύσομεν τὰ δεδογμένα καὶ οὐκ αἰσχυνούμεθα τὰς μεταβολὰς αἳ μέγιστα ὀνείδη καὶ ἀνδρὶ καὶ πόλει φέρουσιν; οὐ γάρ ἔστιν ἀνοίας αἰτίαν ἐν τοῖς τοιούτοις διαφυγεῖν, οὐ γὰρ οἷόν τε τοῦ δέοντος ἐν ἀμφοτέροις
R IV 729 οὖσί γε ἐναντίοις τυγχάνειν, | ἀλλ' ἀνάγκη θάτερον ὁμολογεῖν ἡμαρτῆσθαι. 17. θαυμάζω δὲ εἰ τοὺς μὲν τυράννους μισοῦμεν, ὅτι τὸν δῆμον ἀσθενῆ ποι-

11 cf. p. 376, 2

λου
1 ἀπολλυμένην B   3 γὰρ om B   4 ἰσχύειν B   7 βουλομένοις Par | ἡμῖν B   9 ὡς Par sed ς in ras 3 litt m² | ἂν om Par   11 καὶ om Par | φαίης B   14 ᾑρέθησαν scripsi ἡρέθησαν ParB edd ἡρέθισαν M ἡρέσθησαν PMos | δὲ post ἡρέθησαν P edd delevi | θεωροὶ Par sed θεω in ras 5 litt m²   17 αἰσχυνόμεθα ParMos   19 ἀγνοίας B   21 ἀλλὰ P MosMB edd   23 μὲν om P

οὖσι, τούτῳ δὲ εἰσόμεθα χάριν ὃς ἰσχυρότερον αὐτὸν ποιεῖ τῶν τῷ δήμῳ κεκυρωμένων. καὶ εἰ μὲν ψήφισμά τις ἔλυσε περὶ δωρεᾶς γεγραμμένον ἢ περὶ τοῦ δεῖν τοῖς ἀστυγείτοσι βοηθεῖν ἢ περὶ τοῦ παρ' ἐκείνων μεταπέμπεσθαι βοήθειαν, δεινὸν ἦν ἂν καὶ ἠγανακτοῦμεν. 18. τί λέγεις; μάτην οὖν συλλεγόμεθα καὶ ῥητόρων ἀκούομεν καὶ τὰ λεγόμενα δοκιμάζομεν καὶ χειροτονοῦμεν καὶ κύριον ποιοῦντες τὸ δοκοῦν εὖ ἔχειν ἀπερχόμεθα; νῦν δὲ πρᾴως οἴσομεν ἀναιρουμένης τῆς γνώμης καθ' ἣν ἔδοξεν ἀντιστῆσαι τῷ λοιμῷ τὸ μαντεῖον; 19. καὶ εἰ μὲν πρὶν ἀπᾶραι τοὺς θεωροὺς ἐπεχείρει τοῦτο ὃ νυνὶ ποιεῖ, καὶ οὕτως ἂν ὕβρις ἦν καὶ οὐκ ἂν βελτίους ἐνομίσθησαν τῶν ἐκεῖθεν ἐλπίδων οἱ παρὰ τούτου λόγοι· ἡκόντων δὲ ἐκεῖσε καὶ δεηθέντων καὶ ὧν ᾔτησαν τετυχηκότων πάντων τούτων καταγελάσαντες τὸ τοῦ μάγου θαυμασόμεθα; καὶ εἰ μὲν ἐπ' ἄλλον τις ἡμᾶς ἦγε θεόν, οὐδὲ τοῦτ' ἂν ἦν καθαρὸν αἰτίας, ἀλλ' ἧττον μὲν τοῦ νῦν ἁμαρτανομένου, τοὺς μεμφομένους δὲ εἶχεν ἄν· νῦν δὲ ἐπ' ἄνθρωπον ἰόντες μετὰ τὸν θεὸν οὐδὲν ἀδικήσομεν; 20. καὶ μὴν οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν ὡς ἐπὶ μαντεῖον

---

1 τούτου *Par* | αὐτὸν *PParMos* edd 2 ποιεῖ om *ParM* | τῶν om *Par* | κεκυρωμένος *Par* sed ένος in ras 4 litt m² | καθίστησι post κεκυρωμένων *M* 3 τι *B* 5 ἦν ἂν scripsi e *PMB* ἂν ἦν *ParMos* edd cf. l. 19; 381, 2; 383, 6; 392, 21 9 νυνὶ *Par* | δὲ inser *Par²* 10 ἀντιστῆναι *Mos* 11 πρὶν *Par* sed ὶν in ras 2 litt m² | ἀπάραι *PParMosM* edd 12 ὃ *Par* sed o in ras m² | νῦν *ParM* 14 τούτου scripsi e *ParMosMB* τοῦδε *P* edd sed γρ τούτου in marg Mor 16 τὸ om *P* Mor 17 τίς *PParM* Mor | ἡμᾶς ante ἦγε scripsi e *B* ὑμῶν Mor ἡμᾶς post θεὸν *PParM* edd, γρ ὑμᾶς in marg Mor | ταῦτ' *Par* 18 voce ἦν inc *Cr* fol 67ᵛ om *M* 19 δ' (2) *PMos* edd 20 μετὰ *Par* sed με in ras m² 21 τὸ ante μαντεῖον *ParM*

μὲν ἤλθομεν, οὐ μὴν τῶν ἄγαν πιστευομένων οὐδ' οὗ μάλιστα τἀληθὲς εὑρίσκεται, ἀλλ' ἴσασιν ἅπαντες τὸ Δελφικὸν καὶ τῷ τόπῳ καὶ τῇ δόξῃ καὶ τῇ περὶ πάντα ἀψευδείᾳ πάντα παριὸν χρηστήρια. τοῦτο καὶ τύραννοι βαρβάρων ἔγνωσαν καὶ ὧν εἶχον τὰ κάλλιστα φέροντες ἀνέθηκαν, τοῦτο τὰς πολλὰς τῶν Ἑλληνίδων πόλεων ᾤκισε, τοῦτο τῷ γένει τῶν Ἑλλήνων ἐν ταῖς μεγίσταις δυσκολίαις ἤρκεσε. 21. *καὶ οὐ νῦν πρῶτον ἡ* R IV 730 | *δύναμις αὐτοῦ κρίνεται, ἀλλὰ μακροῦ χρόνου καὶ πείρας πολλῆς καὶ μαρτυρίας κοινῆς ἄνθρωπος θεοῖς ἐχθρὸς ἀξιοῖ φανῆναι σεμνότερος. οὐ τοίνυν οὐδ' ὁ τρόπος τῆς ἰάσεως καινός, ἀλλ' ἤδη καὶ ἑτέροις δι' ἴσων λέλυνται συμφοραί. καὶ οὐκ ἀφανεῖς γε αἱ θυσίαι, ἀλλὰ κἂν οἱ παῖδες εἴποιεν ταῦτα καὶ διηγήσαιντο τοὺς θύσαντας, τοὺς τεθυμένους ὑπὲρ ὧν τέθυνται. τί τοίνυν ἐστὶ τὸ πεῖθον ἀντὶ τοῦ θεοῦ καὶ τῶν παρ' ἐκείνου τὸν μάγον ποιήσασθαι;*

---

3 cf. t. I 521, 19 sq. 4 Plat. rep. VI p. 485 C. Themist. or. XXI p. 257 C 5 Her. I 25; 46 sq. 51. Paus. III 10, 10 6 Plat. rep. IV p. 427 C. Cic. de div. I 1, 3. Her. V 42. Iul. or. IV p. 198, 10

---

1 *μὲν ἤλθομεν*] *μετήλθομεν P* et *γρ* in marg Mor 2 *ἴσασιν Mos* | *ἅπαντες Par* sed *ες* ex *α* corr m² 3 *τρόπῳ PPar M* et *γρ* in marg Mor 4 *ἀψευδείᾳ* scripsi e *Par* *ἀψευδείας Cr* *ἀψευδίᾳ PMosMB* edd | *τὰ* ante *χρηστήρια M* | *χρηστήρια Par* sed *ρη* ex *αρι* corr m² scriptura in *Cr* incerta 6 *ἀνέθεσαν Par* et *γρ* in marg *M* *ἀνέθεντο P* | *ἑλληνίδων πόλεων Par* sed *γράφεται καὶ ἑλλήνων πόλεις* in marg m², Mor sed *γρ* in marg *Ἑλλήνων πόλεις* *ἑλλήνων πόλεις MosB* cf. t. V 524, 13; VI 13, 7 9 *ἀλλὰ καὶ χρόνου μακροῦ ParM* *ἀλλὰ καὶ ἀπὸ χρόνου μακροῦ* et *κοινῆς ἧς* dubitanter coni Re | verba post *μακροῦ χρόνου* usque ad 381, 12 *τοῖς θεοῖς* in *Cr* iam non legi possunt 10 colon post *κοινῆς* libri edd delevi 11 *ἐχθρὸς θεοῖς Mos* | *φανῆναι* scripsi e *MosB* et *γρ* in marg Mor *νομισθῆναι PParM* edd 13 *καὶ* om *Par* 14 *εἴποιέν τ' αὐτὰς* coni Re | *διηγήσονται Par*

22. Οὕτω μὲν οὖν, εἰ καὶ σφόδρα πάντα εἶκε τῇ τοῦδε τέχνῃ, τῶν ἀτοπωτάτων ἦν ἂν καταγνῶναι μὲν μανίαν τῶν ἄρτι δεδογμένων, ἀτιμάσαι δὲ θεὸν τὸν οὐκ ἀτιμάσαντα τὴν πόλιν. ὡς δὲ καὶ ψεύδεται καὶ φενακίζει καὶ ὧν πλεῖστον ἀπολείπεται, ταῦτα ἐπαγγέλλεται, γνῶναι ῥᾴδιον. ὅτῳ γὰρ ὑμῶν, ὦ πολῖται, πιστὸν ὅτι οὗτος πολίτης ὢν καὶ τοσαύτην ὁρῶν φθορὰν καὶ κίνδυνον ὡς μηδένα ἡμῶν λειφθήσεσθαι, καὶ τὸν περὶ τὰς ταφὰς νόμον κεκινημένον τῷ πλήθει τῶν νεκρῶν κατέσχεν ἂν καὶ οὐκ ἐξέφηνεν αὐτόν, ἀλλὰ προήκατο καιρὸν παρασχόντα αὐτῷ σωτῆρα κληθῆναι τῆς πόλεως; διὰ τί γάρ, ὦ τοῖς θεοῖς ἐρίζων τήμερον, οὐκ ἐπεδείξω τὴν δύναμιν ταύτην; πότερον οὐκ εἶχε τὸ πρᾶγμα δόξαν; οὐδὲ ἔστιν εἰπεῖν ὅσην. ἀλλ' οὐχ ὑπῆρχε βουλομένῳ κερδαίνειν; καὶ τίνος ἂν ὧν ἂν ἐπήγγελλες ἠτύχησας; 23. τῶν μὲν ἄλλων εὐεργετῶν ἕκαστος | ἕν τι λαβὼν ἐγένετο ζηλωτός, σοὶ R IV 731
δ' ἂν ἅπαντα συλλαβόντες ἔδομεν, σίτησιν, ἀτέλειαν,

9 Thuc. II 52, 3

1 πάντα σφόδρα *Mos* 2 τέχνῃ om *B* | ἂν ἦν *ParB* cf. ad p. 379, 5 4 καὶ (1) om *M* inser *Par²* 6 ὅτῳ γὰρ ὑμῶν scripsi e *MB* ut coni Re οὐ ὅτῳ γὰρ ὑμῶν *Mos* οὕτω (sed υτω in ras m²) γὰρ ὑμῶν *Par* ὅπου γὰρ ὑμῖν *P* edd cf. t. VI 575, 3 ἀνθ' ὅτου | πολῖται scripsi e *Mos* (πολίται) *B* παρόντες *PParM* edd cf. p. 371, 6 7 ὅ τι *Mor* 8 ὡς om *ParMB* et γρ in marg *Mor* del Re scriptura in *Cr* haud perspicua 9 κεκινημένου *Par* 10 αὐτὸν *ParM* edd 12 διατί *ParB* 13 „*post* ἐπεδείξω *videtur* πάλαι *deesse*" Re 14 οὐδέν ἐστιν *ParM* | ὅση *B* 15 οὐχ om *B* 16 ἂν inserui e *B* om *PParMosM* edd | ἐπήγγελλες scripsi e *Mos* ἐπήγγελες (ἠτύχησας) reliqui libri edd | ἠστόχησας *B* 18 ἂν inserui e libris sed scriptura in *Cr* incerta, cum Sinteni om edd

γῆν πολλήν, ταλάντων πλῆθος, εἰκόνας πανταχοῦ τῆς πόλεως, ἐν στοαῖς, ἐν γυμνασίοις, ἐν ἱεροῖς. τάχα δ' ἄν τις ἔγραψε καὶ κρατήρων σε κοινωνεῖν καὶ μετὰ τῶν θεῶν ᾄδεσθαι. πῶς οὖν ᾑροῦ ζημιοῦν μετὰ τῆς πόλεως σαυτὸν σαυτῷ μὲν τοσούτων ἀγαθῶν, τῇ δὲ σωτηρίας φθονῶν ἐξὸν μετὰ τῆς πόλεως τηλικαῦτα κερδαίνειν; τίς οὕτως ἀλλόκοτος ὅστις ἂν ταῦτα ἀντὶ τοῦ ζητεῖν φύγοι; τίς οὐκ ἂν ηὔξατο ταῦτα δυνηθεὶς ἀποθανεῖν εἰδὼς οἵων ἐφ' οἵοις ἔργοις ἐπιγραμμάτων τεύξεται; σοὶ δὲ καὶ ζῶντι τούτων ἂν ὑπῆρχεν ἀπολαύειν. 24. καὶ μὴν ὅ γε λοιμοῦ δυνατώτερος οὗτος ἂν γένοιτο καὶ λιμοῦ. καὶ λιμοὺς τοίνυν ἂν ἐλελύκει πόλεσιν ὄμβρον καλῶν τε τὸν οὐ φαινόμενον καὶ τὸν πλεονάζοντα σωφρονίζων καὶ τὰς Ὥρας πείθων μηδὲν τὴν γῆν ἀδικεῖν. καὶ μὴν ὅτῳ γε πρὸς ταῦτα δύναμις, οὗτος ἂν ῥᾳδίως καὶ πολεμίους τρέψαιτο μηδὲν δεηθεὶς ὅπλων καὶ ἵππων καὶ στρατηγῶν. πόσα τοίνυν ἔστησας

---

3 Dem. fals. leg. p. 431, 18; Macart. p. 1072, 21. Athen. XV p. 692 e sq.

---

1 *πανταχοῦ* scripsi e *ParM* *πολλαχοῦ PMosB* edd scriptura in *Cr* incerta 3 *κατηγόρων B* 4 *τῶν* om *Par* 5 *αὑτὸν PParM* | *τῇ* scripsi e *PMB* *τῆς Par* edd *τοῖς Mos* 6 *τοῖς* (*ταῖς* edd) *πολίταις* post *φθονῶν Mos* edd scriptura in *Cr* haud perspicua delevi 8 *ζητεῖν* scripsi e *Par* sed *τεῖν* in ras 1 litt m², *MosMB* et *γρ* in marg Mor *ζῆν P* edd sed *„post ζῆν videtur ἑλέσθαι deesse“* Re scriptura in *Cr* haud perspicua | *οὖν* post *τίς B* | *εὔξατο P* edd 9 *οἷς B* 12 *λιμοῦ* reposui e libris sed scriptura in *Cr* haud perspicua, ut coni Mor Not et Iacobs Lect *λοιμοῦ* edd | *λιμοὺς* reposui e libris sed scriptura in *Cr* haud perspicua *λοιμοὺς* edd sed *λιμὸν* coni Mor Not | *τοίνυν* om *MosM* del *Par²* | *ἐκλελύκει MosM* 13 *ταῖς* ante *πόλεσιν M* et inser *Par²* | *γρ ὑφαινόμενον* in marg Mor | sequentia usque ad p. 384, 11 *ἡμᾶς* in *Cr* iam non legi possunt 14 *Ὥρας* scripsi *ὥρας* libri edd 15 *γρ πάντα* in marg Mor

ἀπὸ τῶν ἐναντίων τρόπαια; 25. *καίτοι καὶ ταῦτ' ἄν, εἴπερ ἦν σοι δύναμις, ἐπέπρακτο. οὐ γὰρ δὴ τοὺς ἀριστεύοντας μᾶλλον ἂν ἐβούλου μακαρίζειν ἢ αὐτὸς εἶναι τῶν στεφανουμένων καὶ μᾶλλόν γε ἢ κατ' ἐκείνους ἐπαινουμένων, ὅσῳπερ ἀψοφητὶ καὶ χωρὶς πραγμάτων τοὺς πολεμίους ἤλαυνες ἄν. ἐγὼ τοῦτον εἶδον πολλάκις ὑπὲρ ἀργυρίου διαλεγόμενον τοῖς ἐμπόροις καὶ νῦν μὲν αἰτοῦντα, νῦν δὲ τοῦ λαβεῖν εἰδότα χάριν. καίτοι τί χρῆν τοῖς πλουσίοις ἐνοχλεῖν ἐξὸν εἶναι τῶν δοῦναι δυναμένων;* 26. *διὰ τί | γὰρ μὴ πάντας* R IV 732 *σοι θησαυροὺς ἀπεκάλυψεν ἡ τέχνη καὶ ὅσα νῦν ἐν τῇ γῇ κρύπτεται τῆς σῆς οἰκίας ἐποίησεν; ὅτι, φησίν, ἄλλος ἄλλο τι μεμελέτηκεν, ἐγὼ δὲ τοῦτο οὐ κακῶς ἐπίσταμαι. τὸ δὲ μὴ προσελθεῖν ὑμῖν μηδὲ ἐπαγγείλασθαι πρότερον διὰ τουτουσὶ τοὺς φθονοῦντας καὶ διαβάλλοντας τὴν τέχνην γεγένηται, νῦν δὲ εἰς ἀνάγκην ἀφῖγμαι.* 27. *ἐγὼ δὲ ὅτι μὲν καὶ δι' ἐκείνων ἂν ἦλθεν ὁ λοιμοὺς σβεν-*

---

5 cf. t. I 479, 5; III 145, 5

---

1 *καὶ* om *B* | *ταῦτα MB* 3 *ἂν* — 4 *μᾶλλόν* om *M* | *ἢ* scripsi e *PPar* cum Iacobsio Lect et Sinteni *εἰ MosB* edd 4 *τῶν* ante *κατ' M* 6 *τούτων ParM* 7 *ἀργυρίου Par* sed *ρίου* in ras m² *ἀργυρίων B* | *εὐπόροις Par* sed in ras m², *Mos* et coni Iacobs Lect 9 *εἶναι Par* sed *εἶ* in ras 4 litt m² 10 *διατί PB* 15 *μὴ δὲ PParB* | *διὰ τοὺς φθονοῦντας τουτουσὶ τοῦτο εἰσὶ καὶ διαβάλλοντας γρ* in marg Mor | *τουτουσὶ Par* sed *του*(2) in ras m² 17 *γεγένηται* scripsi e *Par MosMB* et *γρ* in marg Mor *γέγονεν P* edd scriptura in *Cr* haud perspicua 18 *καὶ* — *σβεννύων* in lac 30 fere litt om *M* | *ἐκείνων* scripsi e *PParMos* et *γρ* in marg Mor ut coni Re *ἐκεῖνον B* edd scriptura in *Cr* haud perspicua | *ἂν ἦλθεν* scripsi e *B* *ἦλθεν ἂν PParMos* edd | *λοιμοὺς* scripsi *λοιμὸς PMosB* edd sed „*leg. suspicor λοιμὸν aut λοιμοὺς*“ Re *λογισμὸσβεννύων Par* sed *γρ ὁ λοιμὸν σβεννύων* in marg m² scriptura in *Cr* haud perspicua

νύων αὐτὸν ποιῶν πλείονος ἄξιον, οὐδὲν οἶμαι δεῖν ἐπισταμένους διδάσκειν· περὶ δ' αὖ τῆς διαβολῆς ἐκεῖνο λέγω· τίς οὐκ ἂν ἠνέσχετο ῥημάτων ὀλίγων καὶ βλασφημίας τινὸς μέλλων συκοφάντας τοὺς λοιδοροῦντας ἐλέγξειν; πῶς δ' ἂν οὐ μᾶλλον ἀπέπνιξας τοὺς τὴν σὴν βασκαίνοντας δύναμιν, εἰ ταύτην ἔδειξας ἐπὶ τῷ τῆς πόλεως ἀγαθῷ κεκτημένος; ἐγὼ πρῶτος ἀναστὰς ἐκάλουν ἂν ἐκείνους λοιμοὺς καὶ τῆς πόλεως ἐχθροὺς καὶ τιμωρίαν ἀπῄτουν. ἀλλ' οὐ τὸν φθόνον ἐδεδίεις. πόθεν; ἀλλ' ᾔδεις οὐδὲν ὂν παρὰ σαυτῷ τοσοῦτον. διὰ τοῦτ' ἐπῄνεις ἡμᾶς παρὰ τὸν θεὸν βαδίζοντας.

28. Μὴ ὅσα φασὶν οὗτοι δύνασθαι, πάντα τούτοις, ὦ πολῖται, δυνατὰ νομίζετε, ἀλλὰ τὰ μέν, τὰ δ' οὔ, καὶ τὰ μὲν σφόδρα, τὰ δ' ἥκιστα. τοῖς γὰρ οἷος οὗτός ἐστιν ἀνελεῖν μὲν συμφορὰν οὐκ ἔστι, ῥάψαι δὲ καὶ κατασκευάσαι. διὰ τοῦτο τῶν μισουμένων μᾶλλόν εἰσιν ἢ τῶν τιμῶν ἀξιουμένων. εὐδαίμονα μὲν γὰρ ἐποίησαν οὐδένα, πολλοὺς δὲ ἀθλίους. 29. πόθεν δὴ τοῦτο τοιοῦτόν ἐστι; τῶν δαιμόνων οἱ μὲν χείρους καὶ κακῶς ποιεῖν πεφυκότες τέρπονταί τε τοῖς ὑπὸ τούτων δρω-
R IV 733 μένοις καὶ συγκαταπράττουσι | τὰ δεινὰ δὴ ταῦτα καὶ ἀπολλύντα ἀνθρώπους. μεθ' ὧν οὗτοι διιστᾶσι

8 cf. t. I 168, 9; III 187, 4. Dem. Aristog. I p. 794, 5

1 αὑτὸν scripsi e *CrB* αὐτὸν *PParMosM* edd 5 οὐ inserui e *B* om *PParMosM* edd scriptura in *Cr* incerta 6 πρὸς ante τὴν *MosM* Mor et inser *Par*[2] del Re | ἢ ante εἰ *M* et inser *Par*[2] et inserendum coni Iacobs Lect 11 διατοῦτ' *P* | ἡμᾶς in marg *Par*[2] 13 ὦ παῖ *P* ὦπται ἢ *Par* sed ἢ inser m[2] | νομίζεται (ε supra) *Par* 14 τὰ(1)] ταῦτα *Par* 16 διατοῦτο *B* | μᾶλλον τῶν μισουμένων *M* | μισούντων *Mos* 17 τῶν (o supra) *Mos*

φίλους, ἐκπολεμοῦσι πρὸς αὐτὴν συγγένειαν, πλοῦτον διεσκέδασαν, πενίαν ἐπήνεγκαν, ὀφθαλμὸν ἐξέκοψαν, γλῶτταν ἀπέστρεψαν, κωφὸν ἀπέφηναν, πόδας ἔδησαν, χεῖρας ἐπήρωσαν, σῶμα συνέτηξαν, πολλὰ πρὸς τούτοις, ἃ ὅπως μὲν δύνανται καὶ τί ποιοῦντες ἢ λέγοντες, οὗτος μὲν οἶδε καλῶς, ἐγὼ δὲ οὐ μεμάθηκα μηδὲ μάθοιμι. ταῦτα δ' οὖν ἐστι τὰ τῆς τούτων συμμορίας καὶ τοῦτο ἔργον τῆς καλῆς ταύτης τέχνης. 30. τῶν μὲν οὖν πονηρῶν δαιμόνων αὐτὸν καλείτω φίλον, οὐδὲν ἀντιλέγω, παρ' ὧν δὲ τὰ χρηστὰ τοῖς ἀνθρώποις καὶ αἱ τῶν κακῶν ἀπαλλαγαί, τούτοις οὗτος ἐχθρὸς ἀπ' αὐτῆς τῆς πρὸς τοὺς ἑτέρους φιλίας. οὐ γὰρ οἷόν τε τὸν αὐτὸν παρ' ἀμφοτέροις δύνασθαι, ἀλλ' ὅστις τι δι' ἐκείνων ἔβλαψεν, οὗτος τοῦ δύνασθαί τι καὶ διὰ τούτων ὠφελεῖν αὐτὸν ἀπεστέρησε. βλάπτουσι δὲ ἕνα ἄνδρα καὶ δύο, κἂν τὰ μέγιστα δυνηθῶσιν, οἶκον ὅλον καὶ πόλιν. τῷ μὲν εἶναι κακοὶ καὶ μὴ διδόναι δίκην ζημιοῦσι, τῇ τέχνῃ δὲ καὶ τοῖς φαρμάκοις οὐδέν.

31. Καὶ τί δεῖ πόρρωθεν τὴν τούτου περὶ τὰς εὐεργεσίας ἀδυναμίαν ἐλέγχειν ἔχοντα ἐκ τῶν νῦν τοῦτο ποιεῖν; ἄνθρωπος κλῆρον παρατρέψαι μὴ δυ-

---

3 cf. t. I 259, 6; III 133, 18 cum Add. et Corr.; VI 128, 9. Dem. fals. leg. p. 406, 4 21 cf. p. 376, 21 sq.; 390, 7

---

2 *ὀφθαλμὸν* reposui e *PParMB* scriptura in *Cr* abrasa *ὀφθαλμοὺς Mos* edd 6 *μηδὲ* scripsi *μήτε* libri sed scriptura in *Cr* abrasa, edd 9 *αὐτὸν PPar* 10 *τοῖς ἀνθρώποις τὰ χρηστὰ Mos* 11 *δὲ* post *τούτοις PParMosM* edd scriptura in *Cr* abrasa delevi 14 *τί*(1) *PPar* | *καὶ* om *Mos* 15 *αὐτὸν P ParB* edd | *ἀπεστέρηται* Mor 17 *ὅλην MosMB* sed in hoc *η* in ras, et *γρ* in marg Mor | *δὲ MosB* sed in hoc in ras, et *γρ* in marg Mor | *τὸ PPar* et *γρ* in marg Mor | *κακοὶ* scripsi e *Par* sed *ὶ* ex *`ν* corr m², *MosMB* sed in hoc *ι* in ras *κακὸν P* edd sed „*malim κακοὶ*“ Re

νηθεὶς πόλιν ὅλην ῥύεται νόσου; ἄνθρωπος ἄχρηστος ⟨τῷ⟩ κινδυνεύοντι παιδὶ λοιμοῦ περιγίνεται; οὐκ ἐδεδίεις μὴ λάχῃ; τί οὖν λαχόντος τρέμεις; ἀλλ' ἐδεδίεις μὴ λάχῃ; τί οὖν οὐκ ἐποίεις μὴ λαχεῖν; ἀλλ' οὐ προσεδόκησας; ποῦ τοίνυν ὁ θαυμάσιος μάγος; 32. ἐῶ τἄλλα, ἀλλ' ἔχομαί σου τοῦ παιδὸς νῦν ἐγὼ καὶ οἵδε πάντες καὶ θύειν μέλλομεν. νίκησον ἡμᾶς, ῥῦσαι τὸ σῶμα, τῶν χειρῶν ἐξάρπασον, ἀφάνισον τὸ μειράκιον νεφέλῃ, ποίησον ἡμᾶς δοκεῖν ἔχειν αὐτὸν οὐκ ἔχοντας. R IV 734 ὁρᾷς ὡς ἀπορεῖς καὶ ἐξελεγχόμενος | οὐκ ἔχεις ὅ τι χρήσῃ;

33. Τίνα δὴ παρεχόμενος τοῦ παύσειν τὸν λοιμὸν ἀπόδειξιν ἀξιοῖς ᾧ θαρροῦμεν ἀφέντας οἷς οὐκ ἔνι πιστεύειν ἀναμένειν; ὅτι, φησίν, εἰ μὴ σφόδρα ἐπεπείσμην ἀρκέσειν πρὸς τὸ ἔργον, οὐκ ἂν ἐπηγγελλόμην. τί γὰρ ὄφελος αὖθις ἐπὶ τὴν σφαγὴν ἀγομένου τοῦ παιδός; 34. ἓν τοῦτο πρῶτον, ὦ μάγε, τὸ μὴ τήμερον αὐτὸν ἀποθνήσκειν. σὺ δ', ὡς εἰκός, αἰτήσεις καὶ τὴν ἐπιοῦσαν ἡμέραν καὶ τρίτην καὶ τετάρτην καὶ δέκα καὶ δὶς τοσαύτας φάσκων τῶν εἰς τὴν ἴασιν φερόντων τοῦ μὲν εὐπορεῖν, τοῦ δ' οὔπω, μεῖζον δὲ ἐκεῖνο τὸ μήπω φαινόμενον δύνασθαι.

---

20 Her. IV 90

---

2 τῷ inserui om libri edd | παιδὶ inser *Par*² 6 τ' ἄλλα *B* | οἶδα πάντως *PPar* et γρ in marg Mor 7 ἐμέλλομεν *Par* 9 αὐτὸ *B* 12 παρεχόμενος *Par* sed ος in ras m² 13 ἀφέντας scripsi ἀφέντες libri edd | ἔστι *Par* 17 ἀγόμενος *B* | αἰτεῖς post πρῶτον deesse censet Re perperam, ut observavit Iacobsius Lect 20 δεκάτην *B* | δίς τοσαύτας *Par* sed δίς το in ras m² 21 εἰς om *M* | τὴν om *ParM* | verba inde a μὲν usque ad ἐμὲ p. 389, 20 in *Cr* abrasa | εὐπορῶν *Mos* Mor sed in hoc γρ εὐπορεῖν in marg | δὲ edd 22 ἐκείνω *PPar* | „*post* φαινόμενον *videtur* εὑρεῖν *vel* πορίσασθαι *vel tale quid deesse*“ Re perperam, ut observavit Iacobsius Lect

διαλέξῃ τι καὶ περὶ σελήνης καὶ τῶν τοῦ μηνὸς ἡμερῶν καὶ ὅλως ἄλλα ἐπ' ἄλλοις εὑρήσεις ἀναβολὴν ἔχοντα. τὸ δὲ ποιεῖν μὲν οὐδέν, ἀεὶ δὲ ποιήσειν λέγειν χρόνους ἐμποιεῖν ἱκανόν. 35. *ἓν μὲν τοῦτο οὐ μικρὸν τούτῳ κέρδος, ἕτερον δὲ μεῖζον ἢ οὐδὲν ἔλαττον τὸ πολλοὺς ἐν ταῖς ἡμέραις ταύταις πρὸ τοῦ λαχόντος τῶν πολιτῶν ἀπελθεῖν. ἡγεῖται γὰρ καὶ τῷ παιδὶ καὶ αὑτῷ τοῦτό γε οὐ φαύλην παραμυθίαν οἴσειν καὶ ἃ δράσει μὴ λυόμενος ὁ λοιμός, κουφιεῖν αὐτῷ νομίζει τὴν συμφοράν.* 36. *τί δ', ἂν εἰπὼν ἀνάγκην εἶναι νύκτωρ περιελθεῖν τὴν χώραν καὶ παρεῖναι δεῖν τῶν μὲν ἄλλων οὐδένα, τὸν υἱὸν δὲ μόνον, ὃν καὶ μόνον οἷόν τε τῶν τοιούτων κοινωνεῖν, τούτων | δὲ* R IV 735 *οὐ συγχωρουμένων μάτην ἅπαντα πεπράξεσθαι, ἂν τούτοις ὑμᾶς ἀναγκάσῃ τοῖς λόγοις παραδοῦναι τὸν υἱὸν αὐτῷ, τὴν τῆς πόλεως ἀσφάλειαν, ἔπειτα ἀπιὼν οἴχηται παρὰ τοὺς οὐχ ἡδέως πρὸς ἡμᾶς ἔχοντας, τί χρησόμεθα; εἰπέ μοι. ἐπ' ἄλλον ἥξομεν; καὶ τίς ἀνέξεται; ἀλλ' εὑρήσομεν;* 37. *ἂν οὖν χαλεπαίνων ὁ θεὸς μάταιον τὸ πρᾶγμα ποιῇ, πέμψομεν, νὴ Δία, παρ' αὐ-*

---

4 Dem. Phorm. 2 p. 944, 9

---

1 *τί* libri edd 2 *ἐπ' ἄλλοις ἄλλα B* | *εὑρήσεις ἐπ' ἄλλοις Par* 3 *μὲν* — 4 *ἐμποιεῖν* om *Mos* 4 *χρόνους* scripsi e *Par M* coll Dem. l. l. *χρόνον PB* edd sed „*non displicet lectio B(avarici) χρόνους ἐμποιεῖν ἱκανὸν*" Re | *ἐμποιεῖν* scripsi e *Par MB* ut coni Re *ἐμποιεῖ P* edd | *τοῦτο* om *B* 5 *τούτῳ* Mor sed *γρ τοῦτο* in marg | *τὸ* ante *κέρδος MosB* edd delevi *τε Par* 8 *αὑτῷ PParMosB* edd 9 *αὑτῷ* libri Mor corr Re 12 „*aut pro ὃν leg. est ὡς aut illo servato ad οἷόν τε addendum est εἶναι*" Re *τὸν* Iacobs Lect 13 *οἷόν τε B* 14 *πεπράξεσθαι* scripsi e *Mos* ut coni Re *πεπράξεσθε* reliqui libri (*πεπράξεστε Par* sed *σθε* in marg m[2]) edd 16 num *αὑτῷ* ⟨*πρὸς*⟩ *τὴν*? 17 *οἴχεται PParB* 19 *ἄλλον*?

τὸν πάλιν καὶ τὴν νόσον ἐροῦμεν καὶ ζητήσομεν φάρμακον; ὁ δέ, ὦ πάντων ἀνθρώπων ἀτοπώτατοι, φήσει, ὑμεῖς ἑτοίμου τυχόντες βοηθείας, ἐν χεροῖν τὸ θῦμα ἔχοντες, κύριοι τοῦ μηκέτι νοσεῖν γεγενημένοι λόγων ἠκούετε μετὰ χρησμούς. τί οὖν εἰρωνεύεσθε καὶ ἀνθρώπους ἔχοντες ἡμῶν ἀμείνους οὐ δι' ἐκείνων ἀπαλλάττεσθε τῶν δυσχερῶν; τί οὖν τότε ποιήσομεν; αἰτιασόμεθα, νὴ Δία, τοὺς τούτῳ βεβοηθηκότας καὶ ὡς οὐκ ἐχρῆν ὑπαχθῆναι δακρύοντος ἐροῦμεν. ἀλλ' οὐδὲν ἧττον ἀπολούμεθα. 38. πῶς οὖν οὐ πολλῆς δυστυχίας διὰ τῶν τοῦ μάγου λόγων τῆς τε φαινομένης λύσεως ἐκπεσεῖν καὶ μηδεμίαν ἀντὶ ταύτης ὕστερον ἔχειν; καὶ οὐκ ἐνταῦθα ἕστηκε τὸ δεινόν, ἀλλ' οὐδ' ἐπ' ἄλλην ἀκαιρίαν καλούμενος ⟨ὁ θεὸς⟩ ἔτι βοηθῶν συλλήψεται. διὰ τί γάρ; ἵν' ἀνθρώπους εὐσεβεῖς ἐξέληται κινδύνων; καλόν γε εὐσεβείας τὰ παρόντα τεκμήριον. οὕτως ἡμῖν εἰσάπαξ καθίστησι δυσμενῆ τὸν Πύθιον τὸ τούτῳ πεισθῆναι τήμερον, καὶ δέος ἐστὶν οὐ μικρὸν μὴ καὶ ἄλλο τι τῷ λοιμῷ προσγένηται καὶ τοῦτ' ἀνίατον τῇ πόλει τῆς ἐκ Δελφῶν ἡμῖν ἀποκεκομμένης ἐλπίδος.

11 cf. p. 392, 16

3 *φήσει* scripsi e *Par* sed e *φησὶ* corr m², *MosB* *φησὶν PM* edd | *ἑτοίμου τυχόντες* scripsi e *B* *τυχόντες ἑτοίμου P ParMosM* edd 4 *ἔχοντες* post *θῦμα* inserui e *B*, post *βοηθείας Mos*, post *χεροῖν M*, post *ἐν* in marg inser *Par²* om *P* edd sed „*aut ἐν χεροῖν ἔχοντες aut ἐκ χεροῖν ἀφέντες*“ Re 6 *ὑμῶν B* 9 *τοῦτο Par* 10 *ἀπολλούμεθα PPar* sed in hoc λ(2) in ras m² 11 *οὐ* — p. 389, 20 *πῶς οὖν* om *CrPPar MosM* edd e *B* primum in lucem protraxi Mus. Rhen. LII 297 | *οὐ* in ras *B* 15 *ὁ θεὸς* post *καλούμενος* inserui Mus. Rh. om *B* | *διατί B* 17 *τεκμήριον* scripsi *τεκμήρια B* 19 *καὶ ἄλλο τι* scripsi *κάν ἄλλό τι B* *κἂν ἄλλο τι* — *προσγένηται, καὶ τοῦτ' ἀνίατον* ⟨*ᾖ*⟩ scripsi Mus. Rhen.

39. *Καὶ μὴν κἀκεῖθεν, ὦ πολῖται, μάθοιτ' ἂν ὡς οὐ δεῖ τούτῳ προσέχειν. ἐρωτῶ γὰρ αὐτὸν ἐναντίον ὑμῶν· παῖδα ἕτερον ἐν παραβύστῳ θύσας νικήσεις τὸν ἀντίπαλον; τίνα τοῦτον; πόθεν λαβών; τίνος διδόντος, ⟨ὅπου γε οὐδένα⟩ ὀνομάζει τὰ λόγια; πόσῳ δὲ δικαιότερον τὸν λαχόντα ἀπελθεῖν;* 40. *ἀλλ' ἑτέρῳ τρόπῳ τὴν θεραπείαν εὑρήσεις; ἀλλ' ὁ χρησμὸς τοῦτον εἶναί φησι μόνον. εἰ δὲ ἐνῆσαν πλείους, οὐκ ἂν ἀπεκρύψατο τὴν ἀφθονίᾱν τῶν τῆς ἰάσεως ὁδῶν ὁ θεὸς οὐδ' ἂν ἐγένετο χείρων τουτωνὶ τῶν ἰατρῶν οἳ φιλοτιμοῦνται τῷ πολυτρόπων μεμνῆσθαι θεραπειῶν, ἀλλ' εἶπεν ἂν ἐξαριθμῶν ὅτι ἢ τὸ ποιήσασιν ἢ τὸ ἤ, νὴ Δί', ἕτερον ἢ πάλιν ἄλλο τι ἢ τοῦτό γε αὐτὸ τὸ νῦν ἀνῃρημένον ὑπάρξει τὸν λοιμὸν διαφυγεῖν. ἀλλ' ὁρᾶτε ὡς πάντα τἄλλα ἀφεὶς ἐν τούτῳ μόνῳ φησὶν εἶναι τὴν βοήθειαν τούτους, οἶμαι, θηρεύων ὡς ἂν καὶ τῆς τοῦ λοιμοῦ γενέσεως ἐκ τούτων οὔσης, τοῦ μὲν εἰσηγουμένου καὶ προεμβάλλοντος, τοῦ παιδὸς δὲ ἀκολουθοῦντος καὶ πειρωμένου μιμεῖσθαι.*

41. *Πῶς οὖν, φησίν, οὐκ ἐμὲ σφάττει; ὅτι δεινότερον ἡγεῖταί σοι τῆς σαυτοῦ τελευτῆς τὴν τοῦ παιδός. βαρύτερον δὲ πᾶσιν ἀνθρώποις ἡ ἐν τῷ περιεῖναι λύπη τοῦ θανάτου. διὰ τί οὖν, φησί, μὴ διαρ-*

---

3 cf. t. III 9, 1; V 400, 9. Dem. Timocr. p. 715, 20

---

5 *ὅπου γε οὐδένα* scripsi *περὶ* cum lac 10 vel 11 litt *B* 11 *τῷ* scripsi *τὸ B* 12 *ποιήσασιν* scripsi *ποιήσουσιν B* 13 *ἕτερον* scripsi *ἑτέρων B* 14 *ἀνῃρημένον* scripsi *ἀνειρημένον B* 15 *τ' ἄλλα B* 22 *βαρύτερον — 23 θανάτου* praemissis verbis *τῆς μελέτης ἐν ᾗ διὰ τὸν λοιμὸν κτεῖναί τις συμβουλεύει τὸν μάγον παῖδα χρήσαντος τοῦ θεοῦ* citat Macarius Chrysocephalus fol. 80ᵛ | *δὲ* om Macar | *τὴν* et 23 *λύπην PParMB* et *γρ* in marg Mor | *διατί B*

ρήδην εἶπε τὸν ἐμὸν θύειν; ὅτι τότε μὲν ᾔδει σε συκοφαντήσοντα τὸ μαντεῖον [εἰπεῖν]· ἄνδρες πολῖται, ταῦτα ἐνθένδε κατεσκεύασται. ταῦτα οἱ R IV 736 φθονοῦντες, ταῦτα οἱ | τὴν ἐμὴν δόξαν οὐ φέροντες. ταῦτα οὐχ ὁ θεός, ἀλλὰ Δελφῶν οἱ πάντα ἀργυρίου ποιοῦντες. 42. διὰ τοῦτο τοὔνομα μὲν οὐκ εἶπε, τῷ κλήρῳ δὲ ταὐτὸν ἐποίησεν. ἢ σὺ νομίζεις οὐ τῇ ψήφῳ τοῦ θεοῦ καὶ τῇ γνώμῃ τὰ περὶ τοὺς κληρουμένους οὕτω γενέσθαι; τί οὖν βιάζῃ καὶ φιλονεικεῖς καὶ δυσσεβῆ τινα παλαιὸν μιμῇ τοξότην, ὃν οἱ ποιηταί φασιν ἀντάρασθαι τῷ θεῷ τόξον; καὶ σὺ νῦν ἀνταγωνίζῃ τῷ μαντείῳ, διαφέρει δὲ τοσοῦτον ὅσον ὁ μὲν αὐτὸς ἐμαίνετο μόνος, σὺ δὲ καὶ τὸν δῆμον ἀξιοῖς. ἢ ταῦτα, ὦ πολῖται, σωφρονούντων ἀνθρώπων; βουλεύεταί τις περὶ τῶν ἀνῃρημένων δέον προσθεῖναι τὸ ἔργον καὶ κατέχει λοιμὸν ὃν ἔχει λῦσαι καὶ τὰ ὦτα παραδίδωσι λόγοις ἀνθρώπων ἀκηκοὼς θείων λογίων καὶ βούλεται ἀπελθὼν οἴκαδε τοὺς αὑτοῦ νο-

---

10 cf. ad t. V 117, 12 et IV 317, 1 11 Il. ι 559

---

1 σε om *MosB* et γρ in marg Mor 2 συκοφαντήσαντα *Par* sed α(2) in ο ras corr | εἰπεῖν] om *Mos* Mor cancellavi καὶ εἰπεῖν *M* καὶ *Par* 5 ταῦτ' *B* 6 πάντ' *B* | διατοῦτο *B* 9 κληρουμένους *M* sed μεν in ras m² | γίνεσθαι *B* et γρ in marg Mor scriptura in *Cr* haud perspicua 12 διαφέρῃ τοσοῦτον *Mos* 14 ἢ] οὐ *MosM* et γρ in marg Mor καὶ *Par* | ὦ παρόντες *M* ὦ^π *P* πῶς *Par* 15 βουλεύεται τίς *Cr* οὐδεὶς βουλεύεται *Par* sed οὐδεὶς in lac 2 litt m², *Mos* et γρ in marg Mor | περὶ in ras *Par²* | ἀνειρημένων *PPar* ἀναιρησομένων *MosM* et γρ in marg Mor ἀνειρημένον *B* | signum interrogationis post ἀνῃρημένων *PParB* edd delevi 16 λοιμὸς *Par* | λύσαι *Par* 17 θείων inserui e *B* om *CrPParMosM* edd 18 θεοῦ post λογίων *M* | βούλεται scripsi e *ParMosB* cum Iacobsio Lect βουλεύεται *CrPM* edd | αὑτοῦ scripsi e *Cr* αὐτοῦ *PParMosMB* edd

σοῦντας ἐπιδεῖν ἐξὸν ὑγιαίνοντας; 43. καὶ τί πρὸς αὐτοὺς ἐρεῖτε τοὺς ἐν ταῖς κλίναις, τοὺς περὶ τὰ φρέατα, τοὺς ἐν τῷ κακῷ, τοὺς καομένους; πάντως δὲ ἐπύθοντο τὰ παρὰ τοῦ θεοῦ καὶ θαυμάζουσιν, ὡς εἰκός, ὅτι μήπω λέλυνται. τί οὖν ἐρεῖτε πρὸς αὐτοὺς ἔτι νοσοῦντας ἢ τὸν μάγον καὶ τὰ παρὰ τοῦ μάγου καὶ ὡς ἐπαγγέλλεται καὶ ὡς ἴσως τι πράξει; καὶ πῶς οἴσετε τῶν καμνόντων τὸν ὀδυρμόν; τὸν τοῦ γόητος περὶ πλείονος ὧν ἐγεννήσατε πεποιῆσθαι δόξετε.

44. Ὁρῶ τοὺς πολλοὺς ὑμῶν, ὦ πολῖται, μελανειμονοῦντας, τὸν μὲν ἐπ' ἀδελφῷ, τὸν δὲ ἐπὶ γυναικί, τὸν δὲ ἐπὶ τέκνῳ, τὸν δὲ ἐπὶ τούτοις ἅπασι. βούλεσθε οὖν τούς τε οὔπω θρηνοῦντας ταὐτὰ παθεῖν τοῖς τε ἤδη πεπληγμένοις προστεθῆναι μείζω; μή, πρὸς τῶν πολλῶν τάφων, ἀλλ' ἐλεήσατε μὲν τοὺς ἀσθενοῦντας, ἐλεήσατε δὲ τοὺς οὔπω. ἥξει γάρ, ἥξει βαδίζον τὸ κακὸν ἐφ' ἅπαντας, | ἂν μὴ σταθῇ τῷ ξίφει. οὐδὲν R IV 737
δεινὸν οὐδ' ἐλεεινὸν ὁ μάγος πείσεται μετὰ τῶν πολλῶν πατέρων ζητῶν τὸν ἑαυτοῦ οὐδ' ἂν δίκαιος εἴη πρὸς ἡμᾶς λέγειν· σώσατε τὸν ἐμόν, τοὺς ὑμετέ-

---

2 Thuc. II 49, 3 8 cf. p. 393, 8. Soph. Oed. R. 389
10 cf. t. IV 641, 12 R

---

3 *τοὺς καομένους* om *P* et *γρ* in marg Mor | *καιομένους Cr* edd | *δὲ* om *Par* 4 *περὶ PParM* | *τοῦ* om *M* 6 *περὶ Par*

7 *τί* libri edd | *οἴσετ*$\overset{\text{ε}}{\text{αι}}$ *Par* *οἴσεται PB* 8 *οὐ τὸν* — 9 *δόξετε*; coni Iacobs Lect | *περι Cr* 9 *ἐγεννήσατε* scripsi e *CrMosMB* et *γρ* in marg Mor ut coni Re *ἐποιήσατε PPar* edd | colon post *δόξετε PParM*, signum interrogationis Re
10 *παρόντες MosM* *παῖ PPar* sed in hoc *γρ παρόντες* in marg m[2] 11 *τοὺς*(1 et 2) *B* 13 *ταὐτὰ* scripsi e *B* *ταῦτα Cr PParMosM* edd 14 *γρ πεπλημμελημένοις* in marg Mor | *προστεθεῖναι P* Mor 16 *τὸ κακὸν βαδίζον CrParM* Re
18 *τῶν* inserui e *B* om *CrPParMosM* edd 20 *ὑμᾶς Par* Re

ρους πρόσεσθε. ταῦτα γὰρ αἰτεῖ, κἂν τὰ ῥήματα φεύγῃ. 45. ἔδει δὲ τούτων οὐδενός, εἴπερ ἅ φησι καὶ ὑπισχνεῖται, ταῦθ' ὡς ἀληθῶς ἐδύνατο. τί γὰρ ἐκώλυεν, εἰπέ μοι, πρὶν εἰπεῖν τι, πρὶν ὑποσχέσθαι, συνάψαι τῷ κλήρῳ τὴν ἴασιν καὶ τὸν τῶν λόγων τούτων καιρὸν τῆς τοῦ λοιμοῦ ποιῆσαι λύσεως, εἶθ' οὕτω θύειν κωλύειν ὡς ἂν οὐκέτ' οὔσης ἀνάγκης; 46. ἀλλ' οὐκ ἐνῆν οὕτως ὀξέως, ἀλλὰ διὰ χρόνων. οὐκοῦν κἂν μέλλῃς οὕτω λύειν, θῶμεν γάρ, εἰ καὶ σφόδρα τοῦτο ἠλίθιον, οὐκ ἴσα ἀντ' ἴσων δίδως. ποῦ γὰρ ἴσον ἤδη παῖδας ὑγιαίνοντας ἰδεῖν ἢ τοῦτ' αὐτὸ μετὰ πολλοὺς θανάτους λαβεῖν; τὸ δὲ ἀγανακτεῖν οὕτω πολίτην ἡμέτερον, εἴ τι χρήσιμος ἔσται διὰ τοῦ παιδὸς τῇ πόλει, πῶς ἀνεκτόν; 47. τούτων ἕκαστος, εἰ τὸν υἱὸν ὑπὸ τοῦ κλήρου κατειλημμένον ἑώρα τὸν ἑαυτοῦ, ἴσως μὲν οὐδ' ἂν ἐδάκρυσεν· εἰ δ' οὖν, ἀλλὰ κἂν ἡδονὴν ἴσως εἶχέ τινα τῇ λύπῃ κεκραμένην, εἰ τοιαύτην εἰσφορὰν εἰσέφερε τῇ πόλει. ὁ δὲ ἀγανακτεῖ καὶ τὴν λειτουργίαν οὐ φέρει καὶ λοιδορεῖται τοῖς θεοῖς καὶ μονονοὺ κατασκάπτει τοὺς νεώς. καὶ οἱ μὲν τὰ μέγιστα ἡμᾶς ἀγαθὰ εἰργασμένοι τὴν ἡσυχίαν ἦγον ἄν, ὁ δὲ πονηροῖς φαρμάκοις τὸν ἑαυτοῦ κατατρίψας βίον, ὥσπερ

---

8 cf. t. II 211, 18 16 sq. Plat. Phaed. p. 59 A

---

1 *κάν B* 3 *καὶ* ante *ταῦθ' Mos* edd delevi cum Iacobsio Lect *καὶ ποιεῖν ταῦθ'* coni Re 5 *τοῦτον PMos* Mor 6 *λύσεως* in *Cr* incertum | *οὕτως ParMB* scriptura in *Cr* incerta 7 *οὐκ ἔτ' Par* 8 *χρόνον Mos* Mor 9 *κἂν* scripsi e *PParMosMB* scriptura in *Cr* incerta *ἂν* edd | *μέλῃς P μέλλῃ Par* | *οὕτως Par* sed *ς* eras, *M* 10 *ἶσα* et *ἶσον PParMosB* edd 13 *χρήσιμον B* 16 *μὴ Par* 17 *κεκραμμένην B κεκρατημένον P* et *γρ* in marg Mor 18 *εἰσέφερε* scripsi e *MB εἰσανέφερε CrPParMos* edd 22 *αὑτοῦ Cr αὐτοῦ P Mos* edd

τις τύραννος, ὑποχωρεῖν ἀξιοῖ ταῖς ἡδοναῖς ταῖς ἑαυτοῦ τὴν κοινὴν ἀσφάλειαν. 48. *διὰ τί; διὰ τὰ πολλὰ τρόπαια καὶ τὰ αἰχμάλωτα σώματα καὶ ναῦς καὶ λιμένας καὶ τόπους; καίτοι κἂν εἰ πάντα ταῦτα ἦν, οὐδ' ἂν οὕτως εἰκότως ἀπῄτει χάριν τὸ μηκέτ' εἶναι τὴν πόλιν. εἰ δὲ μὴ στρατηγοῖς μηδ' ἀριστεῦσι μηδ' οἳ μεγίστων ἡμᾶς ἐξείλοντο κινδύνων ἔδοτ' ἂν τοιαύτην | τιμήν, πῶς τῷ γόητι δώσετε;* 49. *οὐ φέρεις τὴν* R IV 738 *τοῦ παιδὸς σφαγήν; εἰ δὲ ἀνὴρ γενόμενος ὅπλα λαβὼν ἔπεσεν ὑπὲρ τῆς αὐτοῦ μαχόμενος, οὐδὲ τότ' ἂν ἤνεγκας; ἀλλ' οἵ γε ἄλλοι πατέρες τοὺς οὕτω τεθνεῶτας ἔθαπτον σεμνυνόμενοι. καί πού τις καὶ στρατηγὸς τοὺς αὑτοῦ παῖδας ἀγαγὼν ἐπὶ τὴν μάχην νεκροὺς ἐπανῆλθε κομίζων καὶ οὔτε τὴν πόλιν οὔθ' αὑτὸν οὔτ' ἐκείνους ἐμέμψατο. σὺ δ' ἂν τοὺς σαυτοῦ παρῄνεις οἴκοι μένειν καὶ φεύγειν μᾶλλον ἀστρατείας γραφὴν ἢ τραύματα ὑπομεῖναι. ταχύ γ' ἂν οὗτος, εἰ μεγαλοψυχίαν πατρὸς ὁ χρησμὸς ἐκάλει, πρὸ τῶν ἄλλων ἀναπηδήσας ἐπέδωκε τὸν υἱόν, ὃς οὐδὲ τὸν κλῆρον ἀνέχεται.*

50. *Εἰ μὲν οὖν μὴ μάγος ἦσθα, παρεμυθούμην ἄν σε λόγοις οἷς κἂν ἄλλον πατέρα, ὅτι, ὦ φίλτατε,*

---

3 cf. ad t. II 545, 21

---

1 *αὐτοῦ Mos* 2 *διατί B* 4 *κάν Cr* | *ταῦτα πάντα B* 5 *εἰκότως ἀπῄτει χάριν* scripsi e *CrB* *εἰκότως ἀντῄτει χάριν Mos* *ἀπῄτει χάριν εἰκότως PParM* edd | *γρ ἀντῄτει* in marg Mor 6 *μὴ* scripsi e *B* *μήτε CrPParMosM* edd | *μὴ δ'* (1 et 2) libri edd 10 *αὐτοῦ CrPParMos* edd 12 *τίς CrPParM* edd 13 *αὐτοῦ Mos* Mor | *ἀγαγὼν ἐπὶ τὴν μάχην* scripsi e *MosB* *ἐπὶ τὴν μάχην ἀγαγὼν CrPParM* edd | *ἐπανῆκε ParM* 14 *οὔτ'* scripsi *οὐδὲ* libri edd 15 *αὐτοῦ B* 17 *τραῦμα CrPPar* | *εἰς P* et *γρ* in marg Mor 19 *ἔδωκε B* 21 *μέγας M* 22 *ἂν Par*

ωπα καὶ παρὰ τίνος ἔγημεν ἂν ὕστερον, πῶς δ' ἂν παῖδας ἐνουθέτησε, τίνος δ' ἂν ἐκοινώνησεν ἑορτῆς, ποίων ἀγώνων, ποίων θυσιῶν; οὐ γὰρ καὶ τὴν προσηγορίαν ἀπολέσας ὠνομάζετ' ἂν ἀπὸ τῆς ὕβρεως; λαμπρός γε ὁ βίος μηδ' οἰκέταις ἔχειν ἀντιβλέπειν τοῖς αὑτοῦ. 43. τί οὖν ἔδει ζῶντα ἐπιθυμεῖν θανάτου ἐξὸν θανάτῳ βίον τοιοῦτον διαφυγεῖν; νῦν μὲν ζῇ καὶ τελευτήσας, ᾄδεται γάρ, τότε δ' ἂν ἐτεθνήκει ζῶν ἄφωνος ὢν ὑφ' ὧν ἐπεπόνθει. ἐξήρπασα τὸν παῖδα τῷ ξίφει τυραννικῆς ὕβρεως, ἐπεὶ μὴ ἄλλως ἐξῆν. καὶ γὰρ εἰ λησταὶ διώκοντες ἐμέ τε κἀκεῖνον ἔμελλον ἐκεῖνον τοιαῦτα λαμβάνοντες ὑβρίσειν, ἐπὶ τὴν αὐτὴν ἂν ἦλθον καὶ τότε πρὶν ἁλῶναι βοήθειαν. τοιαῦτα γὰρ δεδιδάγμεθα παρὰ τῶν νόμων καὶ τῆς δημοκρατίας. οὕτως, εἰ καὶ μηδὲν τῷ κοινῷ κέρδος ἔφερεν ὁ | R IV 474
φόνος, ὑπὲρ αὐτοῦ γε τοῦ περὶ τῶν ἐσχάτων κινδυνεύοντος ἀναγκαίως ἐπράττετο. εἰ γὰρ τρὶς ἀποθανεῖν ἐχρῆν ὑπὲρ σωφροσύνης καὶ τοῦ μὴ ταύτης ἐκπεσεῖν, οὐκ ἂν ἐλαττόνων ἐωνεῖτο τὰ μείζω;

---

4 cf. p. 345, 20 17 sq. Chor. inf. p. 216, 3

---

1 *παρά τινος La* | *ἂν ἔγημεν ViB* | *ἄγοιμεν C* *ἔδομεν Cl*
2 *καὶ* ante *παῖδας V* Mor Re delevi 3 *ποιῶν La* | *καὶ* om *MB* 5 *μὴ δ' HLaViVaB* Ferr *μὴ δὲ Cl* | *οἰκέταις V* sed *αις* add m² *οἰκέτης H* 6 *αὐτοῦ HVLaViClMVa* edd
7 *τοιοῦτον βίον LaViClMVaB* | *μὲν* reposui e libris cum Gasda *δὲ* edd sed *γρ μὲν* in marg Mor 8 *γάρ* om *Vi*
9 *ὢν* om *Cl* | *ἐξ Cl* 11 *λησταὶ HCClVa* Ferr Mor | *διώκοντες* om *HC* Ferr in marg add *V²* 12 *λαβόντες ViB* | *ἀνῆλθον Vi* 13 *καὶ τότε* om *ClB* | *ἁλωθῆναι ClB* 15 *ὁ* om Mor Re 17 *ἀναγκαία Cl* | *γὰρ τρὶς* scripsi e *Vi* *γάρ τις HVC* *γὰρ LaMClVaB* sed in hoc *τις τρὶς* suprascr, edd 18 *ταύτης Va* sed *η* in ras m² 19 *ἔλαττον ὂν Cl*

44. *Ἀλλὰ πρὸς μὲν ταῦτα οὐδὲν ἔχουσι λέγειν, τὸ δὲ μὴ μετὰ τοῦ δήμου γεγονέναι τὸ ἔργον αἰτιῶνται. καὶ τί φησιν ἐκώλυεν εἰπόντα ὃ ποιήσεις πρὸς αὐτὸν καὶ πείσαντα οὕτως ἐπὶ τὸ ἔργον ἐλθεῖν; ὅτι πρῶτον μὲν οὐχ ὁρῶντος ἦν, ὦ ἄνδρες, τὸν κατειληφότα καιρόν. οἷον γὰρ ἦν μεταφέρειν ὑμᾶς ἀπὸ τῶν πύργων ἐπὶ τὴν ἐκκλησίαν καὶ κελεύειν καταθεμένους τὰ ὅπλα λόγων ἀκούειν καθημένους καὶ τοῖς μὲν πολεμίοις ἀφεῖναι κατασείειν τὸ τεῖχος, εἰς δὲ τὴν ὑπὲρ ἑνὸς σώματος βουλὴν ἄγειν ἐν ᾗ μακροὺς ἀνάγκη γενέσθαι τοὺς λόγους;* 45. *πολλοὶ γὰρ ἂν παρῆλθον αἰτιασόμενοι, οἱ μὲν ἐμοὶ φθονοῦντες, οἱ δὲ τῷ μειρακίῳ, τοὺς δ' ἂν τὸ τῷ τυράννῳ βούλεσθαι χαρίζεσθαι μαχομένους ἀνίστη. πᾶσι δ' ἂν ἦν εὐπρόσωπος ὁ λόγος ὡς οὐκ ἔννομα ταῦτα οὐδὲ εἰωθότα. εἰ γὰρ οὐδὲ νῦν ἐπὶ πεπραγμένοις δύνανται κατέχειν αὑτούς, ἀλλὰ πείθουσι τοὺς σεσωσμένους ἀγανακτεῖν καὶ τὸ μηκέτι πολιορκεῖσθαι νομίζειν βλάβην, τίνες ἂν ἦσαν διδόντες περὶ τοῦ πράγματος γνώμην καὶ ὧν ὁ τύραννος*

---

1 sq. Chor. inf. p. 234, 4 sq.

---

1 *ἀντίθεσις* *B*[rubr] 5 *λύσις* *B*[rubr]

---

2 *τοῦ* om *ClVa* 3 *τῷ δήμῳ* ante *ὃ* *Va* sed e *δῆμον* corr m², *B* 4 *εἰς* *HVC* | *οὕτω πρὸς* *Cl* 5 *δικασταὶ* *B* 6 *ἂν* ante *ἦν* *VaB* 7 *εἰς* *Va* sed *ἐπὶ* suprascr m² 9 *ἐφεῖναι* Cobet Misc 142 11 *ἦλθον* *C* 12 *αἰτιασόμενοι* scripsi ex *HVCClVaB* et *γρ* in marg Mor *ἐναντιωσόμενοι* *LaViM* edd 13 *τούς* *Va* sed ´ in ras m² | *τὸ* om *Vi* Ferr 14 *ἀνίστη μάχεσθαι* *ClVaB* | *ἀνίστα* *C* | *ὁ* om *HVCViClVa* 15 *οὐδ'* *B* | *τὰ εἰωθότα* *Va* | *οὐδὲ νῦν* scripsi ex *HVCVi* *νῦν οὐδὲ* (*οὐδ'* *B*) *LaClMVaB* edd 16 *αὑτοὺς* *Va* *αὐτοὺς* *HVLaViCl* edd 17 *πείθουσιν* *La*

ἐπεθύμει μήπω διεφθαρμένων; 46. *ἀλλ', εἰ δοκεῖ, δῶμεν ἐκκλησιῶν τε εἶναι τὸν τότε καιρὸν καὶ λόγων, οὐχ ὅπλων καὶ μήτε τὴν πολιορκίαν ἐμποδὼν εἶναι τούτοις μήτ' ἂν οἷς ἔλεγον ἀντειπεῖν μηδένα μήτε τῶν ἄλλων μήθ' ὅσοι νῦν κατηγοροῦσιν. ἀλλὰ καὶ οὕτως, ὦ ἄνδρες, κάλλιον ἦν ταῦτα περὶ τῶν ἐμῶν ἐψηφίσθαι. ἐκεῖνο μὲν γὰρ ⟨ἂν⟩ ἐδίδου τοῖς διαβάλλειν ὑμᾶς βουλομένοις λαβήν, ὅτι ὁ μὲν πατὴρ παρῆλθεν ἀφοσιούμενος καὶ τρόπον τινὰ τιθεὶς* | R IV 475 *ὑπὲρ τοῦ παιδὸς ἱκετηρίαν, ὅπως μηδεὶς χαλεπήνειε πρὸς τοῦτον δι' ὃν πολιορκεῖται τὸ ἄστυ, ὁ δῆμος δὲ ἀπεχρήσατο τοῖς ῥήμασιν εἰς φόνον, καὶ ὁ μὲν εἶπεν· ἀ π ο κ τ ε ί ν α τ ε, ὅπως ἀκούσειε βοώντων ὅτι σ ώ σ ο μ ε ν, οἱ δ' οὐκ ἐθελήσαντες εἰς τὴν διάνοιαν βλέψαι τοῦ λέγοντος ἀπὸ ψιλῶν τῶν συλλαβῶν τὸν νέον ἀπώλεσαν.* 47. *ταύτας ἀνεῖλον, ὦ ἄνδρες, τὰς βλασφημίας οὐδὲ εἴασα κεῖσθαι ψήφισμα δόξαν οὐ καλὴν οἶσον ὑμῖν, ὅλον δὲ τοῦ πατρὸς ἐποίησα τὸ ἔργον. περὶ οὗ λέ-*

---

12 Dem. p. 215, 8

---

1 *ἐπιθύμει Vi* | *δῶμεν* inser *Va²* 2 *τὸν* om *Cl* 3 *τὴν* om *La* 6 *ἦν ⟨ἐμὲ⟩ ταῦτα* coni Re cui oblocutus est Iacobsius Lect *ταῦτα* in *ταύτῃ* mutandum coniciens maiorem labem contraxisse verba suspicatus est Gasda 7 *μὲν γὰρ*] *δὲ Cl* | *ἂν* inserui auctore Gasda om libri edd 8 *ἡμᾶς C* | *λαβὼν* (*ἣν* supra) *La* | *μὲν ὁ* Ferr Re | *ἀπῆλθεν* Ferr et *γρ* in marg Mor 9 *θεὶς Va* 10 *χαλεπήνειε* scripsi *χαλεπήνῃ LaClM* sed in hoc *η*(2) in ras m. recentiore, *VaB* *χαλεπήνοι HVC* edd sed *„leg. est aut χαλεπαίνοι aut χαλεπῆναι aut χαλεπήνῃ“* Re *χαλεπαίνῃ Par. 3017* (Boisson. Chor. p. 241 not. 8) *χαλεπαίνοι Vi* 11 *πρὸς* om *M* | *ὧν Cl* 12 *φθόνον* Iacobs Lect 13 *σώσωμεν MVa* sed in hoc *ω*(2) ex *ο* corr, Ferr et *γρ* in marg Mor *σώζομεν La* 14 *οἷ LaViClVa* 15 *ψιλῶν τινων* Gasda 18 *μόνον λέγειν HVVi*

γειν μόνον ἀναισχύντου, ὡς μισῶν ἀπέκτεινα, τῷ δὲ δι' ἐκεῖνον πολιορκουμένῳ δήμῳ τάχ' ἄν τις τοῦτο περιῆψε. τί οὖν ἔδει με τὸν δῆμον τὸ μὲν ὠφελεῖν, τὸ δὲ βλάπτειν καὶ κακὸν ἀγαθῷ μιγνύειν ἐξὸν ἀμιγῆ τοῦ χείρονος αὐτῷ παρασχεῖν τὴν εὐεργεσίαν; πότερον δ' ἂν καὶ ἔδρασεν ὁ δῆμος; ἐπέτρεψεν ἂν κτεῖναι; τί οὖν ἠδίκηται πεπραγμένων ἅπερ ἐπήνεσεν ἄν; ἀλλ' εἶργεν ἂν εὖ φρονεῖν τοὺς ἀντιλέγοντας νομίζων; καλῶς οὖν ἐποίησα μὴ παραδοὺς αὐτῷ τῆς καθ' αὑτοῦ ζημίας ἀφορμήν.

48. *Ἀλλὰ γὰρ δεινοί τινές εἰσιν, ὦ ἄνδρες, καὶ τοὺς τὰ τιμιώτατα ὑπὲρ τῆς πόλεως προϊεμένους ὥσπερ τοὺς προδότας ἐλαύνειν. πρὸς οὓς ὀλίγα διαλεχθεὶς καταβήσομαι. τί δεδοίκατε, ὦ βέλτιστοι; μὴ παρελθὼν ἐγὼ καὶ παραθεὶς τὴν ἐπίδοσιν τὴν ἐμαυτοῦ ταῖς εὐδοκιμηκυίαις παρ' ὑμῖν καὶ τὴν νῦν ἄδειαν τοῖς ἐκ τῆς πολιορκίας φόβοις σίτησιν ἢ χαλκῆν εἰκόνα ἢ στέφανον παρὰ τῶν πολιτῶν αἰτήσω; ἀλλὰ μάταιος ὑμῖν οὗτος ὁ φόβος. οὐ γὰρ οὕτως ἀναίσθητος ἐγὼ τῆς ἐμαυτοῦ τύχης ὥστ' ἐπὶ τοῦ βήματος ἔτι φαίνεσθαι*

---

1 cf. t. IV 680, 18 R   6 sq. Chor. inf. p. 235, 16 sq.   16 Chor. inf. p. 223, 4   17 cf. t. VI 96, 1 sq.; 106, 12 sq.

---

1 *μόνον La* Mor Re *μονονοὺ Cl* | *ἀναισχύντου* scripsi auctore Gasda *ἀναίσχυντον* libri edd | *ὡς*] *ὁ HV οὐ C*   2 *τοῦτο* in marg *Va*² om *Cl*   6 *ἐπέτρεψε Cl* | *ἂν* om *Cl*   7 *πεπραγμένον La* | *ἃ C* | *ἐπήνεσαν LaMVa ἐποίησεν C*   9 *ἐποίησε Cl* | *ἑαυτοῦ ViCl*   11 *δικασταὶ B*   12 *μειότατα Va*   14 signum interrogationis post *βέλτιστοι* posui colon libri comma edd   15 *εὐδοκιμηκυίαις* scripsi ex *HV* sed in hoc *εὐδοκιμούσαις* in marg m², *CViClVa* sed in hoc *εὐδοκιμίαις* in marg m², et *γρ* in marg Mor *εὐδοκιμούσαις LaMB* edd   16 *καὶ* om *HVC* et *γρ* in marg Mor inser *Va*²   17 voce *φόβοις* rursus inc *La* (fol 49) m. saec. X cuius in margine superiore legitur *σημειῶ[σαι] ὅτι λεί[πει]*

τὸν τάφον ἀφεὶς καὶ μεμνῆσθαι δωρεῶν ᾧ τὸ ζῆν ἀνιαρόν. 49. ἀλλὰ μὴ σιγῶντος ἐμοῦ παρὰ τῶν τἀμὰ θαυμαζόντων γένηται καὶ γράψῃ τις παρελθὼν ὑπὲρ ἐμοῦ ταῦτα ἃ οὐκ ἄν ποτε αὐτὸς | ὑπὲρ ἐμαυ- R IV 476 τοῦ; ἀλλὰ θαρρεῖτε, ὦ βέλτιστοι, θαρρεῖτε. καὶ γὰρ ἂν ἅπαντα ὁ δῆμος ὁμοῦ διδῷ, τὸν ληψόμενον οὐχ εὑρήσει. μὴ γὰρ φανείη τι τερπνὸν ἐμοὶ μηδὲν ἔτι πλὴν θανάτου. 50. οὐ δεδοίκατε, πρὸς τῶν θεῶν, μὴ τῷ τὰ τοιαῦτα ποιεῖν δόξητε πρὸς τὸν τύραννον βλέπειν καὶ τἀκείνου θεραπεύειν καὶ τῆς δυστυχοῦς ὥρας τοῦ μειρακίου αὐτοὶ μηνυταὶ γεγενῆσθαι καὶ νῦν ἐκεῖνον παραμυθεῖσθαι τῷ πράγματα ἐμοὶ παρέχειν; τί βούλεσθε πλέον ὑμῖν γενέσθαι; ἀπολώλεκα τὸν υἱὸν ἐκεῖνον τὸν καλόν, ἀπολώλεκα. οὐκέτ' αὐτὸν εἰς διδασκαλεῖον ὄψεται βαδίζοντα οὐδείς, οὐκέτ' ἐκεῖθεν ἀναστρέφοντα, οὐκέτ' ἐν παλαίστραις, οὐκέτ' ἐν γυμνασίοις. ὁ εὔπαις ἐκεῖνος, ὁ μακάριος ἐγὼ κεῖμαι, πέπτωκα. τὸν τάφον τοῦ παιδὸς ἀντὶ τοῦ παιδὸς ἔχω.

---

14 sq. Chor. tyrann. p. 54, 11 sq. 17 cf. t. IV 377, 2

---

2 *ταυτὰ HVC* 3 *γράψῃ* scripsi e *Va* ut coni Re *γράψει HVCMB* edd *γράφη La* *γράφει ViCl* | *τίς HLaViVa* 4 *ποτ' Cl* 5 *θαρρεῖτε*(2) om *Cl* 6 *πάντα* Ferr | *ὁμοῦ ὁ δῆμος HVC* | *ὁμοῦ* om *VaB* 7 *τί* libri edd | *ἐμοὶ* om *Va* | *γρ ἐστὶ* in marg Mor 8 *τῶν θεῶν*] *τῶνδε HVCClVa* sed in hoc in *τῶν θεῶν* corr m² *θεῶν LaViB* 9 *τὰ* om *VCLaViClB* inser *Va²* | *τοιαῦτα Va* sed *οι* inser m² | *δόξητε* om *Va* | *βλέπειν* scripsi ex *HVCLaViClVaB* *ἀποβλέπειν M* edd 12 *τὸ* Ferr Mor | *πράγματι Cl* 13 *ἡμῖν C* (ὑ superscr.) *ἡμῖν HV* | *γενέσθαι* scripsi ex *HVCLaViCl* et *γρ* in marg Mor *γεγενῆσθαι MVaB* edd 14 *οὐκ ἔτ' HVM* edd 15 *βαδίζοντ' οὐδεὶς ὄψεται VaB* | *βαδίζοντ' HVClMVaB* | *οὐκ ἔτ' H* *οὐκέτι M* 16 *οὐκ ἔτ'* (1 et 2) *H* | voce *παλαίστραις* inc *Cr* fol 83ᵛ | *γυμνασίαις C*

51. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα οὔθ' ὑμῖν οὔτε τῷ τυράννῳ, δεῖ δέ με πάντως ἀποθανεῖν; καλῶς. τί οὖν δεῖ κατηγορίας; τί δὲ ψήφου; τί δὲ συκοφαντίας; γράψατε παρελθόντες ἐκδοῦναί με τῷ τῶν καλῶν ἐραστῇ. οὐδὲν ἀντερῶ οὐδὲ φθέγξομαι οὐδ' ἐχθροὺς ὑμᾶς, ἀλλ' ἐπιτηδείους ἡγήσομαι διδόντας με ἀνθρώπῳ παρ' ᾧ τάχιστα ἀποθανεῖν ἀνάγκη. ὡς πονηρὸν δὲ καὶ ὠμὸν καὶ ἄδικον εἰς τὸν ἐμαυτοῦ παῖδα γεγενημένον μή με ἀποκτείνητε, ὦ ἄνδρες, μηδὲ ποιήσητε χείρους ἐμοῦ τοὺς ἄλλους πατέρας, εἴ ποτε, ὃ μὴ γένοιτο, καιρὸς ἔλθοι τὴν ἴσην ἀπαιτῶν μεγαλοψυχίαν. 52. ταυτὶ δὲ ἀπεύχεσθαι μὲν χρή, προσδοκᾶν δὲ τοὺς εὖ φρονοῦντας, ἐπεὶ κἂν τοῖς οὖσιν ὑμῖν παιδίοις ὁρῶ τινας ἐπαγγελλομένους κάλλος οἷον πάλιν κινῆσαι τὸν τύραννον. ἂν οὖν ὁ μὲν καὶ ὁρμᾷ καὶ πρεσβεύηται τὰ τοιαῦτα αἰτῶν καὶ ἀπειλῶν, ὑμεῖς δὲ αἱρῆσθε πολεμεῖν καὶ πολιορκεῖσθαι, πῶς οὐ δεῖ τοὺς ὁμοίως ἐμοὶ τὰ
R IV 477 δεινὰ λύσοντας | ἔχειν; τούτου δ' ἂν ἐπιτυγχά-

9 sq. Chor. iuv. fort. Philol. LIV 107, 29 sq.

1 ταῦτ' *MVa* sed in hoc τ e ϑ corr m², edd | οὔτε] οὐδὲ *Vi* | τῷ om *Cl* 2 δοκεῖ *CrHV* 3 δὲ(1) om *Cl* | γρ ψόφου in marg Mor 4 προελθόντες *Va* sed παρ suprascr m² | τῷ καλῶν Ferr γρ τῷ καλῷ in marg Mor τῷ καλῷ τῶν καλῶν Iacobs Lect | καὶ ante οὐδὲν *M* 5 ἀντιφθέγξομαι *VaB* | οὐδὲ *VaB* 6 διδόντες *HV* sed in hoc ε in α corr m² 7 με ante ἀνάγκη *M* 8 με] τε *Cr* τ' *HVC* ποτε *M* 9 μὴ δὲ *CrHLaClVaB* Ferr 13 κἂν *HViVaB* 14 οἳ *CrHVC* | κινοῦσι *C* 15 μὲν ante οὖν *VaB* | οὖν om *C* | καὶ om *VaB* | ὁρμᾷ scripsi ex *HVCViClVaB* et γρ in marg Mor ὁρμᾶ *La* ἐρᾷ *M* edd scriptura in *Cr* incerta 16 αἰτεῖν Ferr et γρ in marg Mor | αἱρῆσθε scripsi αἱρήσεσθε *CrHVCCl* Ferr αἱρήσησθε *LaViMVaB* Mor Re | πολεμεῖν καὶ πολιορκεῖσθαι scripsi e *CrHVCLaViCl* πολιορκεῖσθαι καὶ πολεμεῖν *MVaB* edd 17 πῶς οὐ in lac 4 litt om *M* | ὁμοίως scripsi auctore Re ὁμοίους libri edd 18 ἐπιτυγχάνοιτε scripsi ἐπιτυγχάνητε libri edd

νοιτε, ἐὰν τὸν πρῶτον πεποιηκότα μηδὲν ἠδικηκέναι ψηφίσησθε. 53. *καὶ πρὸς θεῶν, ὦ πατέρες παίδων ὡραίων, ἢν αὖθις ἀφ' ὁμοίας αἰτίας ἐπέλθῃ πόλεμος καὶ ὁ λόγος ᾖ περὶ τῶν ὅλων τῇ πόλει, μηδὲν ὑμῖν φαινέσθω κακὸν ὃ δύναιτ' ἂν τοῦτο παῦσαι τὸ κακόν, ἀλλ' ἀκολουθήσατε γενναίως τῷ παραδείγματι κόσμον καὶ ὑμῶν αὐτῶν καὶ τῶν ἀπιόντων παίδων τὴν τοιαύτην ἡγούμενοι τελευτὴν καὶ μὴ τοὺς συκοφαντοῦντας δείσητε μᾶλλον ἢ ἃ παθεῖν ἀνάγκη τήν τε πόλιν καὶ τοὺς ἡττηθέντας ὑπὸ τῶν νενικηκότων.* 54. *κακῶς τις ὑμᾶς ἐρεῖ τῶν πολιτῶν; ἀλλ' ἡ πόλις ἅπασα θαυμάσεται, μᾶλλον δὲ ἅπασα δημοκρατουμένη πόλις. οὐκ ὄψεσθε τοὺς υἱεῖς; ἀλλὰ τοῖς περὶ αὐτῶν συνέσεσθε λόγοις, οἵων καὶ αὐτὸς ἀκούω νῦν ὑπὸ τῶν χρηστῶν καὶ δικαίων εἶναι βουλομένων πολιτῶν.*

55. *Τί οὖν; ὦ κακῶς ἐρῶν τύραννε, ὦ τῆς φύσεως ἀλιτήριε, παῦσαι τοιαῦτα κωμάζων, δεῖσον θεούς, φοβήθητι ψόγον. οὐ καταγελάσεις τῆς τοῦ διὰ σὲ πεσόντος μειρακίου ψυχῆς, ἣ νῦν, ὡς εἰκός, μετὰ τῶν τὰς αὑτῶν πατρίδας ῥυσαμένων ταῖς αὑτῶν σφαγαῖς συνδιαιτᾶται.*

---

17 cf. t. V 469, 6   20 Simon. C. fr. 103, 2; 104, 2; 139, 2

---

2 *καλῶν Cl* | *ἄνδρες* ante *πατέρες Va*   3 *ἢν La* | *ἀφ' ὁμοίας* scripsi e *La* ut coni Re   *ἐφ' ὁμοίας Vi*   *ἀπὸ μιᾶς CrHVCClMVaB* edd   7 *καὶ* ante *αὐτῶν HV*   scriptura in *Cr* incerta | *ἀπιόντων* scripsi e *CrHVCLaViCl*   *ἀπόντων MVaB* edd   *ἀποθανόντων* Iacobs Lect   8 *συκοφάντας B*   10 *ἡττηθέντας* scripsi   *αἰτηθέντας* libri sed *ι* et *ας* in ras et *οἶμαι ἡττηθέντας* in marg *Va*², edd   11 *τίς CrHLaVi* | *ἡμᾶς* Ferr Mor   15 *εἶναι βουλομένων* reposui e libris   *βουλομένων εἶναι* edd   16 *Τί οὖν* om *CrHVCLaViCl*   inser *Va*²   17 *θεούς Va* sed *ον* in *ους* corr   om *CrHVC*   *θεόν Cl*   18 *λόγον CrHVC* | *καταγελάσῃς Va* | *πεσόντος μειρακίου* scripsi   *μειρακίου πεσόντος* libri edd   20 *αὐτῶν HVLaViClVaB* edd   scriptura in *Cr* incerta | *ῥυσομένων* Mor | *αὐτῶν* libri edd

56. Ὦ παῖ, τὴν μὲν ἐπιμέλειαν οἶσθα τὴν ἐμὴν μεθ' ἧς ἐτράφης, μεθ' ἧς ἐπαιδεύθης καὶ ὡς, ὁπότε ἀρρωστοίης, ἐδεόμην τῶν θεῶν ἐπ' ἐμὲ μετενεγκεῖν τὴν νόσον, πολέμου δὲ ἐκ τῆς σῆς ἰδέας περιστάντος τὴν πόλιν καὶ τοῦ καιροῦ σοι ζῆν οὐκ ἐπιτρέποντος οἴχῃ μέν, οὐκ ἀδόξως δέ, ἀλλ' ἐμὲ μὲν ἐν θρήνοις καταλέλοιπας, σαυτοῦ δὲ τοὔνομα ἐν ᾠδαῖς οὕτω R IV 478 | μὲν ἀνδρείως ὑπακούσας τοῖς ἀναγκαίοις, οὕτω δὲ αὐτὸς ὀκνοῦντα τὸν πατέρα ἐπεγείρας. 57. ὡς γὰρ ᾔσθετο, ὦ ἄνδρες, τὰ πράγματα ἡμᾶς ἐπὶ τοῦτο ἄγοντα, ἐρῶ γάρ, κἂν ἀπιστῶσί τινες, ὡς εἶδεν ἀφεστηκότα με καὶ ὠχριῶντα καὶ δακρύοντα καὶ τὴν χεῖρα τρέμουσαν, τὸ θαυμάσιον ἐκεῖνο καὶ πάσης τιμῆς ἄξιον ἐφθέγξατο· μὴ μέλλε, πάτερ. λύε ταχέως τὴν πολιορκίαν. ἐγὼ δὲ ἕξω καλὸν τὴν σωφροσύνην ἐντάφιον.

58. Τοιοῦτοι περὶ ὑμᾶς, ὦ ἄνδρες, γεγενήμεθα. καὶ τοιαύτη μὲν ἡμῖν ἡ τύχη, τοιαύτη δὲ ἡ γνώμη. εἰ δ' ὑμῖν οὕτως ἀπολελογημένος ἄξιος εἶναι θανάτου δοκῶ, καταγνωτε. ἐγὼ δὲ οὐδ' οὕτως ἐμαυτὸν καταμέμψομαι.

11 Eur. Iph. A. 1547 sq. 16 cf. t. II 111, 6; IV 445, 13; VI 337, 9

1 μὲν] ἐμὴν *Vi* | τὴν ἐμὴν οἶσθα *VaB* 2 ὁπότ' *M* 3 κατενεγκεῖν *Cl* 5 τῇ πόλει *C* | σοι om *ClVaB* 6 δέ om *LaVi* | θρήνοις *Va* sed θ (ex ὑ corr) et ρ in ras m² φόνοις *Cl* 8 ὑπήκουσας *C* 9 αὐτὸς om *Cl* | ἐπεγείρας scripsi e *Cr HLa* ἐπέγειρας *Vi* ἐπήγειρας *C* ἐγείρας *VClMVaB* edd 10 δικασταὶ *B* | τοῦτον *M* Re τούτω *VaB* scriptura in *Cr* incerta | ἄγοντας *HCClVa* scriptura in *Cr* incerta 11 ἀφεστηκότα scripsi e *CrHCl* ἐφεστηκότα *VLaViMVaB* edd 12 καὶ δακρύοντα om *B* | τὴν χεῖρα τρέμουσαν scripsi e *CrHVCLaViB* et γρ in marg Mor τρέμουσαν τὴν χεῖρα *Cl* τρέμοντα τὴν χεῖρα *MVa* edd 13 ἐκείνω *LaVi* 14 μέλε *CrHVC* | λῦε? at cf. t. I 167, 19 15 ἕξω *La* | τὸ ante καλὸν edd delevi cum Gasda 18 ὑμῖν *B* | εἰ — 20 καταμέμψομαι citat Planudes fol 105ᵛ | δὲ Plan 19 γρ νομίζομαι in marg Mor 20 δ' *LaVi*

XLIII.

Declamatio inscripta *Νόμος ἦν μετὰ τοῦ τυράννου καὶ τοὺς παῖδας ἀποσφάττεσθαι, ἕτερος νόμος τὸν τυραννοκτόνον ὅ τι βούλοιτο αἰτεῖν. γυνὴ τὸν ἑαυτῆς ἄνδρα τυραννοῦντα ἀποσφάξασα εἰς δωρεὰν αἰτεῖ τοὺς παῖδας. μελετῶμεν τὸν ὑπὲρ τῆς τυραννοκτόνου λέγοντα*, qua aliquis cives orat ut mulieri quae maritum tyrannum occidit filios doni ergo petenti obsequantur legis filios cum tyranno interfici iubentis ratione non habita, aeque atque declamatio XL eloquentiae Libanianae admiratoribus minus grata fuit. Neque est cur id magis quam in illa mireris. Nam in hac quoque non simplicitas atque gratia, sed asperitas atque verbositas tironis regnant, ut quin a Libanio abiudicanda sit non dubitem. Hic quoque et longae enuntiatorum ambages crebrae sunt, ut p. 440, 3 sq.; 442, 22 sq.; 452, 11 sq., et aequabilitas elocutionis deest. Dictioni in universum ieiunae intermixta sunt vocabula poetica, ut *αὐτόβουλος* p. 457, 6, 'aeolicum' *γνόφος* p. 455, 4, *οὕνεκα* pro *ἕνεκα* p. 442, 21. Magna est copia vocabulorum ab usu Libanii alienorum, ut *ἀντιμισθία* p. 453, 7; *δημοθοινία* p. 461, 5; *εὐμοιρία* p. 457, 8; *ἀντίχαρις* p. 453, 5; *εὐρυβόας* p. 473, 5; *φιλελευθέριος* p. 437, 8; 447, 11; *ἰδικός* p. 438, 19; *παρευθύ* p. 442, 3; *ἀντιταλαντεύειν* p. 438, 12; *ἀντιμετρεῖν* p. 454, 8; *ἀντιχαρίζεσθαι* p. 460, 12; *ἀποχαρίζεσθαι* p. 441, 4; 459, 3; *ἀπαυθαδιάζεσθαι* p. 455, 1; *διχογνωμονεῖν* p. 459, 5; *ἐπιφιλοτιμεῖσθαι* p. 453, 16 [1]); *σωματοφυλακεῖν* p. 466, 13; *ὑπογρύζειν* p. 466, 14; *ὑποτονθορίζειν* p. 466, 15; *ὑποψελλίζειν* p. 449, 18, inter quae aeque atque in declamatione XL *τριπλᾶ* et *τετραπλᾶ* frequentissima sunt, ut *ἀντικαταβάλλεσθαι* p. 441, 20; *ἐπεγκαλεῖν* p. 452, 1; *ξυναποστενοῦν*

---

1) Substantivum *ἐπιφιλοτιμίαις* nuper Croenertus Jahreshefte des Österr. Arch. Inst. Beiblatt X col. 100 male titulo Attico CIG III 23 pro *ἐπὶ φιλοτιμίαις* obtrudere voluit.

p. 453, 13; *προσαποξέειν* p. 460, 1; *προσαποστάζειν* p. 472, 15; *προσεπιπηδᾶν* p. 450, 4; *προσεπιφύειν* p. 464, 4; *ὑπανακόπτειν* p. 447, 14; *προσυπαναπτύσσειν* p. 467, 7, quorum pleraque aut *ἅπαξ εἰρημένα* aut inferioris Graecitatis sunt. Haud minor copia significationum vocabulorum ei insolitarum, ut *ἀπογαλακτίζειν* = *mammam dare* p. 467, 15; *ἐπιτολμᾶν πράγμασι* p. 444, 18; 458, 21; *παρασαλεύειν τὴν χεῖρα* vel *τοὺς νόμους* p. 460, 14; *τὰς ἐλπίδας σαλεύειν* p. 467, 18; *διεφθορώς* = *perditus* p. 445, 3; *ἰσοστατοῦν* = *ἰσοσταθμοῦν* p. 438, 13; *δουλοκρατούμενος* = *servi instar domitus* p. 455, 14; *ἀπόστασις* (*δημοκρατίας*) = *abolitio* p. 456, 13; *ἐκεῖσε* = *ibi* p. 438, 21; 446, 19, vel formarum structurarumque ab eo vitatarum, ut *εἰσῇξε* p. 455, 5; *ὑφ' ἑτέρου μαθών* p. 464, 9; *ἐπ' ἀμφοτέροις ἔχειν* et *ἐπ' ἀμφοῖν γίνεσθαι* p. 459, 1 et 465, 16; *ἐπὶ στυγνοτέρας καθῆσθαι τῆς τύχης* p. 461, 4; *ἐκ τότε* p. 438, 12; *ὁ τοὺς νόμους κομψός* p. 463, 4. Neque scriptores e quibus auctor sua sumpsit iidem sunt atque quos Libanius exemplarium loco habuit.

Sed etiam ab eodem quo XL compositam esse declamationem coniciendi gravissimas habeo causas. Concinunt in usu vocis poeticae *λῆμα* p. 443, 8 (358, 4) et verborum *ἐκτραγῳδεῖν* p. 439, 20; 446, 6; 454, 14 (344, 19); *καταιδεῖν* p. 472, 10 (338, 19); *ὑπανάπτειν* (*δᾷδα*) p. 469, 14 (333, 2 et 15); *σκαιωρεῖσθαι* et *σκευωρεῖσθαι* p. 451, 3; 446, 9 (v. ad p. 325, 15); testandi formula *πρὸς τῆς Δίκης αὐτῆς* p. 458, 5; 465, 18; (358, 1); locutione *ἐπὶ κενοῖς* p. 463, 11; (362, 3); indicativo futuri pro coniunctivo aoristi adhibito p. 468, 14 *ἵνα — πεσεῖται*; p. 447, 10 *ἵνα — ξυνοιχήσεται*; p. 457, 14 *δέδοικα μὴ — θαυμάσονται*; p. 458, 19 *ὁρᾶτε μὴ — οὐχ ἕξετε*; infinitivo futuri pro praesentis vel aoristi p. 441, 4 *ἔγνων δεῖν ἀντιγνῶναι καὶ — ἀποχαριεῖσθαι*; p. 441, 16 *πείσειν — πειρασόμενος*; *ὅταν* et *ὁπόταν* cum optativo coniunctis p. 450, 14 et 10 et 11; enuntiatione relativa articulo annexa p. 440, 17 *τὴν ὑφ' ἧς τὸ κρίνειν ἔχετε*; p. 449, 2 *τὸν ὑφ' οὗ ὁ δῆμος ἠνείχετο*; (327, 9; 349, 12); *κἂν* cum indicativo aoristi pro *καὶ εἰ* p. 464, 8 et 22; 466, 13; 468, 6; (cf. p. 352, 21); forma imperfecti *ἤμελλον* p. 469, 7; 347, 3; denique singu-

lari in hiatu vitando socordia. Ut *μετὰ καὶ* cum genetivo auctori utriusque declamationis in deliciis fuit (p. 442, 5; 445, 6; 446, 17; 448, 21; 449, 3 et 5; 452, 7; 457, 5 et 20; 471, 7; 473, 1 et 16), ita *ξὺν* et *σὺν* vitavit vel, ut accuratius dicam, tantum in compositis aequa lance admisit. Dixit auctor utriusque declamationis *συμφορά* p. 470, 10; 473, 12; 327, 16; 328, 17; 332, 13 et 19; 334, 1; 337, 17; 341, 21; 363, 16; (at *ξυμφορά* p. 335, 15); *σύνοικος* p. 469, 15; 365, 1 (at *ξύνοικος* p. 351, 14), et *συνοικοῦσα* p. 466, 12; 351, 8, at *ξύμπας* p. 450, 19; 453, 10; 335, 7; *ξυμφέρον* p. 458, 7; 361, 8; *ξυνορᾶν* p. 444, 13; 329, 9; 354, 2; *ξυνοίχεσθαι* p. 447, 10; 328, 6.

Magnus est numerus locorum a me adnotatorum quibus vel in integris locutionibus, velut p. 450, 18 sq. (327, 7), concinunt.

Neque declamatio quam ut huic praegressam auctor in protheoria § 3 (*ἐπὶ μὲν γὰρ τοῦ προειλημμένου ἐκείνου ὅπερ ὁ τεχνικὸς ἡμῖν παραδίδωσιν ἡ τῆς μοιχείας ὕβρις ἰδική τις ἦν πρὸς τὸν ἄνδρα, κοινὸν δὲ τὸ ἀπὸ τῆς τυραννοκτονίας ὄφελος καὶ τὸ πλέον εἶχεν ἐκεῖσε ὡς ἀπὸ κοινωφελεστέρας τῆς ἀριστείας ἡ τὴν ἄνοδον ὑποδείξασα*) respexit, inter Libanianas exstat, sed inter eas quas Sopater eodem loco quo declamationem XL (vide supra p. 320) *διαιρ. ζητ.* VIII 247, 8 sq. ed. Walz. insinuat (cf. l. 20 sq. *ἀλλ' οὐκ οἶδα πόθεν ἰδοῦσα τὸν ἄνδρα τοὺς νόμους παραβαίνοντα καὶ τὸν τῆς πολιτείας ἀναιροῦντα θεσμόν*).

Sed auctorem declamationem Libanii simile argumentum tractantem quae *Κάλλαισχρος* inscripta est ante oculos habuisse multis locis apertum est, e quibus unum attulisse satis erit p. 448, 19 *ἐγχειρίδιον ὑπὸ μάλης λαβοῦσα καὶ τὸ δωμάτιον εἰσελθοῦσα οὗπερ ἐτρύφα καθ' ἡμῶν ἐκεῖνος καὶ τοὺς μὲν ὀφθαλμοὺς εἰς τὴν τοῦ τυράννου σφαγὴν μετὰ καὶ τῆς χειρὸς ἀποτείνουσα, τῇ δὲ γνώμῃ πρὸς ὑμᾶς ἀφορῶσα τὸν δῆμον καὶ τῇ πρὸς τὸν ἄνδρα στοργῇ τὴν ὑπὲρ τῶν νόμων ἀντιτιθεῖσα σπουδὴν παίει καιρίαν τὸν ὑφ' οὗ παιόμενος ὁ δῆμος ἠνείχετο καὶ μιᾷ πληγῇ τὸν μὲν εἰς τοὔδαφος μετὰ καὶ τῆς ὅλης τυραννίδος κατέβαλε, τοὺς δὲ νόμους πεπτωκότας*

ἀνέστησε καὶ τὸν πολλοὺς ἀνελόντα μόνη μετὰ καὶ τοῦ ξίφους κατεστρατήγησε καὶ δι' ἑνὸς φόνου τὰ κάλλιστα τῶν πώποτε τροπαίων ἀνείλετο in multis concinentem cum t. VI 92,13 sq. *λαβὼν ἐγχειρίδιον ὑπὸ μάλης εἰσῆλθον εἰς τὸ δωμάτιον οὗ τὰς πονηρὰς βουλὰς ἐβούλευε καὶ τοῖς μὲν ὀφθαλμοῖς ἐκεῖνον, τῇ γνώμῃ δὲ τὸν δῆμον ὁρῶν, τὸν μὲν μισήσας ὧν ἔδρα, τὸν δὲ ἐλεήσας ὧν ἔπασχε προὔθηκα τὰ πρὸς ὑμᾶς τῶν πρὸς τὴν φύσιν δικαίων καὶ γίγνομαι γέρων οὐκ ἀγεννὴς ὑπὲρ νόμων ἀνῃρημένων καὶ περιερρύη τῇδε τῇ δεξιᾷ τὸ αἷμα τοῦ Κριτίου καὶ δι' ἑνὸς παραδόξου φόνου καὶ οἷον οὐδεὶς ἂν ἕτερος ἔχοι λέγειν πάντα πᾶσιν ἀποδέδοται.*

Item permultis locis, de quibus Carolus Rother dissertatione supra p. 395 not. 2 laudata copiosius disseret, cum aliis tum p. 440, 2 (Chor. p. 51, 2); 449, 7 (Chor. p. 51, 14); 454, 8 (Chor. p. 51, 20) apertum fit auctorem etiam Choricianam tyrannicidae declamationem respexisse.

A 'corpore' alienam fuisse declamationem inde concludere licet quod in nullo codicum 'corporalium' exstat. Atque etiam in eclogas eam sero receptam esse inde conicias quod tantum recentioribus — nam nullus saeculum XIV excedit, cuius etiam unicum quod exstat testimonium est — iisque paucis codicibus ad hanc aetatem pervenit. Sunt enim hi novem:

1. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 27. Correctus est manu secunda. Vide t. I p. 362 sq. et t. IV p. 417. Contuli.

2. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 1 (210). Vide t. IV p. 410 sq. Contuli.

3. Vaticanus gr. 108 (= Vat) saec. XIV/XV fol. 160. Vide t. VI p. 568 sq. Contuli.

4. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 254. Vide t. I p. 426 sq. E parte contuli. Eiusdem est familiae atque *MaClVat* sed minoris pretii.

5. Monacensis gr. 113 (= Mo) saec. XVI fol. 152. Vide t. I p. 413 sq. et supra p. 292. Raro correctus est manu secunda et recentissima quae teste Iacobsio Allgem.

Schulz. 1832 col. 53 fuit Ign. Hardtii. Reiskia ex eo declamationem in usum mariti anno 1770 descripsit. Contuli.

Ex eodem quo hic fluxerunt exemplo:

6. Mutinensis gr. CLXXXI (III F 3) (= Mu) saec. XV fol. 53ᵛ. Folium 57ᵛ desinit verbo *ἀποκόψας* (p. 451, 11), verba sequentia *ὁ δῆμος, τούτων δὲ* transverse exarata sunt. Reliqua non exstant. Correctus est manu secunda. Vide t. II p. 48 sq. Contuli.

et

7. Vaticanus Ottobonianus gr. 69 saec. XVI/XVII fol. 76. Vide t. I p. 222 sq. et 414 sq. E parte contuli.

Eiusdem atque *MoMu* familiae erat exemplum e quo duo codices descripti sunt:

8. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 274ᵛ. Vide t. I p. 363 sq. E parte contuli.

et

9. Parisinus gr. 3017 saec. XV fol. 238. Vide t. II p. 4 sq. Inspexit Boissonadius.

Ex his quos in censum vocandos esse duxi codices quinque rursus in duas discedunt familias quarum prior codicibus *MaClVat*, altera *MoMu* continetur. Rationem quae inter singulos codices intercedit hoc tibi reddet stemma



In universum prior familia alteram fide superat, inter prioris vero codices *Vat* multo plura neglegentiae vestigia exhibet quam *MaCl*.

Unum locum laudavit Macarius Chrysocephalus.[1])

Postquam declamationem in codice bibliothecae Vaticanae exstare monuit titulumque cum initio declamationis protulit Fabricius bibl. gr. VII 413 titulumque iterum cum loco a Macario laudato e codice Marciano gr. 452 publici iuris fecit Villoisonus Anecd. II p. 12[2]), Reiskia (= Re) integram declamationem cum viris doctis communicavit (t. IV p. 798—817) ut e codice Monacensi descripserat id est forma mendosissima. Ad hanc emendandam multa contulerunt Fr. Iacobsius cum alibi tum 'Lectionum' libro[3]) et 'Brevi annotatione ad quinque Libanii Declamationes' (Allgem. Schulzeitung 1832 col. 52 sq.) (= Schul), cui nova collatio codicis Monacensis subsidio fuit, et Carolus Sintenis[4]), pauca Bastius, Boissonadius, qui codice Parisino gr. 3017 usus est, Cobetus. At vel sic largissima messis locis e codicibus prioris familiae vel emendandis vel supplendis relicta erat.

1) Cf. t. I p. 351 sq.
2) Ex hoc repetivit Reiskia t. I p. XXVI.
3) Cf. t. I p. 77 et V p. 198
4) Cf. t. I p. 78.

XLIII.

Νόμος ἦν μετὰ τοῦ τυράννου καὶ τοὺς παῖδας ἀποσφάττεσθαι, ἕτερος νόμος τὸν τυραννοκτόνον ὅ τι βούλοιτο αἰτεῖν. γυνὴ τὸν ἑαυτῆς ἄνδρα τυραννοῦντα ἀποσφάξασα εἰς δωρεὰν αἰτεῖ τοὺς παῖδας. μελετῶμεν τὸν ὑπὲρ τῆς τυραννοκτόνου λέγοντα.

Προθεωρία.

1. *Καὶ* ἡ γυνὴ φιλόπολις καὶ ὁ δῆμος φιλε- R IV 798
λευθέριος. ἡ μὲν ἄρτι τοὺς νόμους ἀπέδωκεν, ὁ δ' ὑπὸ νόμοις αὖθις ποιεῖται τὰ πράγματα. μάχονται δὲ ἄρα, ὥσπερ καὶ γνῶμαι γνώμαις καὶ ψηφίσματα ψηφίσμασιν, οὕτω καὶ νόμοι νόμοις. κατὰ περίστασιν

Ma = Codex Matritensis 4679, olim N-49
Cl = Berolinensis gr. 195, olim Claromontanus
Vat = Vaticanus gr. 108
Mo = Monacensis gr. 113
Mu = Mutinensis gr. CLXXXI

---

2 Chor. tyr. p. 49, 1 Boiss. 3 Calp. Flacc. decl. 1 12 sq. Sopat. in Hermog. art. Rhet. gr. ed. Walz. t. V 82, 4 sq.; 201, 28 sq.

---

6 *ἡ στάσις ἀντινομία* (*MaClVat*; *αὐτονομία MoMu* Re) cf. Hermog. de stat. 10 c. scholl. Rhet. gr. ed. Walz III 56; IV 815, 13 sq.

---

3 *ὅ τι* scripsi *ὅτι* libri Re 7 *προθεωρία* in marg rubr *Mo* 8 num *φιλελεύθερος*? at cf. p. 447, 11 9 *ὅδ' MaCl* 12 *οὕτως Ma*

μέντοι καὶ οὐ φύσει τοῖς γε ἀληθῶς νόμοις τὸ μάχιμον. ἄτερος δὲ τῶν στασιαζόντων τὸν ἕτερον προβαλεῖται τῶν νόμων. τὸ δὲ ἀγώνισμα καὶ ἀμφοῖν ὑπὲρ τῆς πόλεως, τῷ μέν, ἵνα δευτέρας τυραννίδος ἐλπὶς ἐκκεκόψεται, τῷ δ' ὑπὲρ τῆς τυραννοκτόνου λέγοντι καὶ τῶν ἐκείνης παίδων, ἵν' ἡ τυραννοκτόνος οὐ παντελῶς ἄμισθον ἔχῃ τὸ τρόπαιον. 2. *ἔοικε δὲ τὸ ζήτημα τοῦτο τῷ προειλημμένῳ. οἱ γὰρ δικασταὶ πρὸς τῆς ἐξαιτουμένης τοὺς παῖδας τὴν πολιτείαν ἀπέλαβον, ἐφ' ᾧ καὶ δυσχερῶς ἄν τισι μὴ τὰ φίλτατα ἀποδοῦναι αὐτῇ ψηφίσασθαι δόξαιεν. ἀλλ' οὗτοι καὶ τὸ τοῦ τυράννου τοῦ πατρὸς μῖσος ἀντιταλαντευέτωσαν καὶ παρευθὺ τὸ προειλημμένον τοῦ ζητήματος ἰσοστατοῦν ἐλεγχθήσεται. δύο γὰρ οὗτοι καὶ δύο πάθη ἀντικείμενα, πατὴρ καὶ μήτηρ, τυραννοκτόνος καὶ τύραννος, ὀργή τε καὶ ἔλεος, καὶ νόμοι ἐπίσης καὶ ἄμφω δημοτικοὶ καὶ πολίταις μισοτυράννοις ἀνυσιμώτατοι.* 3. *ἐπὶ μὲν γὰρ τοῦ προειλημμένου ἐκείνου ὅπερ ὁ τεχνικὸς*
R IV 799 *ἡμῖν παραδίδωσιν ἡ τῆς μοιχείας | ὕβρις ἰδική τις ἦν πρὸς τὸν ἄνδρα, κοινὸν δὲ τὸ ἀπὸ τῆς τυραννοκτονίας ὄφελος καὶ τὸ πλέον εἶχεν ἐκεῖσε ὡς ἀπὸ*

---

19 Sopat. *διαιρ. ζητ.* Rhet. gr. ed. Walz. VIII 247, 8 sq. cf. supra p. 433, 11 sq.

---

1 *γε* inserui e *MaClVat* om *MoMu* Re 3 *δὲ* inserui e *MaClVat* om *MoMu* Re 4 *ἵνα* bis *MoMu* 6 *μὴ* *Ma*, fort. recte 9 *ἐφῷ* *MaVat* 11 *ψηφίσασθαι* scripsi e *MaClVat* *ψηφίσματα* *MoMu* Re 13 *τῶ προειλημμένω* *Ma* 14 *ἐξελεγχθήσεται* *Ma* | *γὰρ*] *καὶ* *Ma* 16 *δημοτικοὶ* scripsi e *MaClVat* cum Iacobsio Schul *δημοτικὸς* *MoMu* Re 17 *μισοτυράννοις* *Ma* sed *οτυ* in ras m² 19 *ἰδική τις* scripsi e *MaClVat* cum Bastio ep. crit. 64 *ἰδικήτις* *MoMu* *ἡ δίκησις* Re „*in Par. 3017 lacunula inter ὕβρις et δίκη, inter δίκη et ἦν*" Boissonad. Anecd. nov. 77

κοινωφελεστέρας τῆς ἀριστείας ἢ τὴν ἄνοδον ὑποδείξασα· ὧδε δὲ καὶ τὸ λαβεῖν τοὺς παῖδας καὶ τὸ μὴ λαβεῖν καὶ ἄμφω κοινὰ καὶ τὸ ἀπὸ τούτων ἀποβησόμενον, ὁποῖόν ποτ' ἂν ᾖ, ἐς ὅλον, οἶμαι, τὸν δῆμον ἐνσκήψεται. 4. εἰ μὲν οὖν ἐφεῖτο γυναῖκα ἐπὶ βήματος λέγειν, οἶκτος ἂν ἦν τὸ πᾶν τοῦ λόγου καὶ δάκρυα· νῦν δ' ἐπειδὴ ἄλλος ἀντ' αὐτῆς κατέχει τὸ βῆμα, ἐν οἷς μὲν τὰ τῆς μητρὸς παθαίνεται τὸ πάθος ἐνδείξεται, ἐν οἷς δὲ ἄλλως ἀγωνίζεται δριμύξεται τὰ ἐναγώνια. 5. ἕξει δέ τινα καὶ μετρίαν τοῦ τυράννου καταφορὰν ὁ λόγος καὶ τοσοῦτον ὁπόσον αὐτῷ χρησιμεύσει πρὸς τὸ τῆς γυναικὸς ἀποσεμνῦναι τὴν τόλμαν μετὰ πολλῆς ἔτι τῆς ἐκπλήξεως καὶ τοῦ θαύματος. εἴτε γὰρ οὐκ ἀγανακτεῖν σκήψεται κατὰ τοῦ τυράννου, ὕποπτος ἔσται καὶ τῇ πόλει διαβληθήσεται ὡς ὑπὲρ τοῦ τυράννου ταῦτα σπουδάζων, οὐχὶ τῆς τυραννοκτόνου, εἴτε δ' οὖν πάνυ καταφέροιτο τοῦ τυράννου, μὴ καὶ κατὰ τῶν ἐκείνου παίδων δοκοίη ἄντικρυς παροξύνειν τὸν δῆμον, οὗπερ τοὐναντίον ἅπαν προὔθετο. τὸ δὲ τὰ τῆς τυραννίδος πάντα ἐκτραγῳδεῖν περιττόν,

---

8 cf. t. IV 640,7 R   12 Plat. Theaet. p. 168 D   20 sq. Chor. tyr. p. 51, 1 sq.

---

1 *τὴν*] *τὸ Vat*   3 *καὶ*(2) scripsi e *MaClVat* *ἢ MoMu* Re
6 *πᾶν*] *περὶ Ma*   7 *ἀντ' αὐτῆς* scripsi e *MaClVat* cum Bastio Greg. Cor. p. 891 ed. Schaefer et Sinteni *ἐν τἀυτῆς Mo Mu* *ἐν ταυτοῖς* Re   9 *δριμύξεται* scripsi e *ClVat* cum Bastio et Sinteni *δριμύττεται Ma* *δριμύζεται MoMu* Re | *ἐναγώνια* scripsi e *MaClVat* cum Bastio et Sinteni *ἐναγωνία Mo* *ἐν ἀγωνία Mu* sed in *ἀναγώνια* corr m² *οὐαγώνια* Re
11 *χρησιμεύσοι MaClVat*   12 *ἀποσεμνῦναι* scripsi e *MaCl* cum Iacobsio Lect Schul et Sinteni *ἀποσεμνεῖναι VatMoMu* Re
13 *ἔτι* scripsi cum Iacobsio Lect Schul et Sinteni *ὅτι* libri Re
16 *ταῦτα* — 17 *τυράννου* inserui e *MaClVat* om *MoMu* Re   20 *τὰ* scripsi e *ClVat* om *Ma* *κατὰ MoMu* Re

ἔγνωσται γὰρ οὐχ ἧττον τοῦ λέγοντος τοῖς ἀκούουσιν, ἄλλως τε καὶ λυπήσει μᾶλλον τὸν δῆμον ἤπερ ἐφέλξεται.

Ἡ μελέτη.

1. *Ἔδει μέν, ὦ ἄνδρες, τὴν οὕτω διὰ τοὺς νόμους προδεδωκυῖαν τὰ φίλτατα καὶ διπλῆν ἀριστείαν ὑπὲρ τῆς πόλεως ἀνῃρημένην οἷς τε τὸ θῆλυ τοῦ γένους ὑπὲρ τῶν νόμων ἀπήλεγξε καὶ μετὰ τυραννοῦντος ἀνδρὸς καὶ μείζω τύραννον ἄλλον, τὴν φύσιν, ἐτρέψατο μήτε νῦν ἐπὶ βῆμα καὶ δικαστὰς ἄγεσθαι μήθ' ὑπὸ νόμοις παθεῖν κινδυνεύειν τὰ ἔσχατα, οὓς αὐτὴ πεπτωκότας ἤδη ταῖς ἑαυτῆς χερσὶν ἀνεσώσατο, ἀλλ' οἷς τὸ λέγειν ἡμῖν ἐπ' ἐκκλησίας ἀπέδωκε, τούτοις πρὸ τῶν ἄλλων αὐτὴν τῆς δημοκρατίας ἀπόνασθαι· ἐπεὶ δ' οὐκ οἶδ' ὅπως ἡ μὲν ἐπὶ καλῷ τῷ τῆς πόλεως οὐδὲν ὅ τι τῶν παρ' ἑαυτῆς ἀπέλιπεν, ὑμεῖς δ' ὁ δῆμος ἔτι περὶ τὴν δωρεὰν μέλλετε καὶ κάθησθε κρίνοντες τὴν ὑφ' ἧς τὸ κρίνειν ἐλεύθερον ἔχετε, καὶ τῶν νῦν μὲν πολλὰ ληρούντων τούτων, τὸ πρὸ τοῦ δὲ κατεπτηχότων ἀκούειν ἀνέχεσθε, ὀλίγα δὲ φροντίζετε τῆς θαυμασίας ταυτησὶ γυναικὸς καὶ ἣν οὐδὲ γυναῖκα λέγειν δίκαιον, ἀλλ' ἀριστέα καὶ τυραννοκτόνον*

---

2 *ἐφέλξεται* scripsi e *MaClVat* cum Sinteni *ἐφέλκεται MoMu* Re 3 *Ἡ μελέτη* inserui e *MaCl* om *VatMoMu* sed in hoc inser m² et in marg rubr, Re 4 *Ἔδει — τὴν* inser *Mu*² | *ἄνδρες* scripsi e *MaClVat* *Τρῶες MoMu* Re *παρόντες* Iacobs Anth Pal III 750 Lect 6 *ἧς Ma* 7 *ἀπήλλαξε Ma* 10 *παθεῖν* scripsi *πεσεῖν* libri Re | ⟨*καὶ*⟩ *κινδυνεύειν* Sintenis 14 *οὐκ οἶδ'* om *Mu* | *ἡ* in ras *Ma*² | *ἔτι* post *καλῷ MoMu* Re delevi | *τῷ* — 17 *κρίνειν* inserui e *MaClVat* om *MoMu* Re lacunam suspicati sunt Iacobs et Sintenis 15 *ὅ τι* scripsi *ὅτι MaClVat* 18 *τὸ πρὸ τοῦ δὲ* scripsi e *Ma* *τοπροτοῦδε ClVatMoMu* Re 20 *τῆς* — 21 *δίκαιον* inserui e *MaClVat* om *MoMu* Re 21 *ἀλλ' ἀριστέα καὶ τυραννοκτόνον* scripsi e *MaClVat* *τῆς ἀριστέως καὶ τυραννοκτόνου MoMu* Re

καὶ τἄλλα ὁπόσα τῶν ὀνομάτων βελτίω, αὐτὸς ἐγὼ νῦν ἔγνων δεῖν ἐπὶ τὸ βῆμα παριέναι καὶ | τῆς R IV 800 *γενναίας ἐκείνης χειρὸς γλῶτταν σύμμαχον ἐπ' ἐκκλησίας ἀντιδοῦναι καὶ ταύτῃ πρώτῃ τῆς δημηγορίας ἀποχαριεῖσθαι, παρ' ἧς τὸ δημηγορεῖν ἐπανῆλθε τῇ πόλει.* 2. *εἰ μὲν οὖν ἑώρων τὸ τοὺς εὖ δράσαντας μὴ καλῶς ἀντιδρᾶν πρὸς εὐδοξίαν μέλλον ἡμῖν ἀποτελευτῆσαι, τάχ' ἂν πρὸς τοῖς ἄλλοις ἐγιγνόμην κἀγὼ καὶ ταχέως ἄν τις εἶδεν ἐμὲ τὸν νῦν ὑπερμαχοῦντα τότε τοὐναντίον ἅπαν ἀπομαχόμενον πρὸς τὴν δωρεάν· νῦν δ', οὐ γὰρ οἶδα πῶς ἄν τις τῶν ἁπάντων δίκαιον τοῦτο νομίσειε καὶ μὴ μᾶλλον πρὸς ἀδοξίαν οὐ τὴν τυχοῦσαν περιιστάμενον, ἥκω τήν τε πόλιν καὶ ὑμᾶς τηλικαύτης δυσφημίας ἀπαλλάξαι σπουδάζων καὶ τῇ γενναίᾳ ταύτῃ τὰς ἀμοιβὰς ἐν οὕτως ἀναγκαίοις ἀποδώσων καιροῖς καὶ ὑμᾶς τοῦτ' αὐτὸ πείσειν τὰ δυνατὰ πειρασόμενος.* 3. *δεῖ γάρ, ὡς ἐπὶ τοιούτοις οἶμαι, κἀμὲ τὴν εὐεργεσίαν ὁμολογεῖν κοινὴν οὕτω καταβληθεῖσαν καὶ πάνδημον καὶ ὑμᾶς τοὺς εὖ παθόντας οὐκ ἀποκνεῖν τὴν προσήκουσαν ἀντικαταβαλέσθαι χάριν. ὡς νῦν τῷ μὲν δοκεῖν ἐγὼ τῇ γυναικὶ τοὺς παῖδας εἰς δωρεὰν ἐξαιτοῦμαι καὶ γράφω τοῦτο τὸ ψήφισμα καὶ γίνομαι δημηγόρος οὐκ ἀγεννὴς παρ' ἧς καὶ τὸ*

---

1 *τᾶλλα Vat* 4 *δημοκρατίας Ma* 5 *ἐπανῆλθεν Ma* 6 *δράσαντα Vat* 12 *καὶ μὴ* scripsi *μὴ καὶ* libri Re „*fort. καὶ μὴ καὶ*" Iacobs Schul | *εὐδοξίαν Ma* 13 *καὶ* om *MaCl Vat* 14 *σπουδά[σ]ζων MaCl σπουδάσων Vat* 15 *ἀναγκαίοις Ma* sed *οις* in ras m[2] | *ἐπιδώσων Ma* 16 *τοῦτ' αὐτὸ* reposui e libris cum Iacobsio Ach T 786 Schul et Sinteni *τοῦ ταὐτὸ* Re | *πείσοι Vat πείθειν* Sintenis 18 „*post ὁμολογεῖν et πάνδημον commata ponenda*" Iacobs Schul 19 *πα[ο]θόντας Mo* 23 *δήμητρος Vat*

γράφειν καὶ τὸ λέγειν ἡ ξύμπασα πόλις ἔχομεν· τὸ δ' ἀληθές, ἣν ὑμεῖς ἀκριβέστερον ἐπισκοπεῖν ἐθελήσητε, γνοίητ' ἂν ὡς αὐτὸς ὁ νόμος ἐκ τότε μετὰ τοῦ δικαίου τοῦτο ψηφίζεται, ἐξότουπερ ἡ μὲν τὸ ξίφος κατήνεγκεν, ὁ δὲ τύραννος ἔπιπτεν, ἡ δὲ πόλις μετὰ καὶ τῶν νόμων ἀνώρθωται.

4. *Οἶδα μὲν οὖν τοὺς πολλοὺς ἀγανακτοῦντας καὶ μέγα τι ποιουμένους δεινόν, εἰ τυράννου πεπτωκότος πατρὸς οἱ παῖδες ἔτι γοῦν περισώζοιντο, ἐγὼ δὲ τούτων μὲν ἀλγούντων οὐχὶ θαυμάζω, τὸ γὰρ ἐπὶ μεγίστοις τοὺς τεκόντας μισεῖν καὶ μέχρι τῶν παίδων τὴν ἀπέχθειαν παρεκτείνει, τοῦτο δὲ καὶ πάλαι τοῦ κατηγόρου ξυμβαλεῖν οὐκ ἔχω, εἰ τῶν μὲν τοῦ πατρὸς κακῶν εἰσέτι που μέμνηται καὶ δεῖν ἐπὶ τούτοις καὶ τοὺς παῖδας εὐθύνειν ἀπισχυρίζεται, τῶν δὲ τῆς τεκούσης καλῶν καὶ ὅπως ἐκείνη τὴν πόλιν ὑπὸ τυράννῳ κειμένην ἀνώρθωσε, ταῦτα δὲ οὐδ' εἰς νοῦν τὸ παράπαν ὁ βέλτιστος οὗτος βάλλεται. καίτοι γε ποῦ δί-* R IV 801 *καιον ὑπὲρ μὲν τῶν τοῦ πατρὸς | δεινῶν καὶ τοὺς παῖδας μισεῖν ὡς ἀποκτιννύναι, τῶν δὲ τῆς μητρὸς ἀγαθῶν οὕνεκα μὴ τοὺς αὐτοὺς περισώζειν, ὡς οἷόν τε;* 5. *εἰ μὲν οὖν οὐ κἀγὼ τῆς αὐτῆς πόλεως ἦν οὐδ' ὑπὸ τοῖς αὐτοῖς ἀρχῆθεν ἐτρεφόμην νόμοις καὶ τῆς αὐτῆς μετεῖχον πολιτείας ἧσπερ καὶ τούτων ἕκαστος, ἢ καὶ τῆς αὐτῆς ὢν μόνος αὐτὸς τῶν ἐκ τῆς τυ-*

---

3 *ἐκ τοτε MaClVat* Re *ἐκτοτε MoMu* cf. Lobeck Phryn. p. 46   5 *ὁ δ' ὁ τύραννος MaClVat*   8 *πεπτωκότα Cl*   12 *παρεκτείνει* scripsi cum Iacobsio Ach T 810 Schul *παρετείνει VatMo* *παρατείνει MaClMu* *παρετείνειν* Re   14 *κακῶν* in ras *Ma*[2]   17 *τοπαράπαν MoMu*   18 comma post *δίκαιον Mo,* signum interrogationis Re   19 *τῶν* om *Vat* | *δεινῶν* om *Ma*   22 *οὐκ ἐγὼ Ma* *οὐκ ἀγὼ Mu* *οὐκ αγὼ Mo*

ραννίδος οὐ μετελάμβανον, ἀλλ' ἦν τὰ πρῶτα τῆς τοῦ τυραννοῦντος ἑταιρείας ἢ καὶ ἄλλως τῆς περὶ ἐκεῖνον δορυφορίας ἀνεπλήρουν τὸν κύκλον, εἰκότως ἄν τις ὑπὲρ τοῦ πεπτωκότος, ἀλλ' οὐ τῆς γε μητρὸς ταυτησὶ τὴν πᾶσαν εἶναί μοι σπουδὴν ἐνόμισε· νῦν δέ, ἐπεὶ καὶ τότε περιόντος ἐκείνου καὶ τυραννοῦντος ἠχθόμην καὶ πεπτωκότος τὴν μὲν ἀπεκτονυῖαν οὐ μικρὰ τοῦ γενναίου τούτου λήματος ἄγαμαι, τῷ δ' ἐφυβρίζειν καὶ κειμένῳ πρὸς τοῦ μίσους ἐξάγομαι, δέδοικα μὴ ἐγὼ μὲν ὑπὲρ τῆς τὴν τυραννίδα καθελούσης ταῦτα καὶ λέγω καὶ γράφω, τὰ δὲ τοῦ κατηγόρου, ἀλλὰ μὴ βαρέως φέρῃ πεπτωκότος ὑπὸ γυναικὶ τοῦ τυράννου καὶ διὰ ταῦτα λυπεῖν ἐθέλῃ τὴν τυραννοκτόνον καὶ τῶν παίδων προσαποστερῶν.

6. *Βούλομαι δ' ὑμᾶς, ὦ ἄνδρες, ἀναμνῆσαι μικρὸν ἐν οἵοις τε καὶ ὅσοις ἡ πόλις ἦν τοῖς κακοῖς, ἐπεὶ καὶ τοῦτο τῷ κατηγόρῳ δοκοῦν καὶ μετὰ τὴν τῶν ἔργων τυραννίδα τοῖς λόγοις οὐχ ἥκιστα καταβάλλεσθαι, καὶ*

---

1 *ἀλλ' Ma* sed *'λλ'* in ras m^2 | *τα πρῶτα Mu* 2 *ἑταιρίας MaClVat* 3 *ἀνεπλήρουν* scripsi e *MaClVat* *ἐνεπλήρουν MoMu* Re 5 *ἐνόμισεν MaCl* | *δ' Vat* 6 *περιόντος Ma* sed *περ* in ras m^2 7 *πεπτωκό* (*τ* supra) *Ma* *πεπτωκότα Cl* | *ἀποκτονυῖαν MaCl* 8 *γενναιοτάτου* Iacobs App Pors 329 | *τούτου* scripsi e *VatMoMu* cum Iacobsio Schul et Cobeto Coll 302 *τοῦτο Ma* Re om *Cl* | *λήματος* scripsi cum Iacobsio et Cobeto *λήμματος Vat* *τολμήματος MaCl* *λῆμμα MoMu* Re 10 *μὲν* — 11 *λέγω* in marg *Mo*^{2} | *τὴν* om *Vat* 11 *ἀλλὰ* — 12 *τυράννου*] locus corruptus „*sensum probabilem habebis scribendo*: *τὰ δὲ τοῦ κατηγόρου ἀνάμνησιν βαρεῖαν προσφέρῃ* (*ἐπιφέρῃ* Schul) *πεπτωκότος ὑπὸ γυναικὶ τοῦ τυράννου*“ Iacobs Lect Schul num *κατηγόρου ⟨οὐδὲν⟩ ἄλλο ἢ*? 12 punctum post *τυράννου* libri Re delevi cum Iacobsio et Sinteni 13 *διαταῦτα MoMu* | *λυπεῖν* reposui e libris cum Iacobsio et Sinteni *λιπεῖν* Re | *ἐθέλει MaCl* 14 *προσαποστερεῖν Ma* 17 *μετὰ Ma* sed *α* in ras m^2 18 *τοῖς* inserui e *MaClVat* om *MoMu* Re | *οὐχήκιστα Mu* | *βάλλεσθαι MaClVat*

ὅσην εὐδαιμονίαν ἡ τῆς παρούσης γυναικὸς τόλμα καὶ γενναιότης ἡμῖν ἀντιπεριέστησεν. 7. ἢ τίς τῶν ἁπάντων οὐκ οἶδεν ὅπως ἦμεν ἐπ' εὐνομίᾳ τὰ πρῶτα καὶ νόμοις καὶ οὐδὲν ἦν ὅ τι μὴ καὶ πρὸς δημοκρατίαν ἐπολιτεύετο παρ' ἡμῖν, ἀλλ' εἶχε πάντα τὸν προσήκοντα κόσμον, ὁ δῆμος, ἡ βουλή, τὸ βῆμα, τὰ τῶν νομοφυλακούντων, τὰ τῶν στρατηγούντων καὶ ὅσα τοῦ τῶν ὁπλιτῶν καταλόγου καὶ ὅσα τοῦ τῶν ἱππέων κόσμου καὶ τῶν ἄλλως ἐν ὅπλοις ἐχόντων; καὶ τὰς μὲν τῶν ἀστυγειτόνων πόλεων εἰς ὁμαιχμίαν συνῆγε τὸ δημοκρατικὸν τοῦτο σχῆμα τῆς πολιτείας καὶ τὸ πάντα ὑπὸ νόμοις εἶναι παρ' ἡμῖν, τὰς δ' οὐ μετρίως ἐφόβει τὸ μηδὲν ὅ τι καὶ νοσοῦν τῶν ἐν τῇ πόλει ξυνορᾶν. 8. ἀλλ' ἐπὶ τούτοις ὄντων ἡμῶν οὐκ οἶδ' ὁπόθεν εἰσέπεσεν ἡ θεοῖς ἐχθρὰ R IV 802 τυραννὶς καί τις δαιμόνων ἐχθρῶν | δημοκρατίᾳ καὶ νόμοις ὀφθαλμὸν τῇ τε πόλει καὶ ἡμῖν ἐπέβαλε βάσκανον καί τινα τούτων τῶν τὰ πάντα τολμώντων πλουσίων νεωτέροις ἐπιτολμᾶν ἀνέπεισε πράγμασι καὶ πρὸς τὸν τῆς κακοδαίμονος τυραννίδος ὑπεξέκαυσεν ἔρωτα. 9. ὁ δὲ μηδὲν μελλήσας καὶ μηδὲ μικρόν τι

---

6 cf. p. 355, 10   10 Her. VII 145, 2; VIII 140, 3. Thuc. I 18, 6. Zos. II 20; V 42; 50, 2   14 cf. t. IV 673, 13 R   18 cf. ad p. 279, 19 | cf. p. 458, 21

---

1 ἡ om *MaCl* | τόλμη *MaClVat* cf. p. 447, 14   3 τα πρῶτα *Ma* ταπρῶτα *Mu*   4 ὅ τι scripsi cum Iacobsio ὅτι libri Re   8 ἄλλων *Vat*   10 ὁμαιχμίαν scripsi e *MaClVat* ὁμαιουμίαν *Mo* ὁμαίου μίαν *Mu* ὁμοθυμίαν Re et in marg *Mo* Hardt (Iacobs Schul)   11 πάν$^{\tau}$ *Mo* πάντας *Vat*   12 ὅ τι scripsi cum Iacobsio Schul ὅτι libri Re   15 ἐχθρῶν δαιμόνων *Vat* | ἐχθρῶν inser Ma^2 | δημοκρατίᾳ scripsi cum Iacobsio Schul δημοκρατία libri Re   16 τε om *Mu*   17 τολμώντων inserui e *MaClVat* om *MoMu* Re   19 ὑπεξέκαυσε τὸν *Ma* sed τὸν del m^2 20 μελήσας *ClVat* | καὶ om *MaClVat* | μὴ δὲ libri

τῆς μιαρᾶς ταυτησὶ βουλῆς ἐπισχών, πῶς γὰρ ἂν ἄνθρωπος οὕτως ὑπὸ τρυφῆς καὶ τῆς ἄλλης ἀπονοίας διεφθορώς; δεινὸν ἡγεῖται τῇ μὲν τύχῃ πλουτεῖν, τῷ δὲ βήματι μηδὲν τῶν πενομένων τούτων δὴ τῶν τοῦ δήμου πλέον αὐχεῖν καὶ τῶν μὲν ἐκ τῆς τύχης ἀγαθῶν ἁπάντων κρατεῖν, τοῖς δὲ νόμοις μετὰ καὶ τῶν ἄλλων ὑποκύπτειν δημοκρατούμενος. 10. τί γοῦν; ὁρᾷ τὸν πλοῦτον, λογίζεται τὸ πολὺ τῆς τόλμης, συλλογίζεται τὴν δαπάνην καὶ παραυτίκα τοὺς πονηροτάτους τῶν πολιτῶν ὑποδύεται καὶ ῥᾷον οὕτω τοὺς πολλοὺς ἐξαπατήσας, τοὺς μὲν ὑποσχέσεσι κλέψας, τοὺς δὲ χρήμασι διαφθείρας, ἐπ' αὐτὴν ὥρμησε τὴν ἀκρόπολιν καὶ τὰ μὲν ἀφύλακτα τοῦ χωρίου καταλαβὼν ἅτε δὴ πρὸ πολλοῦ τὴν ἔφοδον καιροφυλακήσας, εἰ δέ τί που καὶ τοῦ στρατιωτικοῦ παραφυλαττόμενον ὑπολέλειπτο, τούτων δὲ τοὺς μὲν ὑπὸ τοῦ τῶν δορυφόρων πλήθους σὺν οὐδενὶ πόνῳ διωσάμενος, τοῖς δὲ καὶ νυκτὸς ἐξ ἀφανοῦς ἐπιθέμενος τὴν ὅλην εὐθὺς εἶχεν ἀκρόπολιν. 11. ἐντεῦθεν φυλακὴν ἐφίστα τῷ σώματι καὶ δορυφόρους ἔτρεφε τοὺς τὰ ἄτοπα ἐκεῖνα ὑπηρετήσοντας. ἐνταῦθα τί μὲν οὐκ ἀπῆν τῶν καλῶν; τί δὲ οὐ παρῆν τῶν κακῶν; ἀπὸ τῶν νόμων ἄρχεται τῆς ἐξουσίας ἡ μιαρὰ κεφαλή, τούτους γὰρ καὶ πρὸ τῶν ἄλλων ἐκείνῳ

7 cf. p. 456, 11 13 Chor. tyr. p. 61, 8 14 cf. t. V 555, 12

1 ἂν om *MaClVat* 5 τῶ μὲν τῶν ἐκ *MaCl* 7 γάρ; Sintenis 11 τοὺς(1) — 12 διαφθείρας om *MaCl* 13 ἀφύλακτα *Cl* sed α(3) ex ο corr m² 14 πρὸ πολλοῦ scripsi e *MaClVat* τοῦ καιροῦ *MoMu* Re | ἔφεσιν *Vat* 15 στρατιωτικοῦ *Ma* sed οῦ in ras m² 16 τοῦ *Ma* sed οῦ in ras m² | τῶν om *Ma* 18 εἶχον *Ma* 19 ἐφιστᾶ *MaClVat* 20 ἐκεῖνα scripsi e *MaClVat* cum Sinteni ἐκείνῳ *MoMu* Re

καταλῦσαι τὸ σπούδασμα. τούτων δὲ πεπτωκότων συνεπεπτώκει καὶ τὰ τῆς δημοκρατίας. 12. *ὕβρεις δὲ παίδων καὶ γυναικῶν ἁρπαγὰς καὶ πολιτῶν ἀδίκους σφαγὰς καὶ χρημάτων ἀφαιρέσεις καὶ τῆς θρεψαμένης ἐκπτώσεις καὶ τἄλλα ὅσα μὲν ἐκεῖνος ἐτόλμα τυραννῶν, ἡμεῖς δ' ἐφέρομεν τυραννούμενοι, τί ἄν τις ἐκτραγῳδοίη; ὧν γὰρ ἡ πεῖρα οὐ πρὸ πολλοῦ, ταῦτά μοι καὶ λέγειν περίεργον. ταῦτα δὲ πάντα καθ' ἡμῶν ὁ κακοδαίμων ἐκεῖνος κρύφα σκευωρούμενος διεπράττετο οὐδὲν εἰδυίας, οὐ μὰ Δία, τῆς γυναικός. οἷς γὰρ* R IV 803 *ὑπὲρ ἡμῶν παρεκινδύνευσεν | ὕστερον ἔδειξε καὶ τότε ὁποία ἂν ἦν τὴν γνώμην, εἴπερ ᾔδει τἀπόρρητον.* 13. *ὡς οὖν ὁ μὲν ἀσελγῶς οὕτω τοῖς νόμοις ἐφύβριζε, τοῖς δὲ πάσχουσιν ἡμῖν οὐδ' αὐτὸ τὸ θρηνεῖν ἔξω κινδύνων ἐλείπετο, πολλοὺς πολλάκις αὕτη λόγους ὑπὲρ ἡμῶν ἐφθέγξατο, πολλὰς δημηγορίας ὑπὲρ τῆς ἐνεγκαμένης μετὰ καὶ δακρύων τοῦ τυραννοῦντος κατέχεεν. ἀλλὰ τί μή, πρὸς θεῶν, οἱ πρὸς τοῖς λόγοις ἐκεῖσε τυχόντες τῷ δήμῳ τὴν τυραννοκτόνον βουλὴν ἐκείνην ἐξαγγέλλετε, ὅπως νῦν μὲν ἱκέτευε, νῦν δ' ὑπὲρ τῶν νόμων ἐφθέγγετο τὸ ἀπὸ θεῶν προβαλλο-*

2 sq. Luc. tyr. § 5

2 *ὕβρεις* scripsi e *Ma* sed *βρεις* in ras m², *Cl Vat* coll p. 473,11 *ὕβρις MoMu* Re 3 *γυναικῶν* scripsi coll p. 473,11 cum Iacobsio Lect *πολιτῶν* libri Re *παρθένων* vel *γυναικῶν* Iacobs Schul 5 *τἆλλα Vat* 7 *καὶ τραγῳδοίη MaCl Vat* cf. p. 439,20; 454,14 | *γὰρ* in ras *Ma²* | *οὐ* inserui auctore Iacobsio Ach T 915 Schul om libri Re | *προπολλοῦ MoMu* Re 12 *ἂν* om *Vat* | *τἀπόρρητον* scripsi e *MaCl Vat* *τὰ ἀπόρρητα MoMu* Re 13 *οὕτως Vat* | *ἐφύβριζεν Ma* 18 *πρὸς* in *παρόντες*, 19 *ἐκεῖσε* in *ἐκείνης* (Lect) aut in *κοῖτοι* vel *κοιτῶνες* (Schul) mutandum coni Iacobs Lect Schul at cf. p. 438,21 | *τυχόντες* inserui e *MaCl Vat* om *MoMu* Re 20 *ἐκείνην βουλὴν Vat* | *νῦν μὲν* scripsi e *MaCl Vat* cum Sinteni *μὲν νῦν MoMu* Re | *ἱκέτευε Ma* sed ´ et ε(3) in ras m² et accent. supra υ eras 21 *τὰ* Iacobs Schul

μένη μήνιμα, τὴν ἐξ ἀνθρώπων νέμεσιν, τὰ εἰς Ἅιδου κολαστήρια, Ἀχέροντας, Πυριφλεγέθοντας, Κωκυτούς, τἄλλα ὁπόσα καὶ θανόντες ὑποίσουσι τύραννοι; 14. *ὡς δὲ καὶ δεύτεροι καὶ τρίτοι κατεγελῶντο λόγοι καὶ ἡ μὲν ἐπ' ἀνηνύτοις ἔλεγεν, ὁ δ' ἐπὶ κακῷ τοῦ δήμου τυραννῶν οὐκ ἔληγε, κατὰ τοὺς τῶν Ἀσκληπιαδῶν σοφωτέρους τῆς ἐπῳδῆς καταγνοῦσα καὶ τῶν φαρμάκων ἐπὶ τοὺς καυτῆρας καὶ τὴν τομὴν ἀπιδεῖν ἔγνω καὶ τέμνειν ἐπιχειρεῖ τὸ μέγα τραῦμα, τὸν τύραννον, ἵνα μὴ καὶ τὸ πᾶν τοῦ τῆς πόλεως σώματος ξυνοιχήσεται.* 15. *ἐνταῦθα μάχη τις ἦν φιλελευθερίου γνώμης καὶ φύσεως. ἡ μὲν τὴν χεῖρα ὡς κατὰ τυράννου ὥπλιζεν, ἡ δ' ὡς κατ' ἀνδρὸς ὁπλιζομένην τῆς ὁρμῆς ὑπανέκοπτεν. ἐντεῦθεν εἷλκεν ἡ τόλμα, ἐκεῖθεν κατέκλα τὸ γένος. ἦρε τὸ ξίφος, αὖθις ἀπέρριψεν. αὖθις ἀνείλετο, καὶ αὖθις τὸ ξίφος τῆς χειρὸς ἀπέρρευσε. καὶ πολλάκις ἑκάτερον καὶ μετὰ δακρύων ἕκαστον.* 16. *ὡς οὖν ὀψέ ποτε ὅλη γέγονε τοῦ τῆς πόλεως καλοῦ καὶ συμφέρειν αὐτὴν μᾶλλον ἐπ' οἴκου στένειν ἢ τὸν ὅλον δῆμον ἐπ' ἀγορᾶς ἀλγεῖν ἔκρινε, καὶ τὸ τοῦ*

---

2 cf. ad p. 364, 22; t. V 145, 12; VI 108, 1 6 cf. p. 347, 6 sq. 12 sq. Chor. tyr. p. 58, 25

---

1 *ἐς MaClMu* 2 *κωκυτοὺς* in marg *Ma* 5 *ἔλεγεν Ma* sed *λεγ* in ras m² 6 *ἔληγεν Ma* | *τῶν* inserui e *Ma* cum Iacobsio Ach T 780 App Pors. Adv. 287 Schul coll p. 347, 6 om *ClVatMoMu* Re | *ἀσκληπιῶν Ma* 7 *ἀπογνοῦσα* Iacobs ll. ll. | *τὴν Cl* 8 *ἀπιδεῖν* scripsi e *MaClVat* *ἐπιδεῖν MoMu* Re 9 *ἐπεγχειρεῖ* Sintenis 10 *συνοιχήσεται Ma* sed ξ m² et σ in ras m² cf. p. 438, 5 13 *ἡ δ' Mo* 14 *κατέκλει* (α supra ει) *Mo* 15 *ἀπέρριψεν* scripsi e *MaClVatMu* *ἀπέριψεν Mo* *ἀπέριπτεν* Re 16 *τὸ ξίφος* delendum censet Iacobs Lect Schul 19 *αὐτὴν* libri Re 20 *ἐπ' ἀγορᾶς* scripsi e *MaClVat* cum Sinteni *ἐς ἀγορὰς MoMu* Re

θυμοῦ δίκαιον τῆς φύσεως ὑπερίσχυσε καὶ ἤδη ταῦτα ἐδέδοκτο, ὢ γενναίας γνώμης ἐκείνης, ὢ μισοτυράννου ψυχῆς, ὢ γνώμης φιλοπόλιδος καὶ πεπτωκότας ἐπανορθούσης τοὺς νόμους, ἐπὶ τὴν τελευταίαν τοῦ δήμου συμμαχίαν ἵεται καὶ ἃ τοῖς λόγοις οὐκ ἴσχυσε πρότερον, ταῦτα τῷ ξίφει κατορθώσειν ἐπίστευσε. 17. *καὶ ἡμῶν μὲν οὐδεὶς τοῦτο τῶν μισούντων ἐτόλμησε, τῶν ὑβριζομένων, τῶν ἀδικουμένων, τῶν κακῶς παρ' ὅλην*
R IV 804 *τὴν τυραννίδα πασχόντων,* | *οὐ τῶν ἀριστέων, οὐ τῶν στρατηγῶν, οὐ τῶν ὁπλιτῶν. καὶ τί λέγω τοὺς ἄλλους; ἀλλ' οἵ γε τῶν τῆς πόλεως οὗτοι φροντισταὶ φάσκοντες εἶναι, οἱ νῦν ἐπὶ βήματος ῥέοντες, οἱ νῦν πολλὰ θρασυνόμενοι, ἔχεις τινὰ τούτων εἰπεῖν εἰς τοῦτο τόλμης ἐλθόντα ὁ γενναῖος καὶ νῦν τοὺς νόμους ἐξακριβούμενος; ἀλλ' οὐδὲ τούτων οὐδεὶς πρὸς τοσοῦτο τόλμης ἐλθεῖν ἐθάρρησεν.* 18. *ἡ γενναία δὲ αὕτη καὶ μόνον τὸ σῶμα γυνή, τὴν δὲ ψυχὴν ἀνδρώδης, τῷ ὄντι δὲ μᾶλλον καὶ τὴν χεῖρα καὶ τὴν ψυχὴν ἐλευθέριος ἐγχειρίδιον ὑπὸ μάλης λαβοῦσα καὶ τὸ δωμάτιον εἰσελθοῦσα, οὗπερ ἐτρύφα καθ' ἡμῶν ἐκεῖνος, καὶ τοὺς μὲν ὀφθαλμοὺς εἰς τὴν τοῦ τυράννου σφαγὴν μετὰ καὶ τῆς χειρὸς ἀποτείνουσα, τῇ δὲ γνώμῃ πρὸς ὑμᾶς ἀφορῶσα, τὸν δῆμον, καὶ τῇ πρὸς τὸν ἄνδρα στοργῇ*

---

12 cf. ad p. 473, 5 19 sq. cf. t. VI 92, 13 sq. Luc. tyr. § 7. Chor. tyr. p. 53, 4 sq. Plat. Gorg. p. 469 D

---

2 comma post *ἐδέδοκτο* posui e *Mo*, punctum reliqui libri Re | *ὦ* (1) *MoMu* Re | *ὦ* (2) *ClVat* Re 3 *ὦ Cl* 5 *ἴεται Mo Mu* Re 10 *τῶ* (1) *Mo* 12 *οἱ* (1) inserui e *MaClVat* om *MoMu* Re 16 *τόλμης Ma* sed *ης* corr m² | *ἐλθεῖν* om *Vat* inser *Ma*² 18 *χεῖρα καὶ τὴν* in marg *Mo*² 19 *μάχης Mo* sed et *χ* in *λ* corr ras et *λ* suprapos m² 21 *τοῦ* om *Cl* | *σφαγὴν Ma* sed *σφ* in ras m²

τὴν ὑπὲρ τῶν νόμων ἀντιτιθεῖσα σπουδὴν παίει καιρίαν τὸν ὑφ' οὗ παιόμενος ὁ δῆμος ἠνείχετο. 19. καὶ μιᾷ πληγῇ τὸν μὲν εἰς τοὔδαφος μετὰ καὶ τῆς ὅλης τυραννίδος κατέβαλε, τοὺς δὲ νόμους πεπτωκότας ἀνέστησε καὶ τὸν πολλοὺς ἀνελόντα μόνη μετὰ καὶ τοῦ ξίφους κατεστρατήγησε καὶ δι' ἑνὸς φόνου τὰ κάλλιστα τῶν πώποτε τροπαίων ἀνείλετο. καὶ μιᾷ χειρὶ τρεῖς καθεῖλε τυράννους, στοργὴν ἐξ αἵματος, ἀνανδρίαν ἐκ γένους, καὶ τὸ τελευταῖον, μέγαν, φοβερὸν ὁπλίτην, ἄνδρα τύραννον.

20. *Καὶ* διὰ τοιαύτης παραδόξου σφαγῆς τὰ πάντα πᾶσιν ἀποδεδωκυῖα μίαν αὐτὴ καὶ ταύτην χάριν αἰτεῖται δικαίαν. ὁποία τις αὕτη; οὐ πλέθρα γῆς, οὐκ ἀπὸ πρυτανείου σίτησις, οὐκ ἄλλο τῶν πρὸς κέρδος οὐδέν, ἀλλ' ἣν ἂν φρονοῦντες θαυμάσαιεν ἄνθρωποι κἂν ὑμεῖς ἀκούσητε, τὸν τῆς φύσεως, οἶμαι, θεσμὸν αἰδεσθήσεσθε. 21. γονὴ παίδων αὐτῇ περίεστι καὶ αὕτη τὴν γλῶτταν ὑποψελλίζοντες καὶ μήπω φθάσαντες τῆς τοῦ πατρὸς ὠμότητος γεύσασθαι, ἀλλ' ἔτι καὶ τοῦθ' ὅπερ ἐστὶ τυραννὶς οὐκ εἰδότες οὔθ' ὡς ὁ τούτων πατὴρ τύραννος. τὸν οὖν τεκόντα ὡς ἀδικοῦντα πρὸς

---

7 sq. Chor. tyr. p. 51, 51 sq. 9 cf. p. 456, 9 11 cf. p. 456, 8; t. VI 92, 20 sq. 13 cf. ad p. 453, 9. Chor. tyr. p. 75, 12. Luc. tyr. § 1

---

1 ἀντιτιθεῖσα scripsi e *MaCl* ἀντιθεῖσα *MoMu* Re ἀνατιθεῖσα *Vat* 3 καὶ om *Vat* 4 κατέβαλλε *Ma* sed λ (in ras) ε m² | ἀνέστησε *Ma* sed σε in ras m² 8 ἀνδρείαν *MaCl* sed in hoc οἶμαι ἀνανδρίαν βούλεται λέγειν in marg 9 καὶ ante φοβερὸν et ante 10 τύραννον *Vat* 12 αὐτὴν *Vat* 14 σίτησις scripsi σίτισις *MaClVat* σίτισιν *MoMu* σίτησιν Re 16 ἀκούσαιτε *MaCl* | θερμὸν *Mo* sed σ supra ρ m² 17 αὐτῇ *Mo* sed αἰτεῖ in marg m² αἰτεῖ *Mu* | αὕτη scripsi e *MaClVat* αὐτοὶ *MoMu* Re 21 γοῦν *Ma*

δίκην καὶ καλῶς ἀποκτείνασα τοὺς μήτ' αὐτὴν λελυπηκότας μήτε τὴν πόλιν ἠδικηκότας ἑαυτῇ μὲν περιποιεῖται παῖδας, ὑμῖν δὲ πολίτας.

22. *Ἀλλ' ἐνταῦθά μοι προσεπιπηδῶσι τῷ λόγῳ καὶ* R IV 805 *τῆς γνώμης | ἐκκρούουσιν οἱ καὶ μέχρι παίδων τὴν τυραννίδα ποιεῖσθαι σκηπτόμενοι καὶ τὸν τοῦτο λέγοντα νόμον ὡς ἐπὶ τούτοις προβάλλονται. ἐγὼ δὲ οἶδα μὲν τὸ γράμμα, οἶδα δ' ἐφ' οἷς ἄρα καὶ γέγραπται. ἀποκτιννύναι τοὺς τῶν τυραννούντων παῖδας ὁ νόμος βούλεται μέν, ἀλλ' ὁπόταν μετὰ τῶν τεκόντων ἀδικοῖεν τὴν πόλιν, ἀλλ' ὁπόταν τὰ τῶν πατέρων μιμοῖντο καὶ τὰ τυραννούντων κακουργεῖν ἐπιχειροῖεν τούς τε νόμους μετασκευάζοντες καὶ τοὺς τῆς πολιτείας θεσμοὺς διαγράφοντες, καὶ ὅλως ὅταν ἡ πόλις εἴς κακόν τι καὶ τούτων ἀπόναιτο, τότε καὶ παῖδες τύραννοι μετὰ πατρὸς τυραννοῦντος πιπτέτωσαν. οἷς γὰρ μετεῖχον τοῦ πονηρεύματος εἰκότως καὶ τοῦ πεσεῖν συμμεθέξουσιν.* 23. *εἰ μὲν οὖν ἔχεις τι καὶ τούτων εἰπεῖν, ὦ κατήγορε, οἷς ὁ ξύμπας δῆμος ἢ καὶ τῶν καθέκαστά τις μόνος ὑφ' οὕτως ἀτελοῦς ἡλικίας τυχὸν περιύβρισται, ἡκέτω μὲν ὁ παθὼν καὶ δεικνύτω*

18 sq. cf. p. 327, 7 sq.

1 *δὲ* post *τοὺς* *MoMu* Re delevi *τούςδε* coni Sintenis 4 *προσπηδῶσι* *Vat* 6 *ἀπολεῖσθαι* Iacobs App Pors 329 Lect, *ποιεῖσθαι* Schul 9 punctum post *γέγραπται* posui, colon *Ma* Sintenis om reliqui libri Re | *τυραννούντων* scripsi e *MaClVat* *τυράννων* *MoMu* Re 10 *ὁπότε* Iacobs Lect Schul | *μετὰ τῶν τεκόντων* scripsi e *MaClVat* *τὰ τῶν πατέρων* *MoMu* Re 11 *ἀδικοῖεν — πατέρων* inserui e *MaClVat* om *MoMu* Re 12 *τυραννούντων*] *τῶν κακούργων* *Vat* 14 *θερμοὺς* *Mo* sed *σ* supra *ρ* Hardt | *ὅτε* Iacobs ll. ll. 15 *εἰς* delendum censet Sintenis 16 *οἷς* vel in *ὡς* mutandum coni Iacobs Lect Schul vel in *οἱ* i. e. *οἳ* Schul at cf. p. 440, 6 et 12; 446, 10; 454, 13 18 *τί* *MaClVatMu* 19 *ὦ*] *ὡς* *Mu* | *οἷς* scripsi *ὡς* libri Re | *ὁ* om *Vat* | *καὶ* om *Ma* 20 *καθ' ἕκαστον*?

τὴν ὕβριν, ὁ δὲ δῆμος οὐ φείσεται· εἰ δ' ὁ μὲν ὁ τὰ τύραννα δράσας ἐκεῖνα καὶ πέπτωκεν, οἱ δ' οὐδὲν ὧν ἐκεῖνος ἐτυράννει σκαιωρούμενος ᾔδεσαν, πῶς οὐκ ἄν, ὦ πρὸς Διός, μὴ καὶ γέλως δοκοίη τὸ ψήφισμα τούτους ἀποκτείνειν οἳ μηδένα τῶν πολιτῶν ἀπεκτόνασιν; 24. εἰ γὰρ διττὸν τρόπον ὑπεύθυνοι γίνονται ἄνθρωποι, ἢ πρὸς πέρας τὸ κακοὶ γενέσθαι φιλονεικήσαντες καὶ τοῖς ἔργοις τὸ τῆς γνώμης ἀπελέγξαντες ἄδικον ἢ μήπω μὲν ἐγχειρήσαντες, δῆλοι δ' ἄλλως ὄντες εἰς τοῦτο γνώμης ἥξοντες, εἰ μὴ μετὰ τῆς ἐπιβουλῆς φθάσει καὶ τὸ σῶμα θᾶττον ἀποκόψας ὁ δῆμος, τούτων δὲ τὸ μὲν οὐδεὶς ἔχει δεικνύναι, τὸ δ' αὐτὸς ὁ χρόνος οὐ μαρτυρεῖ, οὐκ οἶδα ἀντὶ τίνος οἱ παῖδες ἀδικεῖν δικαίως δόξαιεν. 25. ἢ μόνοι τῶν ἁπάντων μηδέν τι πονηρευσάμενοι τὰ τῶν πονηρευσαμένων ὑποίσουσι; πρῶτα λέγε μοι τὸ πονήρευμα καὶ τότε τὸν δήμιον ὅπλιζε. ἆρ' οὖν τινα τῶν πολιτῶν χρήμασιν ἐζημίωσαν ἢ τοῦτο μὲν οὔ, φυγάδα δὲ τῆς πατρίδος ἐξήλασαν; ἢ καὶ τοῦτο μὲν τῆς κακουργίας οὐκ ἔχεις εἰπεῖν, ὀφρὺν δέ τινα κατὰ τῶν δημοτῶν ἀκόλαστον καὶ ὕβριν

2 Soph. OR. 588 cf. p. 452, 7   16 sq. cf. p. 359, 18

1 οὐ μὲν *Mu*   2 καὶ πέπτωκεν] καταπέπτωκεν Iacobs App Pors 329 Schul   3 σκαιωρούμενος scripsi e *VatMu* sed in hoc ς in ι corr σκαιωρούμενοι *MaClMo* Re σκευωρούμενοι coni Iacobs Schul σκευωρούμενος Sintenis at cf. ad p. 325, 15   4 μὴ in αἰσχύνη mutandum coni Iacobs Schul, rectius in χλεύη Philostr. 331 cf. t. VI 31, 11, V 559, 9 | δοκοίη *Ma* sed η del m²   5 ἀποκτόνασιν *MaCl*   7 κακοὶ scripsi e *MaClVat* κακὸν *MoMu* Re   10 φθάσοι *Vat*   12 voce δὲ des *Mu*   14 οἳ *Ma* καὶ *Vat*   15 signum interrogationis posui colon libri Re   16 πρῶ^τ *MaVat* πρῶτον Sintenis at cf. p. 464, 16 | δήμιον scripsi e *MaClVat* δῆμον *Mo* Re   17 τίνα *Ma Vat*   18 ἢ — ἐξήλασαν in marg *Vat* | οὒ *Ma* sed ου in ras m² | φυγάδα *Ma* sed φυ in ras m²   20 δημοτῶν scripsi e *Ma ClVat* πολιτῶν *Mo* Re

ἀσελγῆ καὶ παροινίαν ἐπεγκαλεῖς; ἀλλ' οὔτε τοῦτο οὔτ' ἐκεῖνο παίδων οὔπω καθαρὰν τὴν γλῶτταν ὑποφαινόντων δύναιτ' ἄν τις, οἶμαι, καταμαρτύρασθαι. R IV 806 | ὅπου δὲ τὸ κακουργεῖν οὐχ εὑρίσκεται, καὶ τὸ κολάζεσθαι πέφευγε. 26. τοῦτο οἶδε μὲν ὁ νομοθέτης, οἶδε δὲ καὶ ἡ γενναία μήτηρ αὕτη τῶν παίδων. καὶ ἅτε μηδέν τι τύραννον τετολμηκότων ἡ μήτηρ μετὰ καὶ τῶν νόμων ἐφείσατο. καὶ νῦν οὐχ ὡς ἐκείνου τοῦ πεσόντος παῖδας, ἀλλ' ὡς αὑτῆς ἐξαιτεῖται τὸν δῆμον, ᾧ μηδὲν αἰτησαμένῳ μηδὲ πρὸ τοῦ λιπαρήσαντι αὐθαίρετος τὴν δημοκρατίαν ἀπεχαρίσατο. 27. οἶμαι δ' ὅτι κἂν εἰ μὴ τοῖς νόμοις ἐδέδοκτο, ἀλλὰ τῷ γε δήμῳ πρὸς αἰσχύνης ἂν ἦν τὸ μὴ δοῦναι νόμον ἕνα τῇ πάντας ἀποδεδωκυίᾳ τοὺς νόμους καὶ ταῦτα ὡς οὔποτ' ἄν τις οὐδ' ὄναρ ἤλπισεν. ἀλλ' οὐδ' ἄν, ⟨εἰ⟩ αὐτὴ τοὺς παῖδας ἁρπαζομένους ὁρῶσα ἔφερεν, ὁ δὲ δῆμος οὐκ ᾤκτειρεν, ἀλλ' ἐπέτρεπε τὴν σφαγήν, οὐδ' οὕτως ἂν εἶχε καλῶς ὑμῖν, οἷς τὸ μηδὲν ἔξω δίκης πράττειν ἢ λέγειν ἡ πᾶσα σπουδή, ἄτεκνον ἐπιδεῖν ἀνασχέσθαι τὴν δι' ὑμᾶς ἀπεκτονυῖαν τὸν ἄνδρα καὶ χηρείαν ἐξουσίας προτιμησαμένην παρανόμου διὰ πολιτείαν ἔννομον καὶ βῆμα ἐλεύθερον. 28. ἐπεὶ δὲ νῦν τοῦτο καὶ τῷ νόμῳ δοκοῦν καὶ ὁ νομοθέτης οὑτωσί πως ἀπὸ τοῦ γράμματος διαρρήδην βοᾷ ὡς αἰτείτω μὲν ὁ τυραννίδα καθελὼν ὅ τι καὶ βούλοιτο, ἡ

2 οὔπω] num οὕτω scribendum? 5 et 6 εἶδε *Vat* 6 καὶ (2) om *Vat* 9 αὐτῆς libri Re 10 μὴ δὲ *MaClMo* | πρὸ τοῦ *Ma* sed ὁ τοῦ in ras m² προτοῦ *Mo* Re | ἀνθαίρετος *Cl* 13 πάντας *Ma* sed ας in ras m² 14 ἀποδεδωκυῖα *Ma* 15 εἰ inserui cum Iacobsio Lect et Sinteni om libri Re 20 ἡμᾶς *Vat* 21 χηρείαν *Ma* sed ρει in ras m² | καὶ ante διὰ *Ma* 25 ὅ τι scripsi cum Iacobsio Schul ὅτι libri sed ὄν, τὶ in marg *Mo²*, Re

δὲ πόλις δεχέσθω τὴν αἴτησιν, ὁ δὲ δῆμος ἐπινευέτωσαν, ποῦ ἂν εἴη δίκαιον ἃ μὴ χαρίζεσθαι πρὸς ὀνείδους ἂν ἦν τῇ πόλει, ταῦτα καὶ μετὰ τῶν νόμων ὀκνεῖν ἀποδοῦναι; 29. *οὐδένα τρόπον, οὐδεμίαν ὁδὸν εἰς ἀντίχαριν τοῖς τυραννοκτονοῦσιν ὁ νομοθέτης ἀπέκλεισεν, ἀλλ' αὐτόνομον ἀφῆκε τὴν αἴτησιν καὶ τὴν ἀντιμισθίαν τῇ βουλήσει τῶν αἰτουμένων ἀντιμετρεῖ. αἰτείτω, φησίν, ὁ τύραννον ἀνελὼν ἀγρούς, σῖτον, ἀτέλειαν, χρήματα, κτήματα, ξύμπαν ὅ τι καὶ θέλει. παρὰ τοῦ δήμου λήψεται, ὅ τι καὶ παρ' ἐμοῦ πρότερον τοῖς νόμοις τὴν πολιτείαν κοσμήσαντος. εἰ γὰρ ἐστενοχωρημένην ἔγραφε τὴν ἀντίδοσιν, πάντως ἂν ξυναποστενώσας καὶ τοὺς τυραννοκτονήσοντας ἔλαθεν. ὅθεν κοινῆς δεῆσαν τῆς τυραννοκτονίας κοινὰς καὶ τὰς δωρεὰς ἐπιφιλοτιμεῖται.* 30. *ἀποκτεινέτω, φησί, τὸν τύραννον καὶ παῖς καὶ γυνὴ καὶ πατὴρ ⟨καὶ μήτηρ⟩ καὶ φίλοι καὶ δυσμενεῖς καὶ αὐτόχθονες καὶ | ἐπήλυδες. πάνδημον ἔστω τὸ τρόπαιον,* R IV 807 *ἐπεὶ καὶ τὰ ἆθλα πάνδημα. ὁ βουλόμενος τυραννοκτο-*

---

8 Luc. am. 19 9 cf. p. 213, 16; 381, 18; t. VI 96, 1 sq.; t. IV 692, 25 sq. et 924, 17 R. Chor. tyr. p. 75, 11

---

2 num *ἐπινευέτω*? at cf. p. 472, 12 | *πῶς* Iacobs Lect at cf. p. 461, 1 3 *ὀνείδους* scripsi auctoribus Lobeckio Phryn. 10 et Sinteni *ὄνειδος* libri Re cf. p. 452, 13; 460, 6 | *τῶν νόμων* scripsi auctore Sinteni coll p. 452, 7 *τὸν νόμον* libri Re 4 *οὐδὲ μίαν MaClVat* 5 *νομοθέτης* scripsi e *MaClVat* *νόμος Mo* Re 10 *σύμπαν Ma* | *θέλοι Ma* sed *οι* in ras m^2, *ClVat* | punctum post *θέλει* posui comma *MaVat* Re om *Cl Mo* 11 *ὅ τι* scripsi *ὅτι* libri Re *ἔτι* coni Iacobs Schul | *τοῦ MaCl* 12 *τὴν πολιτείαν* scripsi e *MaClVat* *τοῖς πολιτείας Mo* Re *τὰς πολιτείας* Iacobs | *ἐστενοχωρούμην Ma* 13 *ξυναποστενώσας* scripsi e *ClVat* *συναποστενώσας Ma* sed *ξ* supra *σ* m^2, *Mo* Re 14 *τυραννοκτονήσαντας MaVat* 16 *τὸν* om *Vat* 17 *καὶ μήτηρ* inserui om libri Re

νείτω καὶ δωρεὰν ἐχέτω τὴν βούλησιν. 31. *εἰ δὲ σὺ νῦν ἄνω καὶ κάτω στρέφων τὰς συλλαβὰς πείσεις τὸν δῆμον οὐχ οὕτω φρονεῖν ὡς ἐκεῖνος ἀρχῆθεν ὡρίσατο, ὅρα μὴ πολλοὺς διαγράφειν ἐπιχειρῇς τοῦ καλλίστου τῶν τυραννοκτόνων κύκλου καὶ τὰ τῶν τυράννων καθιστᾷς βεβαιότερα τούτοις οἷς καταβάλλειν μᾶλλον ἐνόμισας.*

32. *Σύ μοι προφέρεις τὸν τύραννον καὶ τὰ ἐκ τῆς τυραννίδος κακὰ καὶ ἕτερ' ἄττα ὁπόσα ἐκεῖθεν ὑπὸ πονηρῷ τῷ σπέρματι πονηρότερον ἀνεφύετο, ἐγὼ δέ σοι τὴν τυραννοκτόνον, τὴν βουλήν, τὸ ξίφος, τὴν χεῖρα, τἄλλα ὁπόσα τῶν ἀγαθῶν ἐντεῦθεν περιχορεύει τὴν πόλιν.* 33. *μᾶλλον μὲν οὖν αὐτὸς ὁ κατήγορος οἷς τὰ τῆς τυραννίδος ἐκτραγῳδεῖς, τούτοις τὰ τῆς τυραννοκτονίας ἐπαύξειν δοκεῖς. οὕτω τοῖς αὐτὸς αὐτοῦ περιτρεπόμενος λέληθας καὶ περιιστὰς εἰς τἀναντία τὴν βούλησιν. εἰ γὰρ οὕτως ἐκεῖνος ἦν τυραννικόν τι χρῆμα καὶ θεοῖς ἀπεχθόμενον καὶ τηλικαῦτα μὲν εἰς αὐτοὺς νόμους ἡμάρτανε, τηλικαῦτα δὲ περὶ τὸν δῆμον*

---

2 cf. t. VI 102, 6 9 sq. Chor. tyr. p. 51, 20 sq.

---

1 *βούλησιν* scripsi e *MaClVat* *αἴτησιν Mo* Re 3 *φρονῶν Vat* 4 *διαγράφειν* scripsi e *MaClVat* *διαγράφον Mo* *διαγράφων* Re 6 *καθιστᾷς βεβαιότερα* scripsi e *Ma* (*καθιστὰς*) *ClVat* *βεβαιότερα καθιστᾷς Mo* Re | *καταβάλειν Ma* 8 *τῆς* om *MaClVat* 9 *ἕτερ' ἄττα* scripsi cum Iacobsio Schul coll t. V 74, 14; IV 252, 9 *ἑτεράττα* libri (*ἑτεράτα Vat*) *ἕτερ' ἄττα* Re 12 *περιχορεύει* scripsi e *MaClVat* ut coni Iacobs Schul *περιχωρεύει Mo* Re 15 punctum post *ἐπαύξειν MoCl*, colon *Ma* Re delevi | punctum post *δοκεῖς* posui e *ClMo* cum Iacobsio Lect Schul colon *Vat* om *Ma* Re | *τοῖς*] *τοι* Iacobs Schul | *αὐτοῦ* libri Re Iacobs 16 *λόγοις* post *περιτρεπόμενος* inserendum coni Iacobs Lect | *περιιστᾶς Mo* *περιιστᾶς MaCl Vat* 18 *ἀπεκτόμενον Mo* | *ἐς Ma*

παροινῶν ἀπηυθαδιάζετο ὡς μηδέν᾽ ἂν ἔχειν εἰπεῖν τὰ παλαμναιότερα, τίνος τῆς τιμῆς, ὁποίας τῆς δωρεᾶς, πηλίκης τῆς αἰτήσεως οὐκ ἂν ἀξία νομίζοιτο ἥ γε τὸν πολὺν ἐκεῖνον γνόφον τῆς δουλείας διέλυσε καὶ δημοκρατίαν ἀντὶ τυραννίδος εἰσῆξε καὶ τὸ κρατεῖν ἀφελομένη τὸν τύραννον τοῦτο τῇ πόλει καὶ τοῖς νόμοις ἀπέδωκε;

34. *Λέγε μοι, πρὸς νόμων αὐτῶν, τὰ τόθ᾽ ὑπὸ τοῦ τυράννου κατὰ νόμων ἐξειργασμένα καὶ ποιοῦ τὰ ἐκείνου δυσσεβήματα τῶν τῆς ἀπεκτονυίας ἀνδραγαθημάτων κατάλογον, ἐγὼ δέ σοι προσεπιθήσω καὶ τὸν τρόπον ὅπως ὁ τύραννος ἔκειτο.*

35. *Ἐτυραννεῖτο μὲν ἡ πόλις, σὺ δ᾽ ὁ νῦν λαμπρὸς τὴν γλῶτταν ἡσύχαζες, ὁ δὲ δῆμος δουλοκρατούμενος οὐκ εἶχεν ὅ τι καὶ χρήσαιτο. δορυφόρους πολλοὺς ἐπὶ κακῷ τῷ τῆς πόλεως ἔτρεφε, πολλῷ δὲ πλείους ἐπὶ τῆς ἀκροπόλεως φυλακὴν περιίστα τῷ σώματι.* 36. *πάντων οὖν ἐπὶ τούτοις δεδιότων καὶ κατεπτηχότων καὶ πάσης ἐπιλελοιπυίας μηχανῆς καὶ μηδεμιᾶς χρηστοτέρας ὑπούσης ἐλπίδος εἶδε τὸ | κακὸν ὁπόσον ἡ φιλόπολις αὕτη καὶ μισοτύραννος, ᾤκτειρε τῆς ἀτυχίας τὸν δῆμον, ἐμίσησε τῆς ἀπονοίας τὸν ἄνδρα καὶ τὸ ἐντεῦθεν ἔργοις τὸ μισεῖν ἐβεβαίωσε. λαμβάνει* R IV 808

2 cf. p. 472, 21

1 num *ἀπηυθαδίζετο*? | *μηδέν᾽ ἂν* scripsi *μὴ δ᾽ ἂν Ma μηδ᾽ ἂν ClVat μηδὲν ἂν Mo* Re *μηδένα* Sintenis 2 *τὰ παλαμναιότερά τινος* Re num *τι παλαμναιότερον*? at cf. p. 462, 16 3 *ἀξία* scripsi e *MaCl* cum Iacobsio Schul *ἄξια VatMo* Re 6 *τοὺς νόμους Vat* 8 *τὰ*] *τῆς MaCl* 9 *νόμον MaCl Vat* | *ἐξειργασμένα Ma* sed *α*(2) add m² 10 *ἐκείνων MaCl* 11 *τὸν* om *Ma* 13 *ἡ πόλις Ma* sed *ἡ π* in ras m² 15 ras 1 litt ante *καὶ Mo* 18 *καὶ* inserui e *Ma* om *ClVat Mo* Re 19 *μὴ δὲ μιᾶς Vat* 20 *ἐλπίδος* in marg *Ma* 21 *ἡ*] *τι Ma* 23 *ἔργω Vat*

τὸ ξίφος, αἴρει τὴν χεῖρα καὶ παραυτίκα ἐκεῖνος μὲν ἔπιπτε, τὰ δὲ τῆς δημοκρατίας ἐπηνωρθοῦτο. ἐκεῖνος μὲν καιρίαν ἐδέχετο πληγήν, ἡμῖν δ' οὐδὲν ὅ τι τῶν ὑπ' ἐκείνου τραυμάτων ὑπῆν ἔτι. 37. καὶ νῦν πολλοὶ περιεστᾶσι τὸν νεκρὸν καὶ οὐ πάντες τῆς αὐτῆς πόλεως, ἀλλ' οἱ μὲν τῆς ἡμετέρας, οἱ δ' ἐξ ἀστυγειτόνων ὄντες, οἱ δ' ἄλλος ἀλλαχόθεν. καὶ πᾶσι θαυμαστόν τι χρῆμα δοκεῖ καὶ πέρα θαύματος, ἄνθρωπος ὁπλίτης, τύραννος, ἀνὴρ ὑπὸ γυναικὸς τὴν ὅλην καταβεβλημένος ἰσχὺν καὶ οὐδὲ ταύτης δυσμενοῦς ᾗ τυχὸν ἐκεῖνος ἐφυβρίζων ἐτρύφα, ἀλλ' ἥν, ὅτε νόμοις ὑπέκυπτε, κατὰ νόμους ἠγάγετο καὶ μετὰ τὴν τῆς δημοκρατίας ἀπόστασιν εἶχεν, ἐφύλαττεν, ἔστεργε. 38. καί τις οὐκ εἰδὼς παρά του τῶν εἰδότων πυνθάνεται ὅτι τοῦτον μέν τοι πονηρὸν ὄντα καὶ τύραννον ὡς μὲν πολλὴν φρουρὰν τοῦ σώματος ἔχοντα, ὡς δὲ πλείους δορυφόρους κατὰ τῶν νόμων τρέφοντα γυνή τις μιᾷ πληγῇ κατήνεγκε καὶ τὴν πολλὴν ἐκείνην δορυφορίαν ἀπήλεγξεν, ἡ δὲ οὕτω τοι φιλόπολις ἦν ὡς ἔχειν τὸ μὲν σῶμα μετὰ τοῦ τυράννου, τὴν δὲ ψυχὴν μετὰ τοῦ δήμου, καὶ μέγα τι δυναμένη καὶ μείζω τῶν νόμων

---

3 Aesch. Ag. 1292. 1343 8 cf. p. 449, 9 12 cf. p. 404, 3

---

2 *ἐπανωρθοῦτο MaCl* 3 *ὅ τι* scripsi *ὅτι MaClVat* *ἔτι Mo* Re *τι* Sintenis 7 *ἄλλος* scripsi e *VatMo* cum Iacobsio Philostr 377 Schul *ἄλλοι MaCl* 9 *τύραννος ἀνὴρ Ma* sed *ς ἀνὴρ* in ras m[2] 11 *ὅτε* reposui e libris sed *ε* ex *ι* corr *Mo*, cum Iacobsio Anth. Pal. III 709 Schul et Sinteni *ὅτι* Re
14 *παρά του τῶν* scripsi e *Mo* sed e *παρὰ τούτων* corr *παρὰ του τῶν Ma* *παρὰ τούτων ClVat* Re *παρὰ τῶν* Iacobs Schul | *πυνθάνεται* inser *Ma*[2] 15 *μέντοι Mo* 17 *τὸν νόμον MaCl* 19 *ἀπήλεγξεν Ma* sed *ήλ* in ras m[2] *ἀπήλλαξεν Vat* | *τι Ma* sed *ι* in ras 2 litt 21 *δήμου* in ras *Ma*[2] | *τί Ma* | *δυναμένη Ma* sed *η* in ras m[2]

ὡς καὶ πάντα τρυφᾶν ὁπόσα καὶ γυνὴ τυραννοῦντος ἀνδρός, ἡ δὲ τὸ μικρὰ μετὰ νόμων δύνασθαι τοῦ πάντα δίχα νόμων ἀνθείλετο καὶ τὸ νόμος εἶναι τοῖς ἄλλοις αὐτὴ πρὸς τῆς Τύχης λαχοῦσα τοῦτο μὲν εὖ ποιοῦσα μετὰ καὶ τἀνδρὸς ἀπεσκευάσατο, ὑπὸ δὲ νόμοις αὐτόβουλος γίνεται. 39. οἱ δὴ ταῦτα λαχόντες καὶ οὕτω κείμενον τὸν τύραννον ἐκπεπληγμένοι νῦν μὲν τῆς εὐμοιρίας τὴν πόλιν ἄγανται καὶ τὴν ἀπὸ γυναικῶν τόλμαν καὶ τῆς εἰς ἄνδρας ἡκούσης ἀνδρείας οὐκ ἀγεννὲς τίθενται ξύμβολον καὶ τοῦ μηδὲν ἂν ἐθέλειν ἔξω νόμων πεπολιτεῦσθαι, εἰ δὲ καὶ πύθοιντο τὴν μὲν ὡς αἰτοίη τοὺς παῖδας, ἡμᾶς δ' ὡς οὐκ ἐπινεύομεν καὶ σμικρολογοῦμεν περὶ τὴν τὰ μεγάλα δεδωκυῖαν ἡμῖν, δέδοικα μὴ τὴν μὲν οὐδὲν ἧττον καὶ πάλιν | θαυμάσονται καὶ γενναίαν ὑπολήψονται, R IV 809 τύχῃ δὲ χρησαμένην ἀγνώμονι, τοὺς δὲ ψηφιζομένους ὑμᾶς, ἀλλ' οὐκ οἶδ' ὅ τι καὶ φαίην, μὰ τοὺς θεούς, εἰ μὴ μετὰ τῆς νῦν ἀγνωμοσύνης καὶ τὴν ἐντεῦθεν ἀδοξίαν εὖ ποιοῦντες προσαναιρήσετε.

40. *Παῖδες τυραννοῦντος ἀνδρὸς μετὰ καὶ*

---

6 Aesch. Sept. 1053 7 Chor. tyr. p. 54, 20

---

2 *ἄνδρα Vat* 4 *εὖ ποιοῦσα* reposui e libris cum Iacobsio App Pors 303 Schul *εὐποιοῦσα* Re 5 *τἀνδρὸς* reposui e libris *τ' ἀνδρὸς* Re 6 *δὲ* Iacobs App. l. l. | *λαχόντες* scripsi e *MaClVat* *λαθόντες Mo* Re *μαθόντες* Iacobs App Schul Sintenis 7 *ἐκπεπληγμένω Mo* 8 *ἄγανται* reposui e libris cum Iacobsio App Pors 329 Schul Sinteni *ἄγονται* Re 9 *ἀνδρίας Vat* 10 *ἀγενὲς Vat* | *ἐθέλειν* reposui e *MaClVat* cum Sinteni Cobeto Coll 302 *ἐθέλη Mo* *ἐθέλῃ* Re 11 *δὴ Ma* | *πύθοιτο Vat* 17 *ὅ τι* scripsi cum Iacobsio Schul *ὅτι* libri Re | *φαίην* scripsi e *MaClVat* cum Sinteni *φαίη Mo* Re | *μὰ Ma* sed *α* in ras m² 19 *προσαναιρήσεται Ma*
20 *τυραννοῦντος MaCl* sed in utroque *ος* ex *ες* corr | *πατρὸς Vat*

τοῦ πατρὸς ὑπὸ τὰς δημίων χεῖρας ἀγέσθων. τοῦτο τὸ γράμμα τὸ σὸν καὶ τῆς τοῦ νομοθέτου γνώμης ἔλυτρον, ὁ δὲ ἐμὸς νόμος τί φησι μάνθανε· τοῖς ἀπεκτονόσιν ἄνδρα τύραννον αἴτησις ἔστω τὸ βούλημα. τίνα τούτων κρατεῖν δικαιότερον; πρὸς τῆς Δίκης αὐτῆς, ὦ ἄνδρες, σκέψασθε. 41. αὐτίκα ὁ μὲν ἐμὸς νόμος μετὰ τοῦ δικαίου πολύ τι καὶ τοῦ ξυμφέροντος ἀποφέρεται, τὰ δὲ γράμματα ταῦτα, τοὐναντίον ἅπαν, ἀδικοῦσι τὰ καίρια. σκοπητέον γὰρ τίνος ἀνέκαθεν τοῖς τε νόμοις καὶ τῷ γεγραφότι τοὺς νόμους ἐμέλησεν. οὐχ ἵνα τὰ μὲν τοῦ δήμου σώζοιτο, τὰ δὲ τῶν τυραννούντων βαλλόμενα πίπτοιεν; 42. οὐκοῦν ὁ μὲν τοὺς παῖδας ἀναιρῶν νόμος ἐπ' ἀδήλῳ τῆς τύχης ὠφελεῖν τι τὴν πόλιν ἔδοξεν, οὐ γὰρ ἂν εὐθὺς ὅσοι τυράννων παῖδες καὶ τύραννοι γίγνοιντο, καὶ τὸ δοκεῖν ὠφελεῖν ἐσάπαξ, οὐ πολλάκις ἀπεκληρώσατο. κἂν μὴ νῦν ὁ τοὺς παῖδας ἀναιρῶν νόμος οὗτος φθάσῃ παρ' ὑμῶν ἀναιρούμενος, ὁρᾶτε μὴ τοῦ λοιποῦ μετὰ τῶν πατέρων καὶ τοὺς παῖδας οὐχ ἕξετε. 43. τίς γὰρ ἂν οὕτω φιλοκίνδυνος ἄνθρωπος εὖ ἔχων νοῦ καὶ φρενῶν ὡς τηλικούτοις μὲν ἐπιτολμᾶν πράγμασι καὶ ὑπὸ μέσα τὰ τῶν δορυφόρων ὠθεῖσθαι ξίφη καὶ τὸν

3 Plat. rep. IV p. 588 E 8 cf. t. I 485, 5 20 sq. cf. p. 345, 15 21 cf. p. 444, 18 22 Chor. tyr. p. 62, 14

1 ἀγέσθων *Ma* sed ν add m² 2 γράμμα *Ma* sed γραμ in ras paulo maiore m² | νομοθέτου scripsi e *MaClVat* λογοθέτου *Mo* Re 5 κρατεῖν inserui e *MaClVat* om *Mo* Re | δικαιότερα coni Sintenis 6 ὁ μὲν] μὲν ὁ μὲν *MaClVat* 7 συμφέροντος *Ma* 10 τοῖς γεγραφόσι *Vat* 12 πίπτοι? at cf. p. 348, 4 sq. | signum interrogationis posui colon *Vat* comma *MaClMo* Re 14 τι om *Ma* | ὅσοι scripsi e *MaClVat* cum Iacobsio Schul ὅσον *Mo* Re 18 ὑμῶν scripsi e *MaCl* cum Sinteni ἡμῶν *VatMo* Re 21 ἐπιτιμᾶν *Vat* | καὶ inserui e *MaClMo* om *Vat* Re

περὶ ψυχῆς τρέχειν καὶ ταῦτα πάντα κινδυνεύειν ἐπ' ἀμφοτέροις ἔχων τὴν αἴτησιν καὶ τὸ μὲν ἑαυτοῦ ἅπαν εἰδὼς ἀκριβῶς ὡς ὅλους ἀποχαριεῖται τοὺς νόμους, τὸ δ', εἰ καὶ τὸν ἐπὶ τούτοις νόμον ἐπικυροῦν οἱ ψηφιζόμενοι μέλλοιεν, τοῦτο δὲ διχογνωμονοίη, δεδιὼς τούτους δὴ τοὺς μετὰ τὸ πεσεῖν τὸν τύραννον γενναίους καὶ ὑπὲρ τὸ δέον μισοτυράννους; 44. *ὑπὸ μὲν οὖν τοῦ σοῦ τούτου γράμματος καὶ δὴ τοσαῦτα μὲν ἡ πόλις καὶ οὕτω σμικρὰ τυχὸν ὠφελήσεται, πολλῷ δὲ πλείω τοῦ δοκοῦντος κέρδους ὑποστήσεται τὴν ζημίαν, ὁ δὲ ἐμὸς νόμος φυλαττόμενος μὲν τήν τε πόλιν φυλάξει τούς τε τυραννοῦντας ⟨ἐν⟩ δέει τοῦ πεσεῖν ὑφ' ὅτου καὶ τύχοι τηρήσει, | ἀναιρούμενος δὲ μετὰ τῶν* R IV 810 *ἀναιρούντων παραχρῆμα κείσεται.* 45. *τὸ γὰρ τοῦτον μὴ παρ' ἡμῖν ἑστάναι πολιτευόμενον ἴσον καὶ τὸ δορυφορεῖν τοῖς τυράννοις τὰ σώματα. ὡς νῦν μὲν ἐγγύθεν οἱ σφαγεῖς ἐφεστᾶσι καὶ πάντες ὑποπτεύουσι τύραννοι, μήπου τινὰ καὶ τῶν ἀδοκήτων τοῖς ῥήμασι τούτοις ὁ νομοθέτης ἐπάρας ἐπὶ τὸ τυραννοκτονεῖν ὥπλισεν· εἰ δὲ τὸ ἀπὸ τοῦδε τὸ γράμμα τοῦτο τῆς λοιπῆς νομοθεσίας ἀποξέσαι τολμήσει τις, οὗτος, εὖ*

---

1 cf. ad p. 245, 14. Plat. Theaet. p. 172 E. Her. IX 37, 1. Aristid. pro IV viris t. II 340, 18 Dind. Il. χ 161 2 cf. p. 465, 16

---

1 *ψυχῶν Vat* | *ἐπαμφοτέροις Cl* 2 *αἵρεσιν* Sintenis 3 *τὸ δ', εἰ* reposui e *MaCl* cum Iacobsio Anth. Pal. III 276 App Pors Adv 293 Schul et Sinteni *τόδ' εἰ Vat* *τὸ δεῖ Mo* Re 6 *γενναίως Vat* 12 *ἐν* inserui om libri Re 13 *τύχοιεν* Cobet Misc 141 at cf. p. 343, 12 et ad t. VI 514, 8 14 *παραχρῆμα* om *Vat* | *τοῦτον* scripsi e *MaCl* *τοῦτο Vat* Sintenis *τούτον Mo* Re 15 *πολιτευόμενον Ma* sed *πο* in ras m² | *ἶσον MaClVat* 19 *νομοθέτης Ma* sed *νομοθέ* in ras m² 20 *δὲ Ma* sed *ε* in ras m² | *ἀποτοῦδε Ma* 21 *ἀποξέσαν Vat* | *τολμῇ* (σ supra) *Ma* | *τίς MaMo*

ἴστω, καὶ τὴν τυραννοκτονίαν τῆς πόλεως προσαπέξεσε καὶ μετὰ τοῦ τυραννοκτόνου καὶ τὸ ἐλευθέριον προσαφείλετο. τὸν γὰρ πρὸ τοῦ ταῖς τῶν τυραννούντων ψυχαῖς ἐγκαθήμενον φόβον οὐ δεόντως ἐξέκρουσε.

46. *Χωρὶς δὲ τούτων, εἰ καὶ μηδὲν οὗτος ὁ νόμος ὠφελήσειν ἔμελλε συντηρούμενος, ἀλλά γε τὸ πρὸς τρόπου τοῦτον μὲν εἶναι τῇ πόλει, τὸν ἕτερον δὲ σκαιὸν καὶ ὠμὸν τὴν γνώμην μέγα τί μοι πρὸς πειθὼ καταφαίνεται τοῦτον μὲν σώζεσθαι, τὸν δ' ἔχειν προσήκειν τὰ δεύτερα. ὁρᾶτε γὰρ ὅπως ὁ μὲν ἤπιός ἐστι καὶ νόμων ἁπάντων φιλανθρωπότατος καὶ τῇ μητρὶ τοὺς παῖδας ἀντιχαρίζεται, δι' ἧς αἱ λοιπαὶ τῶν μητέρων οὐκ ἐφ' ὕβρει τὰ τέκνα τρέφουσι, καὶ τὴν χεῖρα παρασαλεύειν οὐ βούλεται, δι' ἧς ὁ τοὺς νόμους παρασαλεύσας οἴχεται τύραννος, ἅτερος δὲ τὸ ξίφος ἐπιθήγει, τὸν δήμιον ἐφοπλίζει καὶ θύειν τοὺς παῖδας ἐπιχειρεῖ, παῖδας νηπίους, ἁπαλὸν κλαυθμυρίζοντας καὶ μέσης ἀφαρπάζειν ἐθέλει μητρικῆς ἀγκάλης ἢ μέσων τῶν τυράννου χειρῶν ἀφαρπάσασα τῇ πόλει τὴν ἐλευ-*

---

4 Polyb. II 23, 7 11 cf. p. 363, 18 13 sq. Phil. de Ios. § 34 t. II 69, 52 M. (IV 104, 11 Cohn)

---

1 *τὴν* om *Vat* 3 *προτοῦ MaMo* Re | *τυράννων Ma* 7 *τρόπου τοῦτον μὲν* scripsi e *MaClVat* cum Iacobsio Ach T 998 Anth. Pal. III 206 App Pors 292 et 329 Schul *τρόπον τοῦτον μὴ Mo* Re *τρόπου τοῦτον μὴ* Sintenis | *τὸν* del Iacobs Anth App 8 *τῇ γνώμῃ Ma* | *μοι* om *Ma* 9 *προσήκει Vat*
10 *ὁ μὲν ἤπιός* scripsi e *MaClVat* cum Iacobsio ll. ll. *μὲν νήπιος Mo* Re *μὲν ἤπιος* Sintenis et Cobetus Coll 302
13 *τρέφουσι* scripsi e *MaClVat* cum Iacobsio Anth. Pal. III 477 Schul *στρέφουσι Mo* Re *θρέψουσι* Sintenis | *τὴν χεῖρα* scripsi *τῆς χειρὸς* libri Re 14 *παρεκσαλεύειν* Iacobs Schul
16 *δῆμον Ma* | *ἐφοπλίζειν Ma* 17 *κλαυθμηρίζοντας MaClVat*
18 *ἢ* scripsi e *MaCl* cum Sinteni *ἡ VatMo* Re | *μέσον Ma Cl* 19 *τυράννων Ma*

θερίαν ἀπέδωκεν. 47. *ἔπειτα ποῦ δίκαιον καὶ τῆς ὑμῶν φιλανθρωπίας ἄξιον ὑμᾶς μὲν χαίρειν ἐφ' οἷς ὁ κατάρατος πέπτωκε, τὴν δὲ τὸ χαίρειν ὑμῖν ἀποδεδωκυῖαν ἐπὶ στυγνοτέρας καθῆσθαι τῆς τύχης, καὶ ὑμᾶς μὲν ταῦτα δὴ τὰ τῶν εὐθυμουμένων ἐν δημοθοινίαις ἄγειν καὶ ἱεροῖς ἐπιβωμίοις καὶ θεῶν ἑορταῖς, ταυτηνὶ δὲ δυσθύμως ἔχειν καὶ τὰ μὲν ἀλγεῖν, τὰ δ' ὑμᾶς ὡς ἀγνώμονας αἰτιᾶσθαι;*

48. *Εἰ δή τις ἐπὶ τοιούτοις ὅ τι δὴ τὸ αἴτιον πύθοιτο, ἡ δὲ φαίη μέν, ὅπως δι' ὑμᾶς ἠφείδησε τοῦ ἀνδρὸς καὶ πέρα γυναικείας ἠνδρίσατο φύσεως, εἶθ' ὡς ᾐτήσατο μὲν αὐτὴ τοὺς | παῖδας, ὑμεῖς δ' οὐκ* R IV 811 *ἐπέδοτε, καὶ νῦν αὐτὴ μὲν τὴν ἐπ' ἀμφοῖν ἐρημίαν ὀδύρεται, ὑμεῖς δ' εὐθυμεῖτε καὶ σπένδετε τὴν ἐκείνου καθαίρεσιν ὡς ἂν ἡγούμενοι πάντων ἀνόρθωσιν, τίνας ἂν ἐπὶ τούτοις ἐκεῖνον ἀφεῖναι δοκεῖτε τὰς φωνάς;*

49. *Διὰ ταύτην οὖν, φησί, νόμον εὖ ἔχοντα*

---

5 Luc. Phal. I 3; Dem. laud. 16 16 Chor. tyr. p. 65, 13

---

1 *ποῦ* scripsi e *MaClVat* cum Iacobsio Schul *τοῦ Mo τὸ* Re *πῶς* Iacobs Lect at cf. p. 453, 2 2 *ὑμῶν* scripsi e *Vat Mo* cum Iacobsio Schul *ἡμῶν MaCl* Re 3 *ἡμῖν MaCl* 4 *ἡμᾶς MaClVat* 5 *εὐθυμουμένων* scripsi e *MaClVat* cum Iacobsio Schul et Sinteni *εὐθ^{υμ}ηνουμένων Mo εὐθυμνουμένων* Re 10 *ἡμᾶς MaCl* 11 *εἰθ Mo* Re 12 *ἠ,τήσατο Mo* sed *ᾐτ* corr m² | *ὑμεῖς* scripsi e *MaClVat* cum Iacobsio Schul et Sinteni *ὑμᾶς Mo* Re 13 *ἐπ'* scripsi e *MaClVat ἀπ' Mo* Re | *ἀμφοῖν Ma* sed *ι* in ras m² 14 *εὐθυμεῖσθε* Sintenis | *σπένδετε* scripsi e *MaCl* cum Iacobsio Anth. Pal. III 668 App Pors Adv 298 Schul *σπ^{εὐ}ένδετε Mo σπεύδετε Vat* Re 16 *δοκεῖτε* scripsi e *Vat* cum Sinteni *δοκῆτε MaClMo* Re | *τὰς* om *Vat*

λύσομεν; καὶ μάλα δικαίως, ὅτι καὶ δι' ἡμᾶς αὕτη πολλῷ πρότερον οὐ παρεγγράπτους νόμους, ἀλλ' ἰσχυροὺς τῷ ὄντι καὶ νόμους οὓς οὐχ ὁ δεῖνα ἢ ὁ δεῖνα τῶν πολιτῶν, ἀλλ' ἡ φύσις αὐτὴ κατὰ μέσης ἐνεκόλαψε τῆς ψυχῆς. 50. καὶ παῖδας τυράννου πατρὸς ἐφ' ἑτέρᾳ τυραννίδι διαφυλάξομεν; τί δ' αὐτίκα τυραννήσουσι; τί δ' αὐτίκα περιεργάσονται τὴν ἀκρόπολιν; πόσοι δημοτικῶν παῖδες κατὰ δημοκρατίας ὡπλίσαντο, πόσοι χρηστῶν πατέρων ὄντες αὐτοὶ τοὺς τρόπους πεφήνασι χείριστοι. εἰ δὲ τοῦτο δίδως, καὶ θάτερον προσεπέδωκας, ὡς ἔσονται καὶ τυράννου πατρὸς παῖδες δημοτικώτεροι. 51. μή μοι τὸν νόμον ἐς τὸ παντελὲς ἀφαίρει τοῦ πολιτεύεσθαι. ἀλλ' ὁπηνίκα μήτηρ αἰτεῖται τοὺς παῖδας, περίσωζε καὶ καινόν τινα τρόπον καὶ γυναῖκας κατ' ἀνδρῶν τυράννων ὅπλιζε. τοῦτο ἐκείνους μὲν φοβήσει, τὰς δ' οὐ τὰ μέτρια πρὸς τὴν τόλμαν ἐφέλξεται, εἰ καὶ τούτων πεπτωκότων ἀλλ' οὐ τούς γε παῖδας προσαπολέσουσιν. εἰ δ' οὐ μήτηρ, οὐ πατήρ, οὐκ ἄλλος τις τῶν ἐκ γένους, τὸ τηνικαῦτα τὸ πᾶν τῆς ἰσχύος ὁ νόμος ἐχέτω

2 cf. ad t. VI 163, 15 9 Od. β 276 sq. 20 Plat. Alc. II p. 150 E

1 signum interrogationis posui e *Ma* et *Par 3017* cum Iacobsio App Pors 298 Schul Bastio Comm. pal. (Greg. Cor. 804) Cobeto Coll 119 comma *Cl* om *VatMo* Re | δὲ ante καὶ *Mo* Re delevi λύσομεν δή. Sintenis λύσομεν δὲ (sive δὴ) καὶ Iacobs ll. ll. | καὶ δι' ἡμᾶς αὕτη scripsi e *MaClVat* δι' ἡμᾶς αὐτὴ *Mo* Re 3 καὶ] κατέλυσε Iacobs App Pors, ἔλυσε Schul 6 ἑκατέρᾳ *Ma* 8 δημοτικῶν scripsi e *MaClVat* δημοκρατούμενοι *Mo* Re 9 αὐτοὶ inserui e libris cum Iacobsio Schul om Re 10 δὴ *Ma* 11 προσαπέδωκας *Ma* 12 ἐστοπαντελὲς *Mo* 14 παῖδας *Ma* sed αι in ras m² 16 ὥπλιζε *Ma* | τάς δ' *Ma* 17 τὸ *Vat* | εἰ om *Vat* 19 τίς *Ma* 20 τὸ τηνικαῦτα scripsi τοτηνικαῦτα *MaVatMo* Re τὸ τηνικαῦ *Cl*

σοι. τὸ γὰρ τοῦ γένους ἀλλότριον ὕποπτον ποιεῖται τὴν αἵρεσιν.

52. Ἡδέως δ' ἂν ἐροίμην, ὦ ἄνδρες, τουτονὶ τὸν τοὺς νόμους κομψόν, ὅτου χάριν οἱ παῖδες ταυτηνὶ δώσουσι τὴν δίκην. εἰ μὲν ὧν παρανομοῦντες ἔπραττον, αὐτὸς ἔλεγχε καὶ τὸ παθεῖν ὑπολείπεται· εἰ δ' ὡς πατρὸς ἐκφύντες τυράννου, διὰ τί μὴ μᾶλλον ὡς τυραννοκτόνου μητρὸς δικαιότερον περισώζοιντο; 53. ἔα μοι τὸν τύραννον, ἐπὶ τὴν τυραννοκτόνον μετάβηθι καὶ πρὸς ταύτην ἀφορῶν τὸν νόμον τουτονὶ τὸν σὸν ὑπανάγνωθι δήμιον καὶ γνοίης ἂν ὡς ἐπὶ κενοῖς ἐνταῦθά σοι τὸ ξίφος προβάλλεται. εἰ μὲν οὖν τῶν τοῦ πατρὸς κακῶν εἰσέτι που καὶ νῦν μεμνημένος ἐπὶ τοὺς παῖδας ἄγεις τὴν τιμωρίαν, ὅρα καὶ τὰ τῆς μητρὸς ἀριστεύματα καὶ τὸ πολὺ τοῦ θυμοῦ | R IV 812 κατασβέσεις ἐκεῖθεν· εἰ δ' ἐπὶ τοῖς τῆς μητρὸς καλοῖς οὐ φυλάττεις τὸ εὔγνωμον, μηδ' ὧν ὁ πατὴρ ἐτόλμα κακῶς ἐπὶ τοὺς παῖδας τὴν αἰτίαν μετάφερε. 54. εἰ δὲ δεῖ τι καὶ δριμύτερον εἰπεῖν πρὸς ἀλήθειαν, πόθεν οὗτοι τυράννου πατρὸς οἱ μηδ' αὐτὸ τοῦτ' εἰδότες, ὅ τι καὶ τύραννος; οὔποτε κακὸν οὐδὲν αὐτόματον ἡ φύσις ἐνέσπειρεν, ἀλλ' ἔστι τά γε πλείω τῶν τοιῶνδε

3 cf. p. 341, 17; t. V 56, 7. [Dem.] Steph. II p. 1137, 7; prooem. 35 p. 1444, 23 11 cf. p. 362, 3

4 *κομψεύοντα* sive potius *κομψευόμενον* coni Iacobs Lect at cf. t. IV 428, 5 *τοῖς τὰ μετέωρα φροντισταῖς* 5 *δίδοασι Ma* *δίδωσι Cl* 6 *αὐτοὺς* Iacobs Lect Schul 7 *διατί Ma* *διά* (τ superscr.) *Cl* 11 *δήμιον* ut glossema ad 12 *τὸ ξίφος* delendum? 12 *τὸ ξίφος ἐνταυθοῖ σοι Ma* 14 *τῆς* om *Vat* 16 *κατασβέσεις Ma* sed *σεις* in ras m² 17 *μὴ δ' Ma* 18 *εἰ δὲ*] *καὶ Vat* 20 *μὴ δ'* libri Re | *τοῦτ'* scripsi e *Vat* cum Sinteni *τοῦ τ' MaClMo* Re 21 *ὅ τι* scripsi *ὅτι* libri Re | *τύραννοι Vat* 22 *ἐνέσπειρεν Ma* sed *ενεσ* in ras m² *ἀνέσπειρεν Cl* | *τοιούτων Ma* sed *γρ τοιῶνδε* in marg

μαθημάτων ἐπὶ ψυχῆς ἐντύπωσις, ἐφ' οἷς καὶ διδάσκαλοι ψυχῶν πατέρες νομίζονται. 55. καὶ ὥσπερ ἐπ' ἐκείνων, ὑγιεινὸς μὲν εἰ τύχοι πατήρ, ὑγιεινὸν σῶμα προσεπέφυσε τῷ παιδὶ καὶ καλὸς ἕτερος αὖθις ἐμόρφωσε τὴν ὄψιν ἐς κάλλος, νοσερὸς δὲ τοὐναντίον ἢ καὶ δυσπρόσωπος τοιαύτην ἐνέθηκε τὴν φύσιν ἢ τὴν μορφὴν ἐτυπώσατο, οὕτω δὴ κἀνταῦθα γνώμην ἀγαθὴν σοφός τις παιδαγωγήσας ἐνέφυσε καί τις, κἂν μὴ τὸ καλὸν εἶχε πάτριον, ἀλλ' ὑφ' ἑτέρου μαθὼν ἐπησκήσατο. 56. εἰ μὲν οὖν ὑπὸ τῷ καταράτῳ ἐκείνῳ τραφέντες εἰς τόδε τῆς ἡλικίας ἀνέδραμον, ἦν ὡς τὰ πολλὰ τῶν ἐκείνου τυραννικῶν ἀπομαξαμένους ἀποκτείνειν οὐκ ἄλογον· νῦν δ' ὁ μὲν ἐπ' ἄλλοις εἶχε τὸ πολὺ τῆς φροντίδος καὶ τοὺς δορυφόρους τὰ βαρύτατα κακουργεῖν ἐξεπαίδευε, τούτους δὲ ἡ γενναιοτάτη πασῶν αὕτη γυναικῶν πρῶτα μὲν ἀνῆκε τῆς γαστρὸς ὑπὸ μυρίαις ὠδῖσι βαλλομένη, ἔπειτα τεκοῦσα τὴν μισοτύραννον θηλὴν ὑπανέτεινε καὶ τυραννοκτόνου γάλακτος ἔγευσε καὶ χερσὶν ἀνείλετο καθελούσαις τὸν τύραννον, ὥστ', εἰ δεῖ τι καὶ τῶν τεκόντων φύσει τοὺς παῖδας ἐναποφέρεσθαι, ταύτης ἂν εἶεν παῖδες καὶ τὸν τρόπον ὁμοῦ καὶ τὴν γένεσιν κἄν που τυραννοῦντά

1 Quintil. inst. II 9, 1 10 Chor. tyr. p. 61, 3

2 *ψυχῶν πατέρες* scripsi e *MaClVat* cum Iacobsio Lect Schul *ψυχαὶ πατέρων Mo* Re 4 *προσεπέφυσε* scripsi e *Ma ClVat* *προσέφυσε Mo* Re 6 *δυσπρόσωπος* scripsi e *MaCl Vat* cum Sinteni *δύστροπος Mo* Re | *ἐνέθηκε* scripsi cum Sinteni *ἐντέθεικε* libri Re | *φύσιν* scripsi *ἰσχὺν* libri Re | *ἢ* — 7 *ἐτυπώσατο* delenda censet Iacobsius Schul 9 *ὑφετέρου Cl Mo* 11 *ἐς MaCl* 17 *τὴν* om *Vat* 18 *θηλὴν* scripsi e *MaClVat* cum Iacobsio Anth. Pal. III 563 App Pors 329 Schul et Sinteni *θηλὺν Mo* *θῆλυν* Re 20 *τοὺς* inserui e *MaCl Vat* om *Mo* Re

τινα μάθοιεν, ἴσως τὴν μητέρα ζηλώσουσι. 57. διὰ ταῦτα μόνης ἐγὼ τῆς γενναίας ταύτης τοὺς παῖδας τίθεμαι. ἀπὸ τούτων τυραννοκτόνους ἕξειν τὴν πόλιν, οὐ τυράννους μαντεύομαι. ὁρῶ τὴν θρεψαμένην καὶ χρηστοὺς ἔσεσθαι τοὺς παῖδας στοχάζομαι. ἐντεῦθεν ἔχεις καὶ σὺ φυλάξαι τὸν τυράννοις ἀγριαίνοντα νόμον κἀμοὶ τὸν τοὺς παῖδας χαριζόμενον τῇ μητρὶ μὴ καταπροέσθαι περίεστιν. οὐκ εἰσὶ τυράννου πατρὸς καὶ τὸ γράμμα τὸ σὸν ἐκπεφεύγασι. τυραννοκτόνον αὐχοῦσι μητέρα καὶ τῇ μητρὶ παραψυχὴν | ὁ δῆμος ἀπέ- R IV 813
λιπε. 58. τούτους εἰς δωρεὰν αὐτὴ μὲν ᾔτησεν, ἡ δὲ πόλις ψηφίζεται. δεῖ γὰρ τὴν θρεψαμένην εὐεργετεῖν, ὅπως ἄρα καὶ δύναιτό τις. εἶτα καὶ δωρεὰν αἰτεῖ ἣ καὶ τὴν πόλιν οὐ λυπήσει καὶ τὸν αἰτούμενον εὐφρανεῖ. οὔθ' ὁ τῆς εὐεργεσίας οὔθ' ὁ τῆς ἀντιδόσεως ἐστενοχώρηται τρόπος, ἀλλ' ἐπ' ἀμφοῖν καὶ δρᾶσαι καὶ παθεῖν τὸ βούλημα γίγνεται. τί γοῦν δεινόν, ὦ πρὸς τῆς Δίκης αὐτῆς, εἰ δι' ἡμᾶς καθελοῦσα τὸν ἄνδρα τοὺς μηδὲν ἠδικηκότας παῖδας βούλεται περισώζειν;

8 Et. M. s. v. *καταπροέσθαι* p. 495, 38 16 cf. p. 453, 12 | cf. p. 459, 1 sq. 18 cf. p. 358, 1; 458, 5

4 *ὁρῶ* — 5 *στοχάζομαι* in marg *Mo*² | *ὁρῶν* Sintenis 6 *ἔχεις* scripsi e *Ma Vat* *ἕξεις* *Cl Mo* Re 9 *αὐχοῦσι* scripsi e *Ma Cl Vat* coll p. 466, 12 cum Iacobsio Ach T 836 Schul *οὐχ οὖσι* *Mo* *οὐκ οὖσι* Re *ἔχουσι* Iacobs Anth App Pors ll. ll. et Sintenis 10 *παρὰ ψυχὴν* *Cl* 12 *δεῖ* — 13 *τις* praemissis verbis *τῆς μελέτης ἐν ᾗ τυράννου πεσόντος ὑπὸ τῆς γυναικὸς ἀγωνίζεταί τις διὰ τὴν μητέρα σῶσαι τοὺς παῖδας τοῦ νόμου κτείνειν κελεύοντος* citat Macarius Chrysocephalus fol. 80ᵛ (ed. Villois. Anecd. II 12, e quo repetivit Reiskia Lib. t. I p. XXVI) | *γὰρ* om Macar 13 *δύναιτο τίς* *Ma Cl* | *αἰτεῖ* scripsi e *Ma Cl Vat* *αἰτεῖν* *Mo* Re | *ἥτις* *Ma* 14 *καὶ*(1) om *Vat* | *εὐφράναι* *Vat* 16 *τόπος* Markowski | *ἐπαμφοῖν* *Vat* | *δράσαι* *Vat* 17 *γίνεται* *Mo* Re 18 *ἡμᾶς* scripsi e *Ma Cl Vat* *ὑμᾶς* *Mo* Re 19 *ἄνδρας* *Ma Cl* sed in hoc *γρ παῖδας* in marg

59. *Ἀλλ' ἐνταῦθα τὸ μὲν αἰτεῖν ὁ κατήγορος δίδωσι, τὸν δὲ τρόπον τῆς αἰτήσεως αἰτιᾶται. καινὰ γάρ φησιν αἰτεῖ καὶ ἃ λαβεῖν ἔξεστιν ὑπερβᾶσα ἃ μὴ δέδωκε νόμος βιάζεται. ἐγὼ δὲ καινὰ μὲν αἰτουμένην οἶδα καὶ αὐτός, ἀλλ' ἐπὶ καινοῖς τοῖς πεπραγμένοις, ἀλλ' ἐφ' οἷς οὔπω μέχρι καὶ νῦν ἡ πόλις ἐκόμπασεν. ἢ γὰρ ἔχεις αὐτὸς παρελθὼν εἰπεῖν μοι τοῦ καινοῦ τούτου δράματος πολλὰ παραδείγματα ἀπὸ τῆς ἡμετέρας; ἀλλ' ἀπὸ τῶν ἀστυγειτόνων; ἀλλ' ἀπὸ τῆς Ἑλλάδος; ἀλλ' ἀπὸ τῆς βαρβάρου;* 60. *καίτοι τίς οὐκ οἶδεν ὡς, ὁπότε τυραννοίη τις, δευτέραν δορυφορίαν τὴν συνοικοῦσαν αὐχεῖ καὶ πολλῷ μείζω τῆς ἔξωθεν τῆς τῶν σωματοφυλακούντων, κἂν δορυφόρος τι πρὸς ὀργὴν ὑπέγρυξεν, ἡ δὲ προεμήνυσε, κἂν δοῦλός τι πρὸς ἐπιβουλὴν ὑπετονθόρισεν, ἡ δὲ προεσήμηνε, κἂν ἐγγενής, κἂν πρόσοικος, τῇ δὲ πρὸς τὸ οὖς ἐνέπεσεν, εὐθὺς ὁ τύραννος ᾔσθετο;* 61. *ἀλλὰ τούτων οὐδὲν ἡ τυραννοκτόνος αὕτη προσήκατο, ἀλλ' ἅμα τε τῆς πόλεως τὴν δημοκρατίαν ἐκεῖνος καὶ τοῦτον αὕτη κακὸν κακῶς τῆς ἀκροπόλεως ὡς ἄγος ἀπέρριψε. και-*

---

10 cf. p. 339, 7 11 sq. Chor. tyr. p. 64, 5 sq. 15 Luc. merc. cond. 26; Hermot. 1; bis acc. 4. Ammon. differ. p. 144 ed. Ammon

---

2 *ἐρωτήσεως Cl* 5 *ἐπικαινοῖς Cl* 7 *ἐκόμπευσεν VatMo* sed in hoc *α* supra *ευ* | *ἣ Mo* Re 8 *εἰ μὴ* vel *εἰ καὶ μὴ* post *παραδείγματα* excidisse coni Iacobs Lect Schul 9 signum interrogationis posui post *ἡμετέρας*, comma libri Re | *ἀλλ'* (1) inser *Ma*[2] 12 *μεῖζον Vat* 13 *δορυφόροις Vat* 14 *ὑπέγρυζεν Ma* sed *ζ* in *ξ* corr, *ClVat* | *προσεμήννυσε Ma* sed *σ* (1) eras 15 *ὑπετονθύρισεν MaVat* | *προεσήμανε MaVat προεσήμαινε Cl προεσήμηνε* Re 16 *τῇ δὲ* scripsi e *MaClVat* cum Iacobsio Schul *τῇδε Mo* Re 19 *αὕτη* scripsi *αὐτὴ* libri Re 20 *ἄγος* reposui e libris cum Iacobsio Schul *ἄγος* Re | *ἀπέρριψεν Ma*

νότατα γοῦν ἐπιβαλοῦσα τοῖς πράγμασιν εἰκότως καὶ καινοτέραν ποιεῖται τὴν αἴτησιν. εἰ γὰρ τοῦτο νόμος ἀπείργει τυχὸν ὁ τῆσδε τῆς πόλεως, κἀκεῖνο νόμος οὐ μιᾶς πόλεως, ἀλλὰ τῆς ὅλης διεκώλυε φύσεως. ἀλλ᾽ ὅμως τὸν κοινὸν τοῦτον ἀπετρέπετο νόμον, ἵν᾽ ἡ πόλις ἔχῃ τὸν οἰκεῖον κόσμον τοῦ πολιτεύματος καὶ μετὰ τῶν ἄλλων ἐπὶ τοῦ βήματος καὶ σὺ προσυπαναπτύσσῃς τὰ γράμματα. 62. *ἔπειτα μέντοι καὶ καινὸν οὐδὲν εἰ παίδων ἀκούσασα μήτηρ οὐδέν τι πρὸ τῶν παίδων | τίθεται. τοὐναντίον μὲν οὖν, εἰ μήτηρ οὖσα μὴ* R IV 814 *τοὺς παῖδας εἰς δωρεὰν ἐξῃτεῖτο, θαῦμα ἄν τις ἐποιεῖτο τὸ πρᾶγμα καί πού τι καὶ ὑπώπτευσε κατὰ τῆς μητρός. νῦν δ᾽ ἅμ᾽ ἀνύποπτος ἡ τυραννοκτόνος αὕτη καὶ φιλόπολις ἀκριβῶς καὶ τὰ τῆς δωρεᾶς ἀκραιφνῆ. παῖδας αἰτεῖ μήτηρ οὓς ὤδινεν, οὓς ἀπεγαλάκτισεν, οὓς ἔθρεψεν, οὓς ἐπαίδευσε καὶ τελευταῖον τοῦτο δὴ τὸ τῶν ὡς ἀληθῶς μητέρων, ἐφ᾽ οἷς καὶ μόνοις τὰς ὅλας ἐλπίδας ἐσάλευε.* 63. *καὶ σὺ νῦν οὐκ αἰσχύνῃ καινὸν τοῦτο νομίζων, ὦ πρὸς τῆς Φύσεως αὐτῆς; ὁρᾷς καὶ τῶν θηρῶν τοὺς ἀγρίους ὅπως τῶν τέκνων*

---

1 Plut. Cic. 4, 3   18 Chor. Marc. I p. 94, 19 ed. Boiss. qui alios locos collegit Add. p. 326   19 cf. ad t. V 318, 5; VI 27, 7; t. IV 677, 7 R. Pfister N. Jahrbb. f. class. Alt. 1911 I 520 sq.   20 cf. p. 412, 20; V 444, 17; t. IV 751, 22 R. Chor. tyr. p. 67, 13 sq.

---

5 *νόμος Vat*   6 *ἔχοι MaClVat*   7 *προσυπαναπτύσσῃς* scripsi e *Ma* sed *υ*(2) ex *η* corr m², *ClVat* cum Iacobsio Lect Schul *προσυπαναπτύσσεις Mo* Re   8 *καὶ* om *Ma*   10 *εἰ* scripsi e *MaClVat* cum Iacobsio Schul et Sinteni *ἢ Mo* Re   11 *ἐζητεῖτο Vat*   13 *ἅμ᾽* scripsi cum Sinteni *ἀλλ᾽ Ma VatMo* Re *ἀλλὰ Cl* | *ἡ* om *MaCl*   15 *ἀπεγαλά τισεν Ma* cum ras 1 litt post *α*   16 *ἐπαίδευσεν Ma*   17 *ὡς* om *Vat* | *μητρὸς Vat*   18 *ὅλας* inserui e *MaClVat* om *Mo* Re | *ἐσάλευε* inser *Mo*² *ἐσάλευεν Ma*   19 *Φύσεως* scripsi coll ll. ll. et p. 458, 5; 465, 18 *φύσεως* libri Re

προκινδυνεύειν ἐθέλουσι καὶ τὸ ζῆν ἀπολέγονται, ἵν' ἐκείνοις τοῦτ' αὐτὸ περιλίποιτο; καινὸν οὖν, ὦ θεοί, καινόν, εἰ ἃ καὶ τῶν ἀλόγων ἔχει τις ἐπαινεῖν, ταῦτα καὶ μήτηρ ἄνθρωπος βούλεται καὶ τῶν παίδων ἄγει πάντα δεύτερα, ὑπὲρ ὧν καὶ τἄλλα πάντα τεχνάζεται; 64. *κἂν ψήφισμα τοιοῦτον ἐπ' ἐκκλησίας ἤκουσεν ὡς εἰ μέλλει μὴ τοὺς παῖδας κατὰ γῆς ἐρριμμένους ἰδεῖν, αὐτὴ τεθνάτω πρότερον, οὐκ ἂν εὐθὺς ἐπὶ τὸ ξίφος ὥρμησεν; ὅπου δὲ καὶ νομοθέτης ἐφῆκεν αἰτεῖν ὅ τι καὶ θέλοι τις, ἐνταῦθα τί τῶν ἄλλων παραδραμοῦσα τοὺς παῖδας αἰτήσεται;* 65. *εἰ δὲ καὶ τῆς πολιτείας ἔτι παραλελυμένης κρύφα τῆς ἀκροπόλεως κατιοῦσα τὸν νόμον ἐζήτει τοῦτον ἀνῃρῆσθαι παρ' ὑμῶν, ἵνα καὶ παρ' αὐτῆς ὁ τύραννος πεσεῖται, τί φής; ἆρ' οὐκ ἂν ἔδωκας; ἆρ' οὐκ ἂν ὑφήρπασας ὡς ἕρμαιον τὸν λόγον; εἶθ' ἃ πρινὴ γενέσθαι παρεῖχες ἂν ἑτοίμως, ταῦτα ἔχων οὐ δώσεις, ἀλλ' ἐφέξεις τὴν*

---

1 Plut. comm. not. p. 1060 D 7 Chor. tyr. p. 66, 11

---

1 *ἐθέλουσιν Mo* sed *ν* eras *ἐθέλωσι Vat* 2 *περιλε(ί)ίποιτο Vat* | signum interrogationis posui e *Vat* punctum reliqui libri Re 3 *εἰς Vat* | *ἔχει* scripsi e *MaClVat* *ἔχοι Mo* Re | *τίς Ma Cl* 5 *καὶ* ante *ὑπὲρ MaClVat* | *ὧν Ma* sed *ὦν* in ras m[2] | *τἆλλα Mo* 6 *κἂν* scripsi coll p. 464, 8; 466, 13 *καὶ* libri Re *ἢ εἰ* Iacobs Anth. Pal. III 14, *καὶ εἰ* Schul 7 *μέλλοι Ma ClVat* | *τῆς* ante *γῆς Mo* Re delevi 9 *τὸ ξίφος* scripsi e *MaClVat* *τοὺς παῖδας Mo* Re 10 *ὅ τι* scripsi cum Iacobsio Schul *ὅτι* libri Re | *θέλοι* scripsi e *MaClVat* *θέλει Mo* Re | *τὶς Mo* Re | *μὴ* ante *παραδραμοῦσα Mo* Re delevi cum Iacobsio Schul 12 num *καταλελυμένης*? | *τὴν δημοκρατίαν* ante *κρύφα* libri Re delevi cum Iacobsio Lect Schul et Sinteni 14 *πεσεῖται, τί φής;* scripsi *πεσεῖται; τί φής· MaClVat* *πέσῃ Mo* *πέσῃ* Re 15 *ἔδωκεν MaCl* | *ἀ(ὑ)φήρπασας Vat* 16 *πρινὴ* scripsi e libris *πρὶν ἢ* Re 17 *ταῦτ' Mo* Re

δωρεὰν τῆς οὐκ ἐπισχούσης ὅπερ οὔθ' ὑμεῖς ἠτήσασθε ἂν οὔθ' ἡ φύσις πράττειν ἐδίδου διά τε τὴν τοῦ θήλεος ἀτολμίαν καὶ τὴν ἐκ τῆς συζυγίας πρὸς τὸν ἄνδρα αἰδῶ καὶ τοὺς γαμηλίους θεσμοὺς καὶ τὴν ἐντεῦθεν στοργήν;

66. *Ἔτι τοίνυν εἰ μὲν εἰς εὐνὴν ἀνδρὸς ἐλθεῖν ἤμελλε πάλιν, οὐκ ἂν οὕτω τῆς προτέρας γονῆς ἐξείχετο, ἀλλ' εἶχεν ἂν ἐλπίδας ἐξ ἑτέρου πατρὸς καὶ πάλιν μήτηρ ἀκοῦσαι· ἐπεὶ δὲ τοῦτο μὲν οὐδ' εἰς νοῦν ἔλαβε τὴν ἀρχήν, οὐδὲ γὰρ τὴν συνοικίαν αἰτιωμένη τὰ μεγάλα ἐκεῖνα ἐτόλμα, ἀλλ' ὡς ἄνδρα μὲν ἔστεργεν, ἐμίσει δ' ὡς τύραννον, καὶ δι' ἡμᾶς, ἀλλ' οὐκ οἰκείους | ἔρωτας τὸν πρῶτον ἄνδρα κατέκοπτεν, ἵνα* R IV 815 *καὶ δευτέραν ὑπανάψει δᾷδα γαμήλιον, ποῦ τοῦτο τῇ πόλει πρέπον ἢ τίνος ἐχόμενον δίκης τότε μὲν χήραν δι' ἡμᾶς γενομένην τῷ τὸν τὰ πάντα δυνάμενον σύνοικον ἐκ μέσου θέσθαι, νῦν δ' αὖθις δι' ἡμῶν αὐτῶν καὶ τῆς τῶν παίδων γονῆς ἀποστερεῖσθαι;*

67. *Ἀλλὰ δεῖ πάντως καὶ μείζω τιμωρίαν τὸν τύραννον ὑπέχειν. οὐκοῦν ἐκείνῳ μὲν τοῦ κακῶς ἐθέλειν ἄρχειν τὸ τεθνάναι κάκιον ὑπερβολή τι-*

14 cf. p. 333, 2 19 sq. Chor. p. 72, 12 sq.

1 punctum post *ἐπισχούσης* libri Re delevi cum Sinteni | *ἠτιάσασθε Vat* 2 $\overset{τ}{\text{διά}}$ *Cl* 7 *ἔμελλε Ma ἤμελλεν Cl* 8 *ἀνδρὸς*? cf. Soph. Ant. 910 9 *μήτηρ* scripsi e *Ma* cum Sinteni *μητέρα ClVatMo* Re 10 *ἔβαλε Vat* | *τὴν συνοικίαν* scripsi e *MaClVat τὸν σύνοικον Mo* Re 11 *ἔστεργε Mo* Re 12 *ἐμίσει δ' ὡς τύραννον* inserui e *MaClVat* om *Mo* Re | *οὐ μοιχίους* Iacobs Schul 14 *ὑπανάψει* scripsi coll p. 432, 27 *ὑπανάψῃ ClMo* Re *ὑπανάψοι Vat ἐπανάψῃ Ma* | comma posui e *MaCl* cum Sinteni colon *Vat* signum interrogationis *Mo* Re 16 *τὰ* inserui e *ClVat* om *Ma* sed ras supra *π* sequens, *Mo* Re 17 *ποιῆσαι Vat* 20 punctum posui e *Vat* comma *MaCl* signum interrogationis *Mo* Re

μωρίας ἐλείπετο, ταύτῃ δὲ τὸ μὴ καὶ τοὺς παῖδας, τὸ μόνον παραμύθιον, ἀποσεσυλῆσθαι καὶ μετὰ τῆς χηρείας καὶ ἀτεκνίαν προσεπιδεῖν εἴη ἂν λοιπὸν εἰς αἴτησιν; παῦσαι, πρὸς τῆς παρούσης δημοκρατίας, ὦ κατήγορε, μὴ καὶ δοκοίης οἷς ἀνεῖλε τὸν τύραννον ἄχθεσθαι καὶ πρὸς ἄμυναν τῆς ἀπεκτονυίας, ἀλλ' οὐ πρὸς ὕβριν ἐκείνου ταῦτα τεχνάζεσθαι. 68. ἱκανῶς ἀπέδοτο τὰ τροφεῖα τῇ πόλει, ἱκανῶς ὑπὲρ τῆς ἐνεγκούσης ἐφήψατο τοῦ ξίφους. ἐνετρύφα μὲν ὁ τύραννος ταῖς τῶν ἄλλων συμφοραῖς, ἡ δ', ἕως ἐξῆν λανθάνειν, ἐπέστενε. καὶ ταύτῃ μὲν κατὰ πρανοῦς ἔρρει τὰ πράγματα, δυστυχούντων δ' ἡμῶν αὐτὴ τὸ τῆς τύχης εὐπετὲς πρὸς ἡδονὴν οὐκ ἐδέχετο. 69. ἐπὶ τούτοις τολμᾷ τι καὶ θρασύτερον, μετὰ ξίφους ἐπιπηδᾷ καὶ τοῦ πολλοὺς ἀνελόντος αὐτόχειρ γίνεται καὶ πεσόντι προσεπέλεγε· ταῦτά σοι τῆς καλῆς τἀπίχειρα τυραννίδος, τοῦτό σοι τῶν πολλῶν φόνων ἀντίποινον. ἐξέβης τοὺς ἀνθρωπείους ὅρους τῇ τῶν τρόπων ὠμότητι. οὐκοῦν κἀγὼ παρόψομαί σου τὸν ζυ-

---

4 cf. p. 363, 14 11 cf. t. VI 178, 16 | Soph. Trach. 468
16 cf. ad t. VI 259, 9

---

1 ἐλίπετο *MaCl* | καὶ post δὲ, non post μὴ *Vat* | τὸ μόνον om *Vat* 3 εἰς — 4 παῦσαι in lac 11 fere litt om *Vat* 4 signum interrogationis posui colon libri Re 5 δοκοίης scripsi e *MaClVat* δόξῃς *Mo* Re 6 ἄχθεσθαι (ε suprascr.) *Mo* | ἀπ cum lac 7 fere litt *Vat* 9 ἐνετρύφα scripsi cum Iacobsio Lect Schul Steph. Thes. ἐντρύφα *Mo* Re ἐτρύφα *MaClVat* 10 ἡ δ' scripsi e *MaCl* cum Iacobsio Lect Schul ἦδ' *VatMo* Re | ἕως scripsi cum Sinteni ὡς libri Re 11 ὑπέστενε *Vat* 12 δ' scripsi e *MaClVat* cum Sinteni δι' *Mo* Re δὲ Iacobs Schul 13 πρὸς ἡδονὴν inserui e *MaClVat* om *Mo* Re 16 τἀπίχειρα reposui e libris cum Iacobsio Ach T 912 Anth. Pal. III 605 Schul τ' ἐπίχειρα Re 17 πόνων *Vat* 18 ὅρους inser *Ma*[2] 19 σου scripsi auctore Sinteni σοι libri Re | ζύγιον *MaCl*

γόν. πολλοὺς τῶν αὐτῶν αἱμάτων ἤμαξας. οὐκοῦν δέχου καὶ σὺ πρὸς τῆς γυναικὸς τὴν σφαγήν. παρεῖδες τοὺς ἔξωθεν νόμους τοὺς ἐν κύρβεσι, τοὺς ἐπ' ἀγορᾶς, τοὺς ἐπ' ἐκκλησίας γραπτούς. οὐκοῦν ἐγώ σε καὶ τοῦτο μιμήσομαι καὶ τοὺς ἔνδοθεν νόμους οὓς ταῖς ψυχαῖς ἡ φύσις ἐνέγραψε μετὰ καὶ τῆς σῆς τυραννίδος τροπώσομαι. 70. ταῦτα τίς οὐ ζηλώσει, τίς οὐκ εὐδαιμονίσει, τίς οὐ θαυμάσεται; ποῖος δὲ τοιαύτην γυναῖκα τὸ κεκλῆσθαι μητέρα δικαίως προσαφαιρήσεται; ἐπὶ γυναικῶν φορᾷ καὶ τὰ τῶν Λακώνων σεμνύνεται, ἀλλὰ μέχρι τῆς γενναίας ταύτης καὶ φιλοπόλιδος. μέγας Θρασύβουλος, | ἀλλ' ὅτι μὴ προσήκουσαν R IV 816 τυραννίδα κατέλυσε. πολὺς Ἡρακλῆς, ἀλλ' ὅτι θῆρας φοβεροὺς μὲν ἰδεῖν, φοβερωτέρους δὲ πρὸς πεῖραν ἀνδρείας ἀπέκτεινε. θαυμαστὸς ὁ Θησεύς, ἀλλ' ὅτι τὰς ὁδοὺς τῶν ληστευόντων ἐκάθηρεν. ἡ δὲ πόλιν ὅλην ὑπὸ τυράννῳ πεπτωκυῖαν ἀνέστησε καὶ τὸν τοῦ γένους παρεῖδε θεσμὸν καὶ τὴν ἐκ φύσεως ἀνανδρίαν κατε-

---

7 Plut. cum princ. philos. diss. p. 779 B 11 Archestr. apud Athen. VII p. 278 e 16 Plut. Thes. 7 sq. 19 cf. p. 440, 6

---

1 ἐκ ante τῶν *Mo* Re delevi 3 κύρβεσι scripsi e *MaClVat* cum Iacobsio Lect Schul et Sinteni κύβεσι *Mo* Re 4 ἐπ' scripsi e *MaClVat* cum Sinteni ἀπ' *Mo* Re | ἐπ' reposui e libris ἐπὶ Re 6 ἔνδον *Ma* 7 ἀνέγραψε *Cl* | σῆς inserui e *MaClVat* om *Mo* Re 8 εὐδαιμονήσει *Vat* 10 τῶ *Vat*
11 post σεμνύνεται comma posui signum interrogationis Re om libri 12 post φιλοπόλιδος punctum posui cum Iacobsio Schul et Sinteni colon *Mo* om *MaClVat* Re 16 ἀνδρείας scripsi e *MaCl* cum Iacobsio Schul ἀνδρίας *Vat* ἀνδρείως *Mo* Re 17 ἐκάθαιρεν *MaClVat* 18 τυράννῳ scripsi e *MaClVat* τυράννου *Mo* Re 19 ἀνανδρίαν scripsi e *MaClVat* ἀνδρείαν *Mo* Re ἀνανδρείαν Iacobs App Pors 329 Lect Schul

πολέμησεν. 71. *εἰς τοῦτον ἐγώ σε τὸν κατάλογον τίθεμαι, μετὰ Θρασυβούλου θαυμάζω, μετὰ Θησέως προσκυνῶ, μεθ' Ἡρακλέους σέβομαι. ἐκπλήττομαι τοῦ θράσους, ὑπεράγαμαι τῆς τόλμης, κινδυνεύω μηδ' ἔργα γυναικὸς ταῦτα νομίζειν, ἀλλά τινος ἐφεστίου δαίμονος.*

72. *Δεῦρό μοι, ὦ γενναιοτάτη γυναικῶν. ἀνάβαινε πρὸς τὸ βῆμα τὸ διὰ σὲ νῦν κατὰ νόμους περικροτούμενον, προένεγκαί τι καὶ φθέγματος μεθ' οὗ τὸν τύραννον ὑπὲρ τῶν νόμων ἱκέτευες, δεῖξον ᾑμαγμένην τῷ τοῦ τυράννου λύθρῳ τὴν χεῖρα, καὶ τάχα καταιδέσεις τοὺς ἀντιτείνοντας. ὁρᾷς ὡς σεσίγηκεν ὁ κατήγορος, ὁ δὲ δῆμος ἐκάμφθησαν; θάρρει τὴν νικῶσαν. οὐκ ἀποίσῃ τῶν ἐν λόγοις δεινῶν τοὔλαττον ἡ τοῖς ἔργοις ἀπενεγκαμένη τὸ μεῖζον.* 73. *πρότεινε μετὰ τῆς χειρὸς τὸ ξίφος ἔτι τοῦ τυραννικοῦ προσαποστάζον αἵματος. τοῦτό σου τὸ ξίφος ἐγὼ καὶ θεοῖς ἀναθήσομαι. μετὰ τοῦ τῆς Ἀθηνᾶς ἔγχους, μετὰ τοῦ Διὸς κεραυνοῦ τοῦτό σου τὸ ξίφος τετάξεται. ἔλυσεν ὠμότητα τυραννικὴν οὐ μακρῷ τῆς τῶν Τιτάνων ὕβρεως λειπομένην, ἀπέσφαξε τύραννον μικροῦ καὶ Γιγάντων παλαμναιότερον. τάχα που καὶ στήλην σοι λαμπροτέραν*

---

5 cf. p. 359, 12 12 Xen. anab. III 2, 20. Soph. OC. 649. Eur. Andr. 993 13 Xen. anab. V 9, 18; 10, 12 15 cf. p. 343, 16. Chor. tyr. p. 54, 3

---

4 *μὴ δ' MaMo* 5 *νομίζειν Ma* sed *ειν* in ras m² 8 *προένεγκέ Cl* 12 signum interrogationis posui e *Ma* punctum *ClVatMo* Re | *θάρρει* scripsi e *MaClVat* *θαρρεῖ Mo* *θαρρεῖ* Re 13 *ἢ Ma* sed in *ἡ* corr m², *Vat* 16 *τοῦτό σου* scripsi e *MaVat* cum Iacobsio App Pors 329 Anth. Pal. III 495 Schul et Sinteni *τοῦ τόσου ClMo* Re 18 *τοῦτό σου* scripsi e *ClVat* cum Iacobsio et Sinteni *τοῦτό σοι Ma* *τοῦ τόσου Mo* Re 19 *τυράννων MaCl* sed in hoc *οἶμαι τιτάνων βούλεται λέγειν* in marg *γιγάντων Vat*

ἡ πόλις μετὰ καὶ τῶν παίδων ἐπιψηφιεῖται, καὶ ξιφηφοροῦσαν ὡς ἡμετέραν γράψομεν Δήμητραν. 74. *τί στένεις; τί δακρύεις; τί δὲ τούτους ὑφορᾷ τοὺς πρὶν περιδεεῖς, τοὺς ὑποτρόμους, τοὺς συνεσταλμένους καὶ νῦν κομψούς, εὐρυβόας, πολλὰ στωμυλλομένους, πολλοὺς ῥέοντας ἐπ' ἐκκλησίας; μὴ δέδιϑι περὶ τῆς ψήφου. ἔχεις τοὺς δικαστὰς ἀφ' ὧν τοὺς νόμους ἀπέδωκας. ἔχεις τὸν δῆμον ἀφ' ὧν εἰργάσω δεσπότου τυραννοῦντος ἐλεύϑερον.* 75. *σώζει σου τοὺς παῖδας τὰ δάκρυα. διὰ σὲ γὰρ ἡ πόλις οὐκ ἀνδρῶν σφαγάς, οὐ γυναικῶν ἁρπαγάς, οὐ παίδων | ὕβρεις ὀδύρεται.* R IV 817
πρὸς οἶκτον κοινῇ πάντας τὸ καινὸν τῆς συμφορᾶς ἐφέλκεται. οἷς γὰρ καὶ τἄλλα μεταπλάττεις ἐπὶ τὸ καινότερον, τούτοις καὶ νῦν παῖδας τυράννου δεικνύεις ἐλεουμένους διὰ τυραννοκτόνον μητέρα δακρύουσαν. 76. *ἔχεις ἤδη τοὺς παῖδας. καὶ φύλαττέ μοι μέχρι καὶ τέλους τῆς γνώμης τὸ μισοτύραννον. καὶ λαβοῦσα παρὰ τοῦ δήμου στέργε, τρέφε, νουϑέτει, παίδευε,*

---

2 Chor. tyr. p. 75, 12 sq. | Hom. h. in Cer. 4   6 Dem. cor. p. 272, 20   10 cf. p. 446, 2 sq.

---

1 *τῶν Ma* sed *ν* add m^2 | *ξιφηφοροῦσαν* scripsi auctore Cobeto Coll 302 *ξίφη φοροῦσαν* libri Re   2 *Δήμητρα* Cobet at cf. t. I 292, 13; VI 38, 3   3 *ὑφορᾶς* Iacobs Schul   5 *κομψούς, εὐρυβόας* scripsi *κομψοὺς εὐρυβόας* libri Re | *πολλοὺς* scripsi (Mus. Rhen. XXXII 95) *πολλὰ* (*πο*$^{\lambda\lambda}$ *Cl*) libri Re   7 *ἀπέδωκας* scripsi coll p. 437, 10 *ἐπέδωκας* libri Re   8 *δεσπότην Ma* sed *την* in ras m^2 9 *σώζει* reposui e libris cum Iacobsio Schul et Sinteni *σώζε* Re   11 *ὕβρεις* scripsi e *Cl Mo* *ὕβρις Ma Vat* Re   12 *πρὸς οἶκτον κοινῇ πάντας* scripsi *πρὸς οἶκτον κινεῖ πάντας MaCl* *πρὸς οἶκτον κινεῖ* (*κινεῖς Vat*) *πάντας*, *πρὸς οἶκτον κοινῇ* (*κινη Mo* sed *οι* supra *ι*) *πάντας VatMo* sed in hoc *οἶκτον κινῇ* del, Re   15 *μρα Ma* sed *μρ* in ras m^2 17 *τῆς* inserui e libris cum Iacobsio Lect Schul | *μισοτύραννον Ma* sed *τύρα* in ras m^2

πάντως πρὸς τὸ δημοτικώτερον μεταρρύθμιζε, κἂν εἰς ἄνδρας φθάσωσι, τὸ ξίφος αὐτοῖς ἐπιδείκνυε, ἔφαψαι τοῦ χώματος τοῦ πατρός, διήγησαι τὴν τυραννίδα, ἐπίδειξαι τὴν δεξιὰν ὑφ' ἧς ὅλη τυραννὶς καταβέβληται. κἂν ἐκείνου τοῦ πατρὸς εἶναι βουλήσονται παῖδες, ἔχεις τὸ ξίφος καὶ καλοῦ τυραννοκτόνος καὶ πάλιν.

1 πάντως scripsi cum Iacobsio Schul πάντας *VatMo* Re πάντους *Cl* πάντα *Ma* 5 βουλήσωνται *Ma* θελλήσονται *Vat*

XLIV.

Declamatio inscripta *Νόμος τὸν ἐπὶ τῆς ἐκκλησίας ὀφθέντα ξένον ἀποθνήσκειν ὑπὸ τοῦ στρατηγοῦ. ξένος ὀφθεὶς ἀπαγόμενος ἔφη τι μηνύειν ἔχειν ἀπόρρητον. ἀπέκτεινεν αὐτὸν ὁ στρατηγός. μετὰ ταῦτα ἐτυραννήθη ἡ πόλις. καταλυθέντος τοῦ τυράννου κρίνεται ὡς συνειδώς*, qua strategus[1]) se defendit, quod peregrinum in contione deprehensum secundum legem interfecisset, quamvis is arcanum quod proderet se habere dixisset, artis Libanianae admiratoribus haud ingrata fuit. Itaque non 'corporis' finibus coercita mansit sed etiam in eclogas transiit. Codices autem quibus ad hanc aetatem pervenit sunt hi 18:

Incipio a 'corporalibus'.

1. Laurentianus LVII 27 (= L) anno 1392 exaratus fol. 202ᵛ. Vide t. I p. 59 sq. Contulit meum in usum Hieronymus Vitelli.

Ex hoc descriptus est

2. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 218. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti qui eum littera W insignivit.

Ex hoc per editionem Ferrariensem fluxit

3. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide t. I p. 67.

---

1) Non de uno e decem illis Atheniensium ducibus sed de summo magistratu militari qui iam tyrannis exactis ab Aristagora Milesio in Ioniae urbibus institutus (Her. V 38) et aetate Romanorum ubique restitutus erat (Luc. nav. § 14 *ἄπαγε πρὸς τὸν στρατηγόν*; Chion. ep. 13, 2; Act. apost. 16, 20 sq. et 35 sq. Charit. IV 5) cogitandum est. Cf. p. 483, 17; 484, 13; 485, 12 sq. et 16 sq.; 488, 6 sq.; 489, 6; 518, 2.

4. Laurentianus LVII 21 saec. XIV/XV fol. 227. Vide t. V p. 158 sq.

5. Barberinus II 41 nunc Vaticanus Barberinus 220 (= B) saec. XV fol. 391. Vide t. I p. 24 sq. Contulimus ego et Pius Franchi de Cavaleriis.

Transeo ad 'eclogarios'.

6. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 1. Correctus est tribus manibus: a librario ipso (*m*), manu secunda librarii aetati proxima (m^2), recentiore (*y*). Vide t. V p. 168 sq. Contuli.

7. Laurentianus LVII 44 (= La) saec. X fol. 29ᵛ. Post folium 35 duo ultima quaternionis quarti folia perierunt quibus verba p. 509, 9 *οὐκ ἄν τις* usque ad p. 517, 11 *κρινομένου* continebantur. Correctus est manibus quinque *p*, *f*, *i*, *n*, *s*. Vide t. I p. 224 sq. Contuli.

Ex hoc vel eius fratre gemello descriptus est

8. Vindobonensis philos. et philol. IV 82 (= Vi) saec. XIV fol. 91ᵛ. Vide t. V p. 169 sq. Contuli.

9. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 29ᵛ (238). Correctus est duabus manibus: secunda ex alio codice (= m^2) et tertia. Vide t. IV p. 410 sq. Contuli.

10. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 56ᵛ. Correctus est ex alio codice manu secunda. Vide t. I p. 48 sq. Contuli.

E communi fonte fluxerunt duo codices:

11. Parisinus gr. 3018 saec. XV fol. 176ᵛ. Vide t. V p. 173 sq.
et

12. Laurentianus LVII 23 saec. XIV fol. 144ᵛ. Vide t. V p. 176 sq.

Ex hoc descriptus est

13. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 88. Vide t. V p. 178 sq.

E Barberino vel eius fonte descriptus est

14. Escurialensis T-II-15 (151 in catalogo Mille-

riano) saec. XVI fol. 1. Titulo initioque privus incipit verbis p. 508, 16 *ἄξιον πλουτεῖν.* Vide t. V p. 7 sq.

15. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 301ᵛ. Vide t. I p. 426 sq.

16. Mosquensis bibliothecae synodalis 489 antea 317 (304 in catalogo Mattheiano) saec. XV fol. 27. Vide t. V p. 180 sq.

17. Vaticanus gr. 956 saec. XIV fol. 8. Prioris codicum familiae est, sed pretio caret. Vide t. V p. 414 sq. et supra p. 3.

18. Escurialensis T-II-11 (147 in catalogo Milleriano) saec. XVI fol. 168 continet tantum titulum et initium declamationis usque ad p. 481, 5 *ἐφαίνετό μοι.* Vide t. V p. 366.

Ex his quos in censum vocandos esse duxi codices septem *LMLaViClBVa* rursus in duas discedunt familias, quarum prior codice *L*, altera codicibus *MLaViClBVa* continetur, ita tamen ut et *Cl* et *B* hic quoque vim codicis familiae prioris experti sint.[1] Necessitudinis vinculum quod inter singulos codices intercedit hoc tibi reddet stemma:



1) Lectiones quibus *Cl* cum *L* concinit plures sunt quam ut hoc loco exscribi possint. Satis est eas indicasse. Sunt p. 484, 5; 496, 14; 503, 5; 506, 10; 508, 8; 512, 19; 516, 18; 521, 2. Sed de *B* provoco ad locos tum in reliquis codicibus alterius familiae omissos (p. 515, 4 *σπονδῆς — ἀντιπάλους*) tum quibus lectio

Lectiones codicis *Vi*, etsi e *La* ipso vel ex eius fratre gemello descriptus est, ab apparatu critico non seclusi, cum quia haud parva pars declamationis in *La* periit tum quia lectiones primae manus huius codicis haud raro rasuris vel correctionibus evanuerunt.

Haud spernenda est copia testimoniorum. Magnam partem declamationis usus codice prosapiae *d* sed hic illic integriore exscripsit Ioannes Doxapatri in commentario ad Hermogenis *περὶ εὑρέσεων* librum composito quem olim e codice Barocciano gr. 175 descripsi et cum ectypo phototypico codicis optimi Vaticani gr. 2228 ab Hugone Rabio liberalissime ad me misso contuli.[1]) Sex[2]) locos in schedas quae codice Palatino gr. 129 continentur rettulit Maximus Planudes[3]), duos excerpsit auctor libelli *περὶ συντάξεως* e Georgii Lacapeni epimerismis[4]) pendentis et e codice Augustano a God. Hermanno de emend. rat. gramm. gr. editi, unum Macarius Chrysocephalus.[5])

Declamatio in lucem protracta est anno 1517 editione Ferrariensi (= Ferr) fol. 120ʳ—129ᵛ quae e Wolfenbuttelano codice prioris familiae fluxit. Hanc paucis correctis vel in margine coniectatis repetivit anno 1616 Morellus Lib. opp. t. I p. 614—634 (= Mor) qui nullum codicem sibi subsidio fuisse ipse p. 624 ad p. 502, 14 testatur: *Locus mutilus videtur in Gr. Cod. Fer. quo solo usi sumus.*[6]) Huius

---

prioris familiae lectioni alterius suprascripta est, ut p. 516, 12
ἐπιεικέστατος *ἀπόλλυνται*
σχετλιώτατος et p. 516, 4 *ἀπιστοῦνται.*

1) Cf. p. 238.

2) Septimus qui inter quintum et sextum legitur *ἕτερος δὲ οὐκ ἀγεννὲς* (corr. *ἀγεννὴς*) *διέκρουέ με λόγος καὶ διακόπτειν ἐπειρᾶτο τὴν ῥῆσιν* non Libanii, sed Luciani (dom. § 14) est neque ex alia re nisi usu verbi *διακρούειν* in quinto loco conspicuo originem cepit. Cf. t. VI p. 5.

3) Cf. t. I p. 73.

4) Cf. Sigfrid Lindstam, Georgii Lacapeni epistulae X priores cum epimerismis editae, Upsalae 1910 p. XXXII.

5) Cf. t. I p. 351 sq.

6) Ad editionem Ferrariensem spectant duae lectiones *ἡμεῖς* (p. 513, 10 et *ἐξενεχθήσονται* p. 518, 10 quae praemisso *γρ* vel *πρ.* i. e. *πρίγκηψ*?) *γρ* in margine p. 630 et 633 exstant.

editionis menda haud pauca immemor Ferrariensis cum ope codicis Wolfenbuttelani tum ex ingenio sanavit Reiskius (= Re) sed uxor eius quae editionem (t. IV p. 478—501) curavit non omnes mariti emendationes in textu reposuit.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum in 'Lectionibus'[1]), C. Sintenis[2]), A. Gasda[3]), Cobetus.

---

1) Cf. t. I p. 77 et V p. 198.
2) Cf. t. I p. 78.
3) Cf. t. V p. 198.

XLIV.

Νόμος τὸν ἐπὶ τῆς ἐκκλησίας ὀφθέντα ξένον ἀποθνήσκειν ὑπὸ τοῦ στρατηγοῦ. ξένος ὀφθεὶς ἀπαγόμενος ἔφη τι μηνύειν ἔχειν ἀπόρρητον. ἀπέκτεινεν αὐτὸν ὁ στρατηγός. μετὰ ταῦτα ἡ πόλις ἐτυραννήθη. καταλυθέντος τοῦ τυράννου κρίνεται ὡς συνειδώς.

Ἡ μελέτη.

R IV 479 1. *Τὰ μὲν ἀπὸ τῆς τυραννίδος, ὦ ἄνδρες, κακὰ καὶ τὸ πάντων τῶν ἐν ἀνθρώποις δεινῶν ταύ-*

L = Laurentianus LVII 27
M = Marcianus gr. 439
La = Laurentianus LVII 44
Vi = Vindobonensis philos. et philol. IV 82
Cl = Berolinensis gr. 195 olim Claromontanus
B = Barberinus II 41 (Vatic. Barb. 220)
Va = Vaticanus gr. 82

---

8 ἐξ ὑπολήψεως τοῦ πράγματος τὸ προοίμιον *L* sed τὸ προοίμιον om. *La*[n]

---

1 Προθεωρία. στοχασμός ante Νόμος *L*[rubr] sed στοχασμός in marg, Ferr, ἄλλη μελέτη. προθεωρία Mor Re delevi | Νόμος — 6 συνειδώς praemissis verbis ὡς παρὰ τῷ Λιβανίῳ ἔστιν ἰδεῖν ἐν ἐκείνῳ τῷ στοχαστικῷ ζητήματι citat Io. Doxap. in commentario ad Hermogenis περὶ εὑρέσεων librum I 1 (Rhet. gr. ed. Walz III 66, 18 et 71, 19 = ed. Spengel. II 178, 10 et 182, 4) Vat. gr. 2228 fol. 202v et 210v et Barocc. 175 fol. 17r et 31r 3 καὶ ante ἀπαγόμενος Doxap | ἀπαγόμενος reposui e libris Doxap ut coni Re cf. p. 489, 12 ἐπαγόμενος edd | τί libri edd | μηνύσειν *LCl B* edd | ἔχειν inserui e *La Vi* Doxap om *LMClB Va* edd 4 μεταταῦτα *LMLaB Va* Doxap edd 5 ἐτυραννήθη ἡ πόλις *M La Vi* | καὶ ante καταλυθέντος Doxap | καταλυθείσης τῆς τυραννίδος *B* 6 ὡς συνειδώς scripsi auctore Re συνειδότος libri

την εἶναι χαλεπωτάτην ἱκανῶς ὁ κατήγορος ἐνδεδεῖχθαί μοι δοκεῖ καὶ τὸν λόγον ἐξισωκέναι ταῖς συμφοραῖς· τὸ δ' ὡς ἐγώ τι τούτων ἐφ' ὑμῖν συμπαρεσκεύασα καὶ ἣν μοι βουλομένῳ δεσπότην ἐπιστῆναι τῇ πόλει, τοῦτο δὲ οὐδενὶ λόγῳ, μὰ τοὺς θεούς, ἐφαίνετό μοι δεικνύειν ἔχειν. 2. *ὑμεῖς δ' εἰ μὲν τὴν φύσιν τοῦ πράγματος ἔγκλημα ἐμὸν ποιεῖσθε καὶ ὧν ὑπὸ τοῦ τυράννου πεπόνθατε παρὰ τῶν οὐδὲν ὑμᾶς ἠδικηκότων οἴεσθε δεῖν δίκην λαβεῖν, χρήσασθε ὅ τι βούλεσθε· εἰ δὲ χωρίς ἐστιν ἅ τε ὑπ' ἐκείνου πεπόνθατε καὶ τὸ πονηρὸν ἐμὲ περὶ τὴν πόλιν γεγονέναι, μή με περιίδητε τοῖς κατὰ τῆς τυραννίδος ἀπολλύμενον λόγοις μηδὲ τὴν ἀπ' ἐκείνης ὀργὴν εἰς ἕνα τῶν ὑφ' ὑμῶν*

---

edd *τοῦ συνειδότος* Gasda   7 *Ἡ μελέτη* scripsi *ἡ μελέτη στοχασμὸς L στοχασμός M* om reliqui libri *Ἡ μελέτη ἐξ ὑπολήψεως τοῦ πράγματος* Ferr *Στρατηγοῦ ἀπολογία* Mor Re *ἐν τούτῳ γὰρ τὸν φεύγοντα μελετῶν ὁ λιβάνιος* Doxap   8 *Τὰ* — 482, 1 *ἐφῆτε* praemissis verbis *ἔχει δὲ καὶ παρὰ τῷ σοφιστῇ τὰ λεγόμενα αὐταῖς λέξεσιν οὕτως* citat Doxap l. l. | *δικασταί BVa* Doxap *ἄνδρες δικασταί M* cf. p. 484, 7; 485, 8; 487, 5; 492, 15; 493, 17; 494, 18; 496, 7; 505, 6; 506, 16; 514, 17; 515, 9; 517, 16; 518, 6; 519, 7; 520, 8   9 *δεινὸν* Doxap

50. *Τί* οὖν τοῦ συνειδέναι τὸ τεκμήριον; ἄ λ λ ο ς, φησίν, ἧ κ ε μ η ν ύ σ ω ν τ ὴ ν τ υ ρ α ν ν ί δ α κ α ὶ ο ὗ τ ο ς ξ έ ν ο ς, σ ὺ δ' ἐ σ ί γ η σ α ς. οὐ γὰρ ἐνῆν, ὦ θαυμάσιε, τὸν οὐ προαισθόμενον βοᾶν. αὐτὸ δὲ τὸ μὴ λαβεῖν αἴσθησιν τῶν τεχνικῶς κακουργούντων, οὐ τῶν ἀγνοησάντων ἀδίκημα. εἰ δ' ἐμὸν ἀδίκημα τοῦτο, διὰ τί μόνου, πρὸς θεῶν; μόνῳ γὰρ προσήκει μοι κήδεσθαι τῆς πόλεως, τοὺς δ' ἄλλους πολίτας ἀφίεσθαι τῆς προνοίας; 51. καὶ τί λέγω τοὺς πολίτας; οἱ λέγοντες οὗτοι καὶ παριόντες καὶ γράφοντες καὶ πείθοντες καὶ τὴν τῶν ὅλων φυλακὴν ἐν ταῖς αὐτῶν φωναῖς εἶναι λέγοντες καὶ εἰ μὴ λήψονται στεφάνους ἀγανακτοῦντες διὰ

---

10 τὰ ἀπ' ἀρχῆς (ἀπαρχῆς *M*) ἄχρι τέλους *LM*

---

2 πεπονηκότας *LaVi* 3 τὴν μὲν στρατηγίαν *MLaViClBVa* | οἷς *LaViCl* 4 τῇ τυραννίδι *MLaViClBVa* | δὲ *LaVi* 5 τῆς om *Vi* 7 τετιμωρῆσθε *La* sed ε(2) in ras *f* τετιμωρεῖσθε *Vi* | ἀποδράσαντα *Vi* 8 οὐσίαν *Vi* | τοὺς τἀναντία τετολμηκότας *MLaVi* τοὺς τἀναντία τετιμηκότας *ClBVa* 9 μιᾶς *MLaViClBVa* et γρ in marg *L* 10 τὸ inserui e *LaClVa* om *LMViB* edd 12 δ' inser *Va* | ἐσίγας *MLaViBVa* sed in hoc ἐ inser m² | ἦν *BVa* 14 οὐ om *LaVi* οὐδὲ *Cl* 15 τὸ ante ἀδίκημα(1) *Cl* | δὲ *LViClBVa* | διατί *LViClBVa* 17 δὲ *B* edd 19 παριόντες scripsi auctore Markowskio παρόντες libri edd 20 τῶν inser *Va²* | αὑτῶν *L* edd 21 καὶ scripsi e *MLaViClBVa* κἂν *L* edd | διατί *ViB*

τί νῦν οὐκ ἐπὶ τοῖς αὐτοῖς κρίνονται; καὶ γὰρ αὐτοὶ τῶν οὐκ αἰσθομένων μέν εἰσιν, ἐν δυνάμει δὲ παρ' ὑμῖν. 52. ἀλλ' ἐῶ καὶ τοὺς ῥήτορας, ὁ δὲ ἄρχων οὑτοσὶ καὶ οἱ πρυτάνεις καὶ ἡ τὰ πλεῖστα διοικοῦσα βουλὴ τί μὴ πρὸς τὰς αὐτὰς αἰτίας ἄγονται; ἀλλ' οὐχ οὗτοι κακῶς ἔξω τῆς αἰτίας εἰσίν, οὐ μὰ τοὺς θεούς, ἀλλ' οὐ καλῶς ἐν ταῖς αἰτίαις ἐγώ. πόσοι γάρ, ἐξ ὅτου πόλεις οἰκοῦνται, μεῖζον φρονήσαντες τῶν ἄλλων ἐπέθεντο τοῖς νόμοις; οὐδ' ἂν ἀριθμήσαι τις. πόσοι πρὶν ἐπιτελέσαι τὴν γνώμην ἑάλωσαν; οὐκ ὀλίγοι. πάντας οὖν οἱ στρατηγοὶ πρὸ τῶν ἄλλων εἶδον; οὐκ ἔστιν, ἀλλὰ τὸν δεῖνα μὲν ὁ στρατηγός, τὸν δεῖνα δὲ ὁ ῥήτωρ, τὸν δέ τις τῶν ἐργαζομένων ἐπ' ἀγορᾶς, τὸν δὲ
R IV 494 οἰκέτης, τὸν δὲ γυνή, | τὸν δὲ ὅπως ἄν, οἶμαι, τὰ τῆς τύχης συμπέσῃ. ὥσπερ γὰρ τοῖς θησαυροῖς ἐντυγχάνουσιν οὐχ οὓς ἄξιον πλουτεῖν, ἀλλ' οἷς ἂν ὁ δαίμων διδῷ, οὕτω καὶ τὰς τοιαύτας παρασκευὰς πρὸ τῶν ἐν ἀξιώματι τῶν πολλῶν τις εὑρεῖν εὐτύχησεν. 53. ἔχει δέ πως καὶ λόγον τοῖς οὐ πολλοῦ τινος ἀξίοις ἢ τοῖς ἐν σχήματι τὰ τοιαῦτα παρέχειν αἴσθησιν. τὸ

6 cf. p. 512, 1   20 cf. ad t. III 464, 13; IV 123, 5; 268, 9

1 *κρίνονται La* sed *αι* in ras *f* | *καὶ* ante *αὐτοὶ Vi* 2 *αἰσθανομένων MViBVa* | *μὲν* inser *Va*^{2} om *Cl* 3 *καὶ* om *M* 6 *οὗτοι τοι Cl* | *ἔξω* inserui e libris om edd *ἐκτὸς* inserendum coni Re, *ἄπεισιν* pro *εἰσὶν* scribendum Iacobs Lect | *αἰτίας Cl* sed *αἰ* in ras m^{2} 7 *καλὸς* Ferr Mor | *ἐξότου* libri edd 8 *μεῖζον* scripsi e *MLaViBVa* *μείζω LCl* edd | *ἄλλων* scripsi e *ClB* *πολλῶν* (superscr. *ἄλλων*) *Va* *πολῶν Vi* *πολλῶν LMLa* edd | *ἐπέθεντο* scripsi e *MLaViBVa* ut coni Re *ἐπείθοντο LCl* edd 9 *ἀριθμῆσαί τις LLaViClBVa* edd 10 *πάντας Cl* sed *α*(2) ex *ε* corr m^{2} 13 *δὲ τίς ClBVa* 15 *ἐμπέσῃ M* edd 17 *δ′ μ*^{0} *La* sed *′μ*^{0} in *αίμων* corr *p* 18 *τίς MLaViB Va* *τι Cl* Ferr Mor sed hic *τις* coni | *εὑρὼν MBVa* 19 *πως* reposui e libris *που* edd 20 *σχήμασι LaVi*

μὲν γὰρ φοβοῦν ὁ κακουργῶν πειρᾶται λανθάνειν, οὗ δὲ καταφρονῆσαι πρόσεστι, πρὸς τοῦτον ἀνίησί τι τῆς ἀκριβείας. ἂν ἀκούσῃ τὸν στρατηγόν, ἔφριξεν, ἂν τῶν ἀνωνύμων ὁντινοῦν, ἐθάρρησεν. οὐκοῦν ἐκεῖ μὲν ἐφυλάξατο, ἐνταῦθα δέ τι καὶ παρημέλησεν. εἶθ' οὕτω παρεγυμνώθη τι τῶν κεκαλυμμένων. 54. τοιοῦτό τι καὶ περὶ τοὺς κακουργοῦντας τῶν οἰκετῶν συμβαίνει. οἱ γὰρ ὑφαιρεῖσθαι τὰ τῶν δεσποτῶν ἐπιχειροῦντες ὑφ' ὧν οὐκ ἄν τις ᾠήθη πολλάκις ἐμηνύθησαν, ὁ δὲ ταμίας οὐκ ᾔσθετο. καί, νὴ Δία γε, τῶν γειτόνων τις ἔγνω τὴν ἐπιβουλὴν πρὸ τῶν ὁμοδούλων. τί οὖν θαυμαστὸν εἰ κἀν τοῖς κοινοῖς τῆς πόλεως ἴσον τι γίγνεται καί τις ἐπιβουλεύων τοῖς νόμοις ὃν ᾤετο κωλύσειν λαθὼν ᾧ μελήσειν οὐκ ἐνόμιζε, τούτῳ κατέστη δῆλος.

55. Ξένος ἧκεν ἐρῶν. εἰκότως. οὐ γάρ, εἴ τις ἐπιβουλεύει πόλει, καὶ τὴν παρασκευὴν δι' ἧς ἡγεῖται κρατήσειν, ἐν ταύτῃ ποιεῖται τῇ πόλει. τουτὶ γὰρ ἂν εἴη θανατῶντος, οὐ τυραννίδος ἐρῶντος. τίς γὰρ οὐκ ἂν ὑπείδετο πλῆθος ὁρῶν σωμάτων ἀθροιζομένων,

2 Plat. Theaet. p. 150 A

1 πειρᾶτε *La* sed αι supra ε *p* 2 τι om *Cl* 3 τὸν ἀνώνυμον *Cl* 4 ὁντιναοῦν *MBVa* cf. p. 491, 12 | ἐθάρρησεν scripsi e *LaBVa* ἐθάρσησεν *LMViCl* edd cf. p. 514, 16; 427, 5; t. II 35, 15; IV 444, 8; V 320, 7; 479, 6; | οὐκοῦν — 5 παρημέλησεν om *B* 5 τοι *Cl* 6 τί *MClVa* | κεκωλυμένων *LaVi* | τοιοῦτό τι scripsi e *LaViBVa* ut coni Re τοιοῦτόν τι *M* τοιοῦτό τοι *LCl* edd 7 κακούργους *MLaVi* 9 voce ὧν des *La* fol. 35; voce κρινομένου p. 517, 11 inc fol. 36; media duobus foliis amissis perierunt 10 τίς *MViVa* edd 12 κἂν *ViClB* | καινοῖς *Vi* | τῶν πόλεων *B* | ἶσον *ViClVa* | τί *MViBVa* | γίνεται *B* edd 13 κωλύειν *M* sed σ inser m², *ViClVa* sed in hoc ras 1 litt post υ 14 τοῦτο *Va* 16 ἐπιβουλεύσει *Vi* | τῇ ante πόλει edd delevi 19 ὑπείδετο *L* sed ὑπώπτευσεν (ὑφωρᾶτο) in marg | ἂν οὐχ ὑπείδετο *M*

πλῆθος ὅπλων κατασκευαζομένων, συμπόσια, συλλόγους, τοὺς διαθέοντας, τοὺς κολακεύοντας, πάντα ἁπλῶς ὧν
R IV 495 δεῖ τοῖς περιεσομένοις | τοῦ δήμου; 56. διὰ δὴ ταῦτα νόμοις μὲν ἐπιβουλεύουσιν, ἑτέρωθι δὲ ὧν δεῖ πρὸς τὸ ἔργον ἑτοιμάζουσι καὶ τοὺς μὲν ἔλαθον ὧν ἐπιθυμοῦσι γεγονέναι δεσπόται, τοῖς δὲ καταφανεῖς ἐγένοντο παρ' ὧν ὥρμηντο. μὴ τοίνυν ἃ τῇ τοῦ πράγματος φύσει συμβαίνειν εἴωθε, ταῦτ' ἐπὶ τοὺς στρατηγοὺς δῷς ἰσχύειν.

57. *Καὶ τὸν ξένον, φησίν, ἀπέσφαξας φέροντά τι πρὸς ἡμᾶς ἀπόρρητον.* πρόσθες ὅτι *τοῦ νόμου τοῦτο κελεύοντος.* καὶ τούτους ἐρώτησον, πότεροι τυραννίδα ποιοῦσιν, οἱ τοὺς ὄντας ὑμῖν νόμους βεβαιοῦν οἰόμενοι δεῖν ἢ οἵτινες τοὺς βεβαιοῦντας κρίνουσι; γένοιτ' ἄν τι τούτου καινότερον; ἡ μὲν γραφὴ τυραννίδι με συνάρασθαί φησιν, ἡ δὲ ἀπόδειξις τὸ πεπεῖσθαί με τοῖς νόμοις ἐστί. καὶ τὸν αὐτὸν τυράννου τε σύμμαχον καλοῦσι καὶ φύλακα τῶν νόμων. τότ' ἂν εἰκότως ἐκρινόμην, τότ' ἂν ἐμισούμην δικαίως, εἰ τόν τε νόμον εἰδὼς καὶ τὸν ξένον ὁρῶν τὴν τοῦ ξένου φωνὴν ἔμπροσθεν ἦγον τοῦ νόμου. 58. ὅλως δὲ

16 cf. p. 490, 12

2 οἷς *M* sed in ὧν corr m², *ViClBVa* 4 νόμοις scripsi coll p. 509, 13 ἄλλοις libri edd „*sed malim* τοῖς ὁμοφύλοις *aut* τοῖς ἀστοῖς" Re | ἑτέρωθεν *BVa* 6 γεγονέναι δεσπόται *VaCl* sed γεγονέναι inser *Va* et in marg *Cl²* | δεσπόσαι *MVi* | ἐγίνοντο *Cl* 9 δῶς *M* sed ῶ ex ὸ corr m², *Va* sed ς in ras δὼς *Vi* sed ω in ο ras corr 11 πρόσθες — 17 ἐστί praemissis verbis καὶ τὴν ἀντίληψιν δὲ ἁπλῶς εἰσήγαγεν, ἐπεὶ καὶ αὐτὴ οὐχὶ τῷ κατηγόρῳ ἥρμοζεν. ἔχει δὲ καὶ αὕτη οὕτως· citat Io. Doxap. l. l. cod. Vat. fol. 256ᵛ. Bar. fol. 114ᵛ 12 τοῦτο inserui e Doxap om libri edd | πότερον *ViClB* Doxap 15 ἄν *Va* sed ʺ in ras m² | τούτων Doxap 16 τυραννίδος Doxap | μὲν *Vi* 17 πεσεῖσθαι *B* πείθεσθαι Doxap 18 καλοῦσι] εἶναι λέγουσι *Cl* 21 φόνον *Cl*

τί δεῖ γράφειν τοὺς νόμους, εἰ τῶν πραγμάτων ἡκόντων ὑπὲρ ὧν ἐτέθησαν εὐχερῶς αὐτοὺς ὑπερβησόμεθα; πῶς δὲ οὐ γελοῖον ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν ὡς ὑπεριδόντας τῶν νόμων, τοὺς δὲ ὡς ἀκολουθήσαντας τοῖς νόμοις δοῦναι δίκην; εἶπέ τι φέρειν ἀπόρρητον; ὁμολογῶ. ἐγὼ δ' οὐ προσεῖχον; ὁμολογῶ. 59. πρῶτον μὲν γὰρ ἡ πρὸς τὸν νόμον αἰδώς, ἔπειτα ὁ πρὸς τὴν ὄψιν θυμός, τὸ ξένον ἐν μέσοις ὑμῖν τὰ ὑμέτερα ἐκμανθάνειν τῷ κολάζειν προσῆγε μᾶλλον ἢ τοῖς ἐκείνου προσέχειν ῥήμασιν. ἔπειτά με καὶ τοιαύτη τις ὑπόνοια, νὴ τοὺς θεούς, εἰσῄει· ὁ ἄνθρωπος οὗτος ἥκει μὲν ἐχθροῦ γνώμῃ καὶ παρεκινδύνευσεν ἐπὶ τῷ τὰ τῆς πόλεως εἰδὼς ἀπελθεῖν, ἁλοὺς δὲ πλάττει τὸ τῶν πολλῶν. τί δὲ τοῦτο ἔστιν; ὁ σαφῶς ἐγνωκὼς ὅτι τεθνήξεται πλάττει λόγους ἐπὶ τῷ τὸ παρὸν διακρούσασθαι καὶ ταράττει τοὺς ἑλόντας αἰτίαις ψευδέσιν ἐφ' ἑαυτούς. 60. ἐκ μέσων οὖν ἁρπάσαντες οἱ δυσμενῶς τισιν
| ἔχοντες δέουσι, στρεβλοῦσι, βασανίζουσι, πᾶσαν R IV 496
ἰδέαν κακῶν προσάγουσιν ἐξ ὧν στάσεις ἐθέλουσι φύεσθαι καὶ ὅσα φέρουσιν αἱ στάσεις. ἡγοῦνται γὰρ ἐν τοῖς κοινοῖς θορύβοις ἢ τὴν σωτηρίαν ἥξειν ἢ βραδυτέραν τὴν τελευτήν. καί πως καὶ τὸ συνεπισπᾶσθαι

---

1 τοὺς om *B* 4 ὅλως *M* 5 εἶπε τί *Cl* | φέρων *Vi* 6 ὁμολογῶν *BVa* | δὲ *LClBVa* | ὁμολογῶ om *Cl* 8 ἡμέτερα *BVa* 9 τὸ *M* | ἐκείνου om *Vi* 10 προσέχειν om *ViClBVa* | καὶ τοιαύτη με *BVa* | τίς *ViVa* 11 νὴ τοὺς θεούς om *M* | τοῖς ἐκείνου ῥήμασιν post εἰσῄει *MVi* 13 ἀλλ' ὅδε *Vi* | τὰ *M*
15 πλάττει — διακρούσασθαι citat Planudes fol 38 | τὸ om Mor 16 ψευδέσιν *Cl* sed σιν in ras m² | ἐφ' *Cl* sed in ras m², *Va* sed ὑ supra ἐ m² | ἑαυτούς *Cl* sed ἑ in ras m² 17 ἐν αἷς ante ἐκ *M* | οὖν om *M* 18 στρεβλοῦσι δέουσι *BVa* 22 τὴν om *ViClVa* | καί ex ἤ corr *Va²* | καὶ τὸ om *Cl* | τῷ *M* sed ῷ in ὸ corr m², *Vi* | συνεπισπᾶσθαι scripsi e *MViBVa* συνεπισπάσασθαι *LCl* sed in hoc ι(1) ex ε corr m² et σα in ras, edd

τοὺς ἔξω τῆς αἰτίας ἔχει τινὰ τοῖς δικαίως ἀπολουμένοις ἡδονήν. 61. ἕνα τούτων ἐνόμιζον καὶ τὸν ξένον ἐκεῖνον καὶ τῇ πρὸς τὴν πόλιν προνοίᾳ τῇ παρὰ τῶν νόμων ὀξέως ἐχρησάμην, μή τι ῥῆμα ψευδὲς ἐμπεσὸν ἀνατρέψῃ τὰ πάντα. εἰ δ' οὐκ ὀρθῶς ἐδόξαζον, ἥμαρτον, οὐκ ἠδίκουν. πολὺ δέ, οἶμαι, διέστηκε κακῶς ὑπολαβεῖν ἢ τύραννον ἀγαπᾶν καὶ οὐ ταὐτὸν δήπου στρατηγὸς εὔνους καὶ μάντις. ὁ μὲν οὖν φόβος ὃν ἐφοβήθην εὐνοίας ἦν, τὸ δὲ μηδὲν ἀγνοῆσαι τῶν ἐσομένων ἄλλης ἐδεῖτο τέχνης.

62. Ἔτι τοίνυν αὐτὸς ἐκεῖνος παρεῖχε τὰς ὑποψίας, ὃς ἀφεὶς ἐμὲ καὶ τοὺς πρυτάνεις καὶ τὰς ἄλλας ἀρχὰς τὴν ἐκκλησίαν τὸν νόμον ὑπερβαίνων ἑώρα καὶ τῶν λεγομένων καὶ κυρουμένων ἠκροᾶτο. τοῦ δὲ μηνύοντος οὐ σκευωρουμένου τί ποτ' ἦν; ἐλθεῖν ἐπὶ τὸ στρατήγιον, εἰπεῖν ὅτι βούλοιτο συγγενέσθαι τῷ στρατηγῷ, καταμόνας ἐντυχεῖν, διαλεχθῆναι, διηγήσασθαι, διδάξαι πῶς ἔφυ τὸ κακόν, ποῖ πρόεισι, τίς ὁ τύραννος, τίνες οἱ συνεργοί, μὴ πρὶν ὀνῆσαι τὸν δῆμον, βλάψαι τῇ

---

1 ἀπολλυμένοις *MVi* ἀπολλουμένοις *Cl* 2 τούτων *Va* sed e τοῦτον corr m² 3 τῇ om *Cl* | περὶ *ViVa* sed in hoc in παρὰ corr m² 4 ἰσχύι aut ὀργῇ post νόμων excidisse coni Re, ἐξουσίᾳ Iacobs Lect | ἐκπεσὸν *Vi* 5 ἀνατρέψει *Cl* ἀνατρέψοι *BVa* | τὰ inserui e *MViBVa* om *LCl* edd | παρόντα *B* | δὲ *BVa* | καὶ ἥμαρτον vel ἥμαρτον δέ coni Gasda 7 ἢ scripsi e *MViBVa* edd καὶ *LCl* 12 καὶ (2) — ἀρχὰς om *Cl* | ἀρχὰς scripsi e *MViBVa* cum Iacobsio Lect Gasda Cobeto Misc 154 Coll 295 τύχας *L* edd sed „*malim* τιμάς" Re 13 τὸν νόμον scripsi e *MViClBVa* ut coni Re τῶν νόμων *L* edd 15 σκευωρουμένου scripsi e *MViClBVa* sed in hoc ευ in ras m² σκαιωρουμένου *L* edd sed σκευωρουμένου coni Mor cf. ad p. 211, 5 et 325, 15 | ποτε *MBVa* | τὸν Re 16 ὅτι scripsi e *Vi* ὅ τι reliqui libri edd | punctum post βούλοιτο libri edd delevi | comma post στρατηγῷ inserui, colon *Vi* om reliqui libri edd 17 comma post καταμόνας *LClBVa* edd delevi | ἐντυχεῖν delendum censet Re 18 πρόεισιν *LB* edd 19 ὀνῆσαι scripsi

τῶν νόμων ὑπεροψίᾳ μηδὲ φάσκοντα κήδεσθαι τῶν νόμων ἄρξασθαι τῆς εὐεργεσίας ἀπὸ τοῦ καταλῦσαι τὸν νόμον, ὃν ᾔδει δήπουθεν κείμενον, εἰ μή, νὴ Δία, τῆς πολιτείας ἧς ἐφρόντιζε ξένος ὢν ἄπειρος ἦν. 63. ἀλλ' ἤδη συνειλεγμένων ἧκεν. ἀναμεινάτω μικρὸν ἐπισχών. προσίτω τοῖς ἄρχουσιν. οὐ γὰρ εἰς τὴν ἐκκλησίαν ἔμελλε δήπου βοήσεσθαι | τὸ ἀπόρρητον. R IV 497 τοῦτο γὰρ ἦν οὐ καλῶς ἡμῖν παραδιδόντος τὴν θήραν οὐδ' ὅπως κωλυθείη τὸ κακὸν πράττοντος, ἀλλ' ὅπως εὐθέως ἐν ταραχαῖς εἴημεν. 64. ἃ καὶ ὑμεῖς ἐνθυμούμενοι καὶ ταὐτά μοι περὶ τοῦ ξένου φρονοῦντες ὁρῶντες ἀγόμενον παρὸν ἀντιλαβέσθαι καὶ κελεῦσαι μὴ κτεῖναι εἰάσατε, ἐπετρέψατε, τῷ μὴ παῦσαι τὴν σφαγὴν ἐπῃνέσατε τὸν φόνον, τῷ μὴ μέμψασθαι τὸν ἄγοντα τὸν ἀγόμενον δεῖν ταῦτα παθεῖν ἐκρίνατε. εἰ δ' ἦν ὑμῖν βουλομένοις σῴζειν, τί ἂν ἦν ἐμποδών; οὐκ ἤρκει δύο ῥήματα φῆσαι καὶ τοσοῦτον εἰπεῖν· ἔα τὸν

---

e *MViBVa* sed in hoc ὂν in ras m², cum Iacobsio App Pors 328 Lect et Gasda νοῆσαι *LCl* edd | comma post ὀνῆσαι edd delevi | comma post δῆμον posui e *Vi* om reliqui libri | βλάψει *M* sed ει in η corr m², *Vi*

1 μὴ δὲ libri Ferr 2 καταλύσαι *BVa* sed in hoc ´ in ˜ corr m² καταλύειν *M* 3 τὸν inserui e *MViBVa* om *L Cl* edd 5 εἰ δὴ *ViCl* | punctum post ἧκεν posui comma *M* sed m², *ViClBVa* signum interrogationis *L* edd 6 οὐ scripsi e *MViVa* sed in hoc δὲ add m² οὐδὲ *LClB* edd 7 βιάσασθαι *L* sed γρ βοήσε supra βιάσα βοήσασθαι Ferr Mor 8 ὑμῖν *ViBVa* 10 εὐθέως *M* sed έως in ὺς corr m² | ἡμεῖς Ferr et γρ in marg Mor 11 ταῦτά *ViCl* sed in hoc ˜ add m² ταὐτά *Va* sed ´ add m² ταῦτα *L* 12 ἀντιλαβέσθαι scripsi e *MViVa* ἀντιλαμβάνεσθαι *LClB* et γρ in marg *Va*² edd | κελεύειν *BVa* 15 δὲ *MViCl* 16 τί ἂν ἦν scripsi τίνα τὰ *MVi* τίνα *LClBVa* edd „*malim* τί ἦν ἂν ἐμποδών;“ Re τί ἦν ἐμποδών; Cobet Coll 295 coll Dem. cor. p. 260, 5 17 δύο ῥήματα scripsi e *MViClBVa* ῥήματα δύο *L* edd | φοβῆσαι *MVi* | καὶ om *MVi*

ἄνθρωπον; οὐ γὰρ δὴ τοῦ δήμου παντὸς ἰσχυρότερος ὁ στρατηγός. οἷς οὖν εἰάσατε κτεῖναι, τὸ γοῦν καθ' ὑμᾶς, οὐ κακὸν τὸν φόνον ὡμολογεῖτε.

65. Μὴ τοίνυν, εἰ πᾶσιν ἤρεσκεν, ἀπὸ τούτων ἐγὼ φεύγω μόνος, οὗ τὴν γνώμην ἄνευ τῶν τε πρὸ τῆς τυραννίδος χρόνων καὶ τῶν παρ' αὐτὴν ἔργων δείκνυσιν οὖσαν δημοτικὴν ἃ καθῃρημένης ἤδη φαίνομαι πεποιηκώς. οὐ γάρ, ὅπερ ἦν τοῦ πάλαι συνειδότος, φεύγων ᾠχόμην οὐδὲ ἔδεισα μὴ κριθείην μένων. οὐδεμίαν ἡγησάμην ἀσφάλειαν μεταστῆναι. 66. καίτοι προσβαλλόντων ἤδη τῷ τυράννῳ καὶ τὴν ἐλευθερίαν ἀνακτωμένων καὶ τοῦ πράγματος ζέοντος ῥᾷστον ἦν ἤδη που τὸ γυναῖκα λαβόντα καὶ παῖδας ἐλθεῖν ἑτέρωσε καὶ ζῆν ἔξω τῶν ὑμετέρων νόμων ἐπὶ πάσης ἀδείας. ἀλλ' ἐμοὶ τῷ μηδὲν ὑμᾶς ἠδικηκότι τῆς πατρίδος οὐδὲν ἥδιον. ἔμενον οὖν θαρρῶν οὐδενὸς ἐξελαύνοντος φόβου. 67. μὴ οὖν, ὦ ἄνδρες, τὸν μεθ' ὑμῶν κατ' ἄγνοιαν τοῦ μέλλοντος ἔννομον φόνον μᾶλλον οἰηθῆτε

12 Aristid. Panath. t. I 291, 14 ed. Dind.

2 *γοῦν* om *M* *μὴ ViClVa* 3 *οὐ κακὸν* scripsi e *M* *κακὸν ViClVa* *καλὸν B* *καλὸσ L* sed *σ* in *ν* corr m² *καλῶς* edd | *ἔχειν* post *φόνον* inserendum coni Mor quod probat Re | *τοῦ φόνου B* | *ὡμολογεῖτε* scripsi auctore Re *ὁμολογεῖτε* libri edd 5 *φεύγω μόνος* scripsi e *MViClBVa* *μόνος φεύγω L* edd | *φεύγοιμι* Gasda | *τε* om *BVa* 6 *δείκνυσιν* scripsi e *M ViVa* sed in hoc *γρ δεικνύουσιν* suprascr m², ut coni Re *δεικνύουσιν LClB* edd 7 *καθῃρημένης* scripsi *καθαιρομένης M* sed *αιρο* in *ηρη* corr m², *Va* sed *ο* in *ου* corr m² *καθαιρουμένης LViClB* edd 8 *ἅπερ B* 9 *κριθείην* scripsi e *M ViCl* *κτανθείην LBVa* edd | *οὐδὲ μίαν BVa* edd 11 *ἤδη Cl* sed *η* (2) in ras m² 12 *ἦν* om *MViCl* inser *Va²* 13 *που* om *MViBVa* *δήπου* coni Re | *τὸ* inserui e *MBVa* *τοῦ Vi* om *LCl* edd | *καὶ παῖδας λαβόντα Vi* | *ἐπὶ* ante *ἑτέρωσε Vi* 15 *ἐμοὶ* scripsi auctore Iacobsio App Pors 302 Lect *οἶμαι* libri edd 17 *δικασταί BVa* cf. ad p. 480, 8 18 *οἰηθῆτε* scripsi e *M* sed ex *οἰηθείητε* corr m², *BVa* *οἰηθείητε LViCl* edd

πονηρίας σημεῖον ἢ τὸ μὴ | ταραχθῆναι τῇ καθαιρέσει τοῦ τυράννου τῆς τοῦ στρατηγοῦ δικαιοσύνης σύμβολον μηδὲ τοσούτων ὄντων τῶν τὴν αἰτίαν λυόντων, σπουδῆς ἐν στρατηγίᾳ, μίσους πρὸς ἀντιπάλους, τῆς ἐπιμελείας τῶν νόμων ἣν ἐποιησάμην ὑπὲρ ὑμῶν, αὐτοῦ τοῦ μεμενηκέναι παρ' ὑμῖν ἐν τῇ μεταβολῇ τῶν πραγμάτων, ὑμεῖς τῇ τῶν κατηγόρων δεινότητι πλέον ἢ τῇ τῶν ἔργων ἀληθείᾳ δότε. 68. *μιαρὸν ἔθνος, ὦ ἄνδρες, τὸ τῶν συκοφαντῶν ἐν ταῖς πόλεσι τρέφεται κατὰ τῶν κειμένων νόμων, κατὰ τῶν ἐπιεικῶν ἀνθρώπων, κατὰ τῶν ὀμωμοκότων δικαστῶν. τοὺς μὲν γὰρ οὐδὲν ἀδικοῦντας σπαράττουσι, τοὺς δὲ νόμους, ὅταν τοῦτο ποιῶσιν, ἀναιροῦσι, τοὺς δ' ἐπὶ τοῖς ὅρκοις καθημένους μετὰ τῶν κρινομένων εἰς τὰ μέγιστα ζημιοῦσιν. οἱ μὲν γὰρ ἀποθνήσκουσιν, οἱ δὲ μετὰ ἀρᾶς ζῶσι καὶ παραπέμπουσιν εἰς παῖδας τὴν βλάβην.* 69. *ὥσπερ οὖν τοὺς πολεμίους κοινῇ τοῖς ὅπλοις ἀναστέλλομεν, οὕτω δεῖ καὶ τὴν τῶν συκοφαντῶν ἀναίδειαν καὶ βίαν ὑπὸ τῶν ἀεὶ δικαζόντων ἀνείργεσθαι. δι' οὓς τὸ*

R IV 498

11 cf. ad p. 491, 4

1 *τῶ M* sed *ῶ* in *ὸ* corr m², *Vi* 2 *τοῦ* (2) om Mor Re | *δικαιοσύνης Va* sed *οσύνης* in ras *δικαίας ποινῆς L* sed *γρ δικαιοσύνης* suprascr, Ferr Mor 3 *σύμβουλον Cl* | *μὴ δὲ* libri Ferr | *κωλυόντων L* Ferr Mor 4 *σπουδῆς — ἀντιπάλους* praemisso *λει*$^{\pi}$′ in marg M^m om *ViCl* sed in hoc lac 15—16 litt, *Va* | *στρατηγίᾳ* scripsi e $M^m B$ ut coni Re *στρατείᾳ L* edd | „*malim πρὸς τοὺς ἀντιπάλους*" Re 5 *τῆς* inserui e *MVi* ut inser *Va* om *LClB* edd | *ἧς B* 6 *αὐτοῦ Va* sed *ῶν* supra *οῦ* m² 8 *δότε M* sed *ό* in *ῶ* corr m² | *μιαρὸν Va* sed *ὸ* ex *ῶ* corr m² 9 *δικασταί BVa* cf. ad p. 480, 8 11 *ὀμωμοκότων L* Ferr Mor 12 *οὐκ B* et inser *Va²* 13 *δὲ L* Mor Re 18 *δὴ MVa* sed in utroque *ή* in *εῖ* corr m², Ferr Mor | *καὶ* (1) om *ViCl*

μηδὲν ἀδικεῖν ἴσους ἔχει κινδύνους τῷ πονηρεύεσθαι καὶ παραπλησίως ὑπὸ τὰς ψήφους ὅ τ' ἐπιεικέστατος καὶ ὁ μιαρώτατος ἄγεται. καὶ πλείους γε τῶν χρηστῶν ἢ τῶν φαυλοτέρων ἀπόλλυνται. οἱ μὲν γὰρ ἅμα τοῖς ἀδικήμασιν ὅ τι ἐροῦσι μεριμνῶσι, τοὺς δὲ τὸ πιστεύειν τοῖς βεβιωμένοις ἀπαρασκεύους παραδίδωσι τοῖς μελετῶσι λέγειν. 70. *οἷς ὑμεῖς, ὦ ἄνδρες, ποιήσατε τὴν μελέτην ταύτην μάταιον καὶ τὴν δεινότητα ἀσθενῆ καὶ τὴν ἀναισχυντίαν ἄκαρπον. ὡς νῦν γε τὰς ἄλλας ἀφέντες ἐργασίας ἐν αἷς οἱ βέλτιστοι τῶν πολιτῶν βιοῦσι καρποῦνται τὰ δικαστήρια τὰς γλώττας ἀντὶ ξιφῶν ἀκονῶντες. ἔδωκέ τις φοβηθείς. βέλτιστος, ἐπιεικής, ἐπαίνων ἄξιος. οὐκ ἠξίωσε προέσθαι μηδὲν ἀδικῶν. πονηρός, τυραννικός, πάντα ἠδίκηκε.* 71. *τῶν οὖν δικαζόντων ἕκαστος πιστευέτω ταχέως εἷς τῶν φευγόν-*
R IV 499 *των | ἔσεσθαι καὶ τὴν αὑτοῦ ψῆφον περὶ τῶν ἄλλων τοῖς ὕστερον αὑτῷ δικάσουσιν εἰς παράδειγμα καταλιμπανέτω παιδεύων μὴ προστίθεσθαι τούτοις τοῖς*

6 cf. ad p. 498, 12   12 cf. t. IV 36, 14

1 *ἤγουν οἱ μὴ ἀδικοῦντες ὁμοίως τοῖς πονηροῖς κινδυνεύουσιν L*

2 *τε MViClBVa* | *σχετλιώτατος B* (supra scr. *ἐπιεικέστατος*)   *σχετλιώτατος ViClVa*
3 *μιαρώτατος* scripsi e *MViClBVa*   *σχετλιώτατος L* edd
4 *ἀπόλυνται Vi*   *ἀπιστοῦνται MClVa* sed in hoc *γρ ἀπόλλυνται* in marg m² *ἀπιστοῦνται B* (supra scr. *ἀπόλλυνται*)   5 *ἁμαρτήμασιν BVa* | *ὅτι ViCl* | *τῶ BVa*   *τῷ* vel *διὰ τὸ* coni Iacobs Lect   6 *ἀπαρασκευάστους MVi*   7 *δικασταί BVa* cf. ad p. 480, 8   8 *ματαίαν B* et e *μάταιον* corr *Va*   10 *ἐν* scripsi cum Gasda coll t. III 382, 11   *ἐφ'* libri edd   12 punctum post *φοβηθείς* posui colon *M* comma reliqui libri edd   13 punctum post *ἀδικῶν* posui comma libri edd   16 *αὑτοῦ* et 17 *αὑτῷ* libri edd
17 *παραδείγματα* Mor   18 *καταλιμπανέτω* scripsi e *MVi* *καταλειπέτω Va*   *καταλιπέτω B* Ferr Re   *λιπέτω L* sed *γρ καταλιμπανέτω* in marg, *Cl* Mor

θηρίοις οἳ πείθουσιν ὑμᾶς ὃν πρῴην ἐπῃνεῖτε καὶ τοῖς ὅλοις ἐφίστατε, τοῦτον παραδοῦναι τῷ δημίῳ. καὶ τί γένοιτ᾽ ἂν αἴσχιον πόλει ἢ ὅταν αὐτοὶ οἱ στρατηγοὶ ψήφῳ δικαστῶν ἀπίωσιν, οἷς ἔρως ἐν ὅπλοις ἀποθανεῖν; οὐκ ἴστε ὅτι πρὸς τῷ μὴ δίκαιον εἶναι κτεῖναι τοὺς ἀναμαρτήτους καὶ παρασκευάζει τοὺς ἐχθροὺς τῶν ὑμετέρων στρατηγῶν καταφρονεῖν ὡς οὐκ ἀπ᾽ ἀρετῆς ἐπὶ ταύτην ἀγομένων τὴν τάξιν; 72. νῦν μὲν οὖν ὑμᾶς παρώξυγκε τὸ τῆς τυραννίδος ὄνομα παρὰ τῶν κατηγόρων ἄνω καὶ κάτω στρεφόμενον, χρὴ δ᾽ ἐννοεῖν ὡς ἤδη τινὲς θάνατον τοῦ κρινομένου καταγνόντες αὑτῶν ἐπελάβοντο μηκέτ᾽ οὔσης ἐπανορθώσεως τῷ κακῷ, μόνου δ᾽ ἑνὸς λειπομένου τοῦ μέμφεσθαι σφίσιν αὐτοῖς. ὃ μὴ πάθοιτε νῦν ὑμεῖς. καὶ γάρ, εἰ μὲν ἐμέλλετε στρατηγοῦ στερήσεσθαι μόνον, τάχ᾽ ἂν ἦν οὐ μέγα· νῦν δ᾽ ὑμῖν, ὦ ἄνδρες, περὶ τῶν νόμων ὁ λόγος. 73. πῶς νόμον ἐγὼ τηρήσας κρίνομαι, νόμον τὸν ἐν

---

1 cf. t. III 203, 13; ep. 606, 2   11 cf. t. V 114, 4 sq.

---

1 ἃ πείθει coni Mor | ὑμῖν *B* | πρώην *ViClVa* Ferr | ἐπαινεῖτε *Vi*   2 ἄλλοις *MViCl* | ἐφιστᾶτε *L* Ferr Mor ἐφίστασθαι *Vi* | τοῦτο Re | δημίῳ scripsi auctore Re δήμῳ *LMViClB* edd νόμῳ *Va*   3 τῇ ante πόλει *BVa* | οἳ *BVa* | ὅτ᾽ ἂν *Va* | αὐτοὶ *Va* sed οἱ ex οἷς corr m²   4 ἔρως *L* sed γρ ἔρις in marg ἔρως ἔργον *Va* ἔρις Re | ἐν om *L* sed γρ in marg, Ferr Mor 5 τὸ *Va* sed ὁ in ῶ corr m², Ferr Mor | ἀποκτεῖναι *B* | τοὺς in ras *Va²*   7 ἀπ᾽ *M* sed α ex ε corr m²   8 αὐτὴν *Vi* | μὲν om *B*   9 παρώξυγκε scripsi e *BVa* παρώξυνε *LM* sed in hoc γρ παρώξυγκε in marg *m*, *ViCl* edd | περὶ *ViCl*   10 στρεφόμενον scripsi coll. t. VI 102, 6; t. IV 807, 3 R λεγόμενον libri edd | δὲ *LMViCl* edd   11 ἐσ ante θάνατον *Cl* | voce κρινομένου rursus inc *La* (fol 36) | αὐτῶν libri sed ᾿ in ῾ corr *M²* *Va²*, edd   12 ἀπελαύοντο *Vi*   13 δὲ *BVa*   14 πάθητε libri sed η in οι corr *La²*   15 στερηθήσεσθαι *LaVi* | μόνον *La* sed ου suprascr *p* μόνου *Vi*   16 δὲ *BVa* | ἡμῖν Mor Re | δικασταί *BVa* cf. ad p. 480, 8

τῷ κρύπτειν τὰς ὑμετέρας βουλὰς διδόντα τῶν πολεμίων κρατεῖν; ἂν οὖν ταύτης τῆς φυλακῆς δῶ δίκην, τίς οὐ καταλύσει τοὺς ἱερούς, τοὺς στρατιωτικούς, τοὺς περὶ τῶν προδοτῶν, τοὺς περὶ τῆς σωφροσύνης, τοὺς περὶ τῶν ἱεροσύλων καὶ τυμβωρύχων; ἐῶ τἄλλα, ὦ ἄνδρες. 74. τὰς ἐκκλησίας τίς ἔτι φοβήσεται ξένος, τίς οὐχ ἥξει; τίς οὐ τολμήσει; τίς οὐ παραδὺς καθεδεῖται
R IV 500 συλλέγων τὰ νικῶντα παρ' ὑμῖν τοῖς | τὰ λυσιτελοῦντα ζητοῦσι; τί δὲ τῶν ψηφισμάτων οὐ πανταχοῖ γῆς καὶ θαλάττης ἐξενεχθήσεται; ποῖον δὲ ἀπόρρητον ἔτι, πρὸς Διός, κρείττω ποιήσει τῶν πολεμίων τὴν πόλιν, ὅταν εἰδῶσι μεθ' οἵων βουλευμάτων ἐπ' αὐτοὺς ἴμεν μαχούμενοι; 75. οὐκοῦν οἱ μὲν πέμποντες δεῦρο τοὺς κατασκόπους ἔσονται πολλοί, οἱ δὲ ταῦτα διακονοῦντες οὐκ ὀλίγοι, ὁ δὲ κολάζων τοὺς ἁλισκομένους οὐδείς. ἢ τίς, εἰπέ μοι, στρατηγὸς πάνυ γε πρὸς τὴν ἐμὴν τιμωρίαν βλέπων οὐκ εἴσεται τοῦτο, ὅστις ἂν ᾖ, ὅτι τῷ μὲν ἁλόντι ῥᾷστον εἰπεῖν ὡς ὑπὲρ τῆς πόλεως ἥκοι, τῷ δὲ τὸν νόμον βεβαιοῦντι ταὐτὰ

3 τὰ ἱερὰ *Va* sed οὺς bis suprascr m^2 4 περὶ (1) *La* sed e παρὰ corr *f* | τῆς inserui e *La Vi Cl B Va* om *L M* edd | τοὺς — 5 τυμβωρύχων om *La Vi Cl B Va* 5 τἄλλα *Vi* τὰ ἄλλα *B Va* 6 δικασταί *B Va* cf. ad p. 480, 8 | τὰς ἐκκλησίας in marg Cl^2 | τίς — ξένος citat Planudes fol 38 | φοβηθήσεται *M Vi* 7 τίς (2) — καθεδεῖται citat Planudes l. l. | παραδὺς^{εις} *B* 8 συλλέγων τὰ *Cl* sed ων in ras m^2 et τὰ inser m^2 συλλέγοντα *Vi* | παρὰ ante τοῖς *M* | τοῖς — 9 ζητοῦσι om *La Vi Cl B Va* 9 πανταχοῖ scripsi πανταχοῦ libri edd 10 θαλάσσης *La Vi* | ἐξενεχθήσονται *L* Ferr et γρ in marg Mor 12 ὅτ' ἂν *Va* | εἰδῶσι scripsi ἴσασι libri sed in εἰδῶσι corr M^2, edd ἴδωσι Gasda | ἐπ' αὐτοὺς om *La Vi* 13 ἵεμεν *M La* ἴσμεν *Vi* ἦμεν *B Va* | μαχόμενοι *Va* 14 δεῦρ *La* sed supra ρ ras 15 διακρινοῦντες *Cl* 16 εἴ τις *Cl* | ὁ ante στρατηγὸς *M La Vi Cl Va* 17 βλέπων τιμωρίαν *B Va* 18 ἢ *La* 19 ἥκει *B Va* | ταὐτὰ scripsi ταῦτα (ταῦθ' *Vi*) libri edd

ἅπερ ἐμοὶ προσβαλεῖ, κατήγορος καὶ γραφή; τίς οὖν οὕτως ἀνόητος ὃς ὑπὸ τούτων οὓς εὖ πειρᾶται ποιεῖν κεῖσθαι βούλοιτ' ἄν;

76. Ἃ τοίνυν πρὸς τοὺς ἐπιτηδείους, ὅτε μοι παρῄνουν τοῖς δάκρυσι τῶν παιδίων ἐμαυτὸν ἐξαιτεῖσθαι, διείλεγμαι, ταῦτα καὶ πρὸς ὑμᾶς ἐρῶ. εἰσί μοι παῖδες, ὦ ἄνδρες, παιδευόμενοι κατὰ τοὺς ὑμετέρους νόμους καὶ τοῦτ' ἀκούοντες ἀεὶ παρ' ἐμοῦ, ζῆν ὡς ἐκεῖνοι κελεύουσι. τούτους ἀπεῖπον μηδένα ἄγειν ἐπὶ τὸ βῆμα. μὴ γὰρ σῴζοιτο παρ' ὑμῖν στρατηγὸς διὰ παῖδας ἐλεούμενος ἢ γυναῖκα κλαίουσαν ἢ μητέρα δακρύουσαν ἢ πατρὸς δακρύοντος πολιὰν ἢ φίλους παρεστῶτας. ἐκ τῶν πεπραγμένων ἕκαστος ἀποφευγέτω καὶ κολαζέσθω, κἂν ἄπαις τις ᾖ δίκαιος, ἀθῷος ἀπίτω, κἂν πολλῶν πατὴρ πονηρός, ἀποθνησκέτω. 77. τίσιν οὖν ὑμᾶς ἀντὶ τῶν παίδων ἀξιώσαιμ' ἂν προσέχειν; τῇ τῶν στρατιωτῶν εὐταξίᾳ, ταῖς ἐξόδοις, ταῖς μάχαις, τοῖς στρατηγήμασι, τοῖς ἔργοις. πέμψατε λάθρα παρὰ τοὺς πολεμίους. εἰ μισοῦμαι παρ' ἐκείνοις ζητήσατε καὶ νομίσατε τῆς αὐτῆς εἶναι ψυχῆς μήτε τοῖς ἔξω μήτε τοῖς εἴσω τῆς πόλεως ἐχθροῖς ἐπὶ τῇ πόλει διαλέγεσθαι.

---

5 cf. t. V 15, 12 sq.

---

1 γραφῆ *LaVi* | οὖν om *Cl* 2 οὗτος *LaVi* 4 et 6 με *Va* 6 εἰ δέ μοι *Cl* εἰσὶν οἱ Mor 7 ὦ ἄνδρες scripsi e *MLa Vi* ὦ δικασταί *LBVa* edd ὧδε *Cl* cf. ad p. 480, 8 8 τοῦτ' scripsi e *MLaViClBVa* τούτων *L* edd sed „*abesse malim*" Re tuetur Iacobs Add 85 9 τούτοις *M* sed ι ex υ corr m², Mor | ἄγειν scripsi λέγειν libri edd sed „*lege aut* ἕλκειν *aut potius* ἄγειν" Re 10 σώιζοι τὸ *La* 11 ἢ(3) — 12 πολιὰν om *M LaViClBVa* 13 καὶ] ἢ *M* 14 τίς *LaViBVa* | ἢ *La* | ἀθῶος *LaViVa* Ferr 15 καὶ ante πονηρὸς *M* 16 στρατιωτῶν *M* sed ηγῶν suprascr m² 18 περὶ *MVi* 19 καὶ om *M* | νομίζετε *LaVi* 20 ἔσω *Vi*

R IV 501 78. | Τί σκυθρωποὶ καὶ κατηφεῖς ταξίαρχοι καὶ λοχαγοὶ καὶ στρατιῶται; μνήμη τις ὑμᾶς εἰσέρχεται πεζομαχιῶν ἐκείνων καὶ ὅσα δι᾽ ἵππων νενικήκαμεν καὶ ποθεῖτε τὸν ἡγούμενον, ἀναμιμνήσκεσθε φροντίδων καὶ σκεμμάτων καὶ λύπης οἷς ἐχρώμεθα τῆς τυραννίδος ἐπικειμένης, ἱερῶν ἐν οἷς [ἡμεῖς] ηὐχόμεθα, πομπῶν ἃς ἐπομπεύομεν, μυστηρίων ὧν ἐκοινωνοῦμεν, πόνων οὓς ὑπεμένομεν, ἐλπίδων ἃς ἠλπίζομεν; 79. ἀλλὰ φέρετε, ὦ ἄνδρες, φέρετε τὴν παροῦσαν κρίσιν. οὐκ ἔστι πόλις ἥπερ καθαρεύει συκοφάντου. κἂν ἀποθάνω τῇ ψήφῳ, καὶ τοῦτο φέρετε. νομίσατέ με βέλει πολεμίων πεπτωκέναι. στρατηγὸς ὑμᾶς ἕτερος παραλήψεται τὰ μὲν ἄλλα ἴσως οὐ βελτίων, εὐτυχέστερος δέ. 80. ἔχων τι πρὸς τὴν τελευτὴν παραμύθιον ἄπειμι. εἶδον τὴν πόλιν ἐλευθέραν, εἶδον ἰσχύοντας νόμους, εἶδον συνιόντα δῆμον. ὁρῶ πρὸς ὕδωρ ἀγῶνας. ἐπὶ ταύτης τῆς ἀσφαλείας τοὺς παῖδας καταλιπὼν ἀπέρχομαι. ἑνὶ ταράττομαι μόνῳ, μὴ τοῖς στρατηγοῖς ἀμέλειά τις ἐγγένηται περὶ τοὺς νόμους τῷ φόβῳ καὶ κρίνωσι

---

13 Soph. Ai. 550 sq. 16 Dem. Aphob. I p. 817, 9

---

1 σκυθρωποί· τί κατηφεῖς *M* | καὶ ante ταξίαρχοι *LClB* edd delevi 2 τίς *LaViClVa* Ferr 3 ὅσοι Ferr Mor | δι᾽ om *Cl* | ἵππω *Cl* 4 φροντίδος *MLaViCl* 5 καὶ (1) om *Vi* | λύπη *Vi* | τὲ post οἷς *BVa*, τ᾽ *Cl* 6 ἡμεῖς om *M* cancellavi | εὐχόμεθα edd ἠυχόμεθα *La* 7 ἐπομπεύομεν reposui e libris cum Gasda ἐπομπεύσαμεν edd 8 ὑπεμείναμεν *MLaViBVa* ζο | ἠλπίσαμεν *Va* 10 ἥπερ scripsi e *MLaVi* ἢ *LClBVa* edd | καθαρεύει scripsi e *MBVa* καθαρεύσει *LLaViCl* edd | συκοφαντῶν *M* συκοφάντας *Vi* 11 τῇ om *LaViCl* | καὶ om *Vi* 13 ἐγὼ δὲ ante ἔχων excidisse coni Gasda 14 τί *LaViClVa* 16 δῆμον *Cl* sed δη in ras m² 17 ἀφεὶς *BVa* 18 μόνον *Cl* | ἀμέλεια τίς *Vi*

συμφορώτερον τούτῳ χαρίζεσθαι μᾶλλον ἢ τῶν δικαίων εἶναι.

81. Ἀλλ', ὦ τῆς ἐμῆς τάξεως διάδοχοι, μὴ γὰρ δὴ τῶν ἀδίκων κρίσεων γένοισθε, μηδεμίαν γραφὴν φοβερωτέραν τοῦ γενέσθαι κακοὶ περὶ τοὺς νόμους ἡγήσησθε μηδ' ἀναπετάσητε τὰς ἐκκλησίας τοῖς ξένοις, δυοῖν δὲ τούτοιν μάλιστα σώζετε τὴν πόλιν, τῇ τ' ἐν τοῖς ὅπλοις ἰσχύι καὶ τῷ τηρεῖν τοὺς κειμένους νόμους.

1 συμφορώτερον scripsi e *Cl* cum Gasda coll t. VI 530, 7 συμφερώτερον *LMLaViB* edd συμφερώτατον *Va* | τούτῳ scripsi e *BVa* sed in hoc ω ex οις corr τούτοις *LMLaViCl* edd 4 γένοισθε scripsi e *MLaViBVa* γένησθε *LCl* edd | μὴ δὲ μίαν *LaClVa* Ferr 5 ἡγήσησθε *M* sed η(3) ex οι corr m[2] 6 μὴ δ' *LMViClVa* 7 δυεῖν *Va* | σῶζε *La* sed in σώζετε corr, *Vi* φρουρεῖτε *BVa* | τε *MBVa* 8 κειμένους om *LaViClBVa*

XLV.

Declamatio inscripta *Τὰς πλείους ψήφους κρατεῖν νόμος ἐκέλευεν. ἑπτὰ δικαστῶν δύο κατέγνωσαν θάνατον, δύο ἀτιμίαν, τρεῖς φυγήν. ἀξιοῖ φεύγειν ὁ κατεγνωσμένος*, qua condemnatus duobus suffragiis capitis, duobus infamiae, tribus exilii a civibus petit ut hanc tertiam poenam consciscant, artis Libanianae admiratoribus minus accepta fuit. Neque id iniuria. Nam ab illa arte prorsus abhorret cum exilitate totius argumenti tum inopia atque ieiunitate tractationis, quibus contra authentiam argumentis etiam plus tribuendum esse censeo quam singulis ab usu Libanii alienis vel formis ut *χαρισόμεθα* p. 538, 5 vel vocabulis (ut *ἀειφυγία* p. 530, 5 et 537, 17; *ἀτονεῖν* p. 531, 4; *ἀχαριστεῖν* p. 527, 6; 540, 3) vel locutionibus (ut *ἀδικίᾳ προσφιλής* p. 536, 13; *συμπαθῶς κινούμενοι* p. 531, 19; *μᾶλλον πάντων* p. 536, 20) vel structuris (ut *δυναίμην πείσειν* p. 531, 8; *δεδοικὼς μὴ διαφεύξομαι* p. 531, 14; *ἵνα καὶ — συμβήσεται* p. 538, 10; *κακουργεῖν ἀπέχονται* p. 540, 12; *ᾔδει — περιπεσεῖν τοὺς δικάζοντας* p. 537, 14). Cum tota declamatio tum protheoria tironis opellam produnt[1]). Satis igitur parvus est numerus testimoniorum atque codicum quibus declamatio ad hanc aetatem pervenit. Atque inter hos plus unus est recentissimus et codicis nomine parum dignus.

Sunt autem hi 21:

Incipio a 'corporalibus'.

1. Laurentianus LVII 27 anno 1392 exaratus fol. 167v. Vide t. I p. 59 sq.

Ex hoc descriptus est

2. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV

---

1) Iam A. Gasda, Krit. Bemerkungen zu den Deklamationen des Libanios p. 20 recte: „Am Dativ (*βαθμῷ*), inquit, wird man sich in diesem schwächlichen Produkte aus später Zeit nicht stoßen dürfen." Clausulae Meyerianae constanter ratio habita est. Sed ne in nimis seram aetatem descendamus cavendum est. Religioni Christianae infestum se auctor prodit p. 534, 1 *ἐγὼ δ', ὥσπερ οἱ δυσσεβεῖς, ἐπὶ γῆν βλέπων ἔστενον.* In corpus Libanianum declamatio iam ante Ioannis Doxapatri aetatem recepta erat.

fol. 180v. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti qui eum littera *W* insignivit.

Ex editione Ferrariensi quae Wolfenbuttelanum pro fundamento habuit descriptus est

3. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide t. I p. 67.

4. Laurentianus LVII 21 saec. XIV/XV fol. 289. Vide t. V p. 158 sq.

5. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 426v. Vide t. I p. 24 sq. Contulit meum in usum Pius Franchi de Cavaleriis.

Transeo ad 'eclogarios'.

6. Parisinus gr. 3018 (= P) saec. XV fol. 134v. Correctus est manu secunda. Adhibuit Morellus. Vide t. V p. 173 sq. et supra p. 239 not. 3. Contuli.

7. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 213. Scholia apposita sunt in margine manibus librarii (*m*) et rubricatoris (*rubr*). Vide t. V p. 168 sq. Contuli.

8. Athous Laurae S. Athanasii Ω 123 (= Ath) saec. XIII fol. 136. Singulare est scholion ad p. 535, 3. Vide t. I p. 323 sq. Contulit meum in usum Alexander Lauriotes, vir optimae memoriae.

9. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 106. Correctus est manu secunda (m^2) ex alio codice et manu tertia. Vide t. I p. 362 sq. et t. IV p. 417. Contulit meum in usum Henricus Schenkelius.

10. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 134 (342). Vide t. IV p. 410 sq. Contuli.

11. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 150v. Correctus est manu secunda. Vide t. I p. 48 sq. Contuli.

12. Parisinus gr. 3014 saec. XIV fol. 193v. Vide t. II p. 375 sq. t. V p. 198 et supra p. 78 et 206. Adhibitus est a Morello.

Ex eodem exemplari fluxit

13. Parisinus gr. 2961 saec. XV fol. 11v. Vide t. II p. 188 sq. et t. V p. 195.

14. Parisinus gr. 2988 saec. XIV fol. 312. Vide t. V p. 182 et 198. Adhibitus est a Morello.

15. Parisinus gr. 3019 saec. XIV/XV fol. 163. Vide t. IV p. 306 sq.

16. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 353^{v}. Vide t. I p. 363 sq.

17. Mosquensis bibliothecae synodalis 489 antea 317 saec. XV fol. 80. Vide t. V p. 180 sq.

18. Parisinus gr. 854 saec. XIV fol. 247. Vide t. V p. 171 sq.

19. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 60^{v} e Barberino vel huius exemplari descriptus. Vide t. V p. 7 sq.

20. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 306 saec. XVII/XVIII fol. 64. Continet declamationem cum paraphrasi interlineari. Deest protheoria. Vide supra p. 113.

21. Smyrnaeus bibliothecae scholae evangelicae B-9 saec. XVIII fol. 429^{v} descriptus ex editione Morelliana. Vide t. V p. 415.

Ex his quos in censum vocandos esse duxi codices septem *PMAthMaClBVa* rursus in duas discedunt familias, quarum prior codice *P*, altera codicibus *MAthMaClBVa* continetur. Alterius familiae quattuor sunt propagines *M*, *Ath*, *MaCl*, *BVa*, sed cum *B* tum *Va* etiam vim codicis *M* experti sunt.

Rationem quae inter singulos intercedit codices hoc tibi reddet stemma



Pretium utriusque familiae fere par est.

Cum *P* in lectionibus scholiisque fere congruunt Laurentianus LVII 27 quique ex hoc fluxit Wolfenbuttelanus, ut horum lectiones in apparatum criticum recipere superfluum visum sit.

Excepto prooemio, quod Ioannes Doxapatri in commentario ad Hermogenis *περὶ εὑρέσεων* libellum conscripto et a me e codice Barocciano gr. 175 descripto et a Rabio cum ectypo photographico Vaticani gr. 2228 collato[1]) laudavit, testimonia desunt.

In lucem protracta est declamatio anno 1517 editione Ferrariensi (= Ferr) fol. 88ᵛ—93ʳ quae e Wolfenbuttelano codice fluxit.[2]) Hanc Fed. Morellus editione anno 1606 foras missa Liban. opp. t. I p. 689—699 (= Mor) repetivit nonnullis correctis vel cum *γρ.* in margine positis quae e codice Parisino gr. 3014 sumpsisse videtur.[3]) Duos alios codices *Regios* adhibuit in 'Notatis ad Libanium' editioni praemissis f. VIIᵛ, quorum unus quem dixit *alium Regium Codicem* Parisinus gr. 2988[4]), alter quem dixit *ant. Reg. mnsc.* Parisinus gr. 3018 (= P)[5]) fuisse videtur.

Nonnulla huius editionis vitia Reiskius (= Re) Ferrariensis editionis plane immemor tum ope codicis Wolfenbuttelani tum ex ingenio sanavit, sed uxor quae editionem curavit t. IV p. 502—511 non omnia in textu reposuit.

Paucissima ad hunc corrigendum contulerunt Fr. Iacobsius 'Lectionum' libro[6]), C. Sintenis[7]), Cobetus, permulta A. Gasda.[8])

---

1) Cf. supra p. 478.
2) Cf. t. I p. 75.
3) Cf. t. V p. 198 et supra p. 78 et 206.
4) Cf. t. V p. 198.
5) Cf. supra p. 239 not. 3.
6) Cf. t. I p. 77 et V p. 198.
7) Cf. t. I p. 78.
8) Cf. t. V p. 198.

XLV.

Τὰς πλείους ψήφους κρατεῖν νόμος ἐκέλευεν. ἑπτὰ δικαστῶν δύο κατέγνωσαν θάνατον, δύο ἀτιμίαν, τρεῖς φυγήν. ἀξιοῖ φεύγειν ὁ κατεγνωσμένος.

Προθεωρία.

R IV 502 1. *Μεστὸν πάθους καὶ ἀγωνίας τὸ ζήτημα. οὐ γὰρ ἐπ' ἀδήλοις τοῖς ἀδικήμασιν, ἀλλ' ἐπὶ φανεροῖς ὁ λέγων ποιεῖται τὴν πρόσοδον. ἐλήλεγκται γὰρ πανταχοῦ. ὅθεν μίξει τῷ λόγῳ δάκρυα τὴν συμφορὰν*

P = Parisinus gr. 3018
M = Marcianus gr. 439
Ath = Athous Laurae S. Athanasii Ω 123
Ma = Matritensis 4679, olim N-49
Cl = Berolinensis gr. 195, olim Claromontanus
B = Barberinus II 41, nunc Vaticanus Barb. 220
Va = Vaticanus gr. 82

---

1 Plat. leg. IX p. 856 C 6 cf. t. VI 578, 8 8 cf. p. 530, 8. Isocr. Areop. § 1 p. 140, a

---

1 *Ὅρος τὸ ζήτημα.* ante *Τὰς* Ferr, *Μελέτη. Ὑπόθεσις* Mor Re delevi | *νόμος ἐκέλευε τὰς πλείους ψήφους κρατεῖν Va*^{rubr} | *τοὺς Cl* | *ὁ* ante *νόμος B* 2 *δικασταὶ B* | *τινὸς* ante *θάνατον B* 4 *Ὅρος τὸ ζήτημα* post *κατεγνωσμένος* Mor Re delevi 5 *Προθεωρία* om *Va* *θεωρία Cl* et in marg *AthMa* *Ἡ προθεωρία* Ferr 7 *ἀδήλοις Va* sed *ηλ* in ras m^2 8 *ποιεῖται M* sed *ται* add m^2 *ποιεῖν Cl* | *πρόσοδον* scripsi cum Gasda coll ll. ll. *πρόοδον* libri edd 9 *ὅθεν* om *MAthMaClVa* sed in hoc *καὶ* in marg inser m^2 | *μίξει Ma* sed *αι* supra *ει* m^2 *μιγνύων M*

διηγούμενος, ἵνα τῷ μεγέθει τῶν ἀτυχημάτων ἑλκύσαι δυνηθῇ τοὺς ἀκροατὰς πρὸς ἔλεον. 2. δεῖ δὲ αὐτὸν φαίνεσθαι πανταχοῦ τοῖς δικασταῖς ὁμολογοῦντα χάριν καὶ μάλιστα τοῖς φιλανθρωποτέραν θεμένοις τὴν ψῆφον, ἵνα καὶ τὴν τῶν ἀκουόντων φιλανθρωπίαν καρπώσηται. τὸ γὰρ ἀχαριστεῖν τοῖς φθάσασι καὶ τὴν ἀπὸ τῶν αὖθις ἀκουόντων ἔχει κατάγνωσιν. 3. ζητήσειε δ᾽ ἄν τις πότερον δι᾽ ἑαυτοῦ τῷ λόγῳ χρήσεται ἢ συνηγόρου δεήσεται. φύσει γὰρ τοῖς ἀτίμοις λόγων οὐ μέτεστιν. ὅπερ ὁ σοφώτατος Δημοσθένης εἰδὼς ἤδη καταγνωσθέντος τοῦ Στράτωνος καλεῖ τοῦτον πρὸς τοὺς δικάζοντας καὶ ὑπὲρ αὐτοῦ συνίσταται καὶ πάλιν ἐν τῷ πρὸς Εὐβουλίδην εἰσάγει μετὰ τὴν τοῦ δήμου κρίσιν καὶ κατάγνωσιν οἰκείοις τὸν ἤδη κριθέντα λόγοις χρώμενον. 4. ἐνταῦθα δὲ τὸ πρᾶγμα παντάπασιν ἄπορον. οὔτε γὰρ ⟨παραγραφῇ οὔτε⟩ ἐφέσει ἀγωνίζεται, | ἵνα καὶ φῇ ὡς παρὰ δίκην κατέγνωσται, R IV 503 *ἀλλ᾽ ἡμεῖς εἰσάγομεν οἰκείοις τὸν κριθέντα λόγοις χρώμενον οὐ πρῶτοι τοῦτο καὶ μόνοι νομοθετήσαντες, τοῖς δὲ σοφωτέροις τῶν πρὸ ἡμῶν ἀκολουθήσαντες. τὸ δὲ ἀπειροκάλων ὑπομένειν δόξαν φεύγοντες τοσοῦ-*

---

11 Dem. Mid. § 95 13 Dem. Eubul. § 6 et 56 16 Dem. Eubul. § 6 p. 1301, 3

---

1 *ἀτυχμάτων MCl* sed in utroque *δικ* in *τυχ* corr m², *B* sed *τυχη* in ras *ἀδικημάτων Va* | *ἑλκύσαι Va* sed *λκ* in ras m² *ἑλκῦσαι PAth* sed in hoc ˜ in ´ corr 2 *εἰς Ath* 4 *τὴν* om *Ma* 7 *ζητήσει MAthMa* 9 *λέγων Cl* 10 *μέτεστι Cl* 11 *στράχωνος Ath* *ϛράτωρος Va* 12 *αὑτοῦ Va* edd 16 *παραγραφῇ οὔτε* inserui auctore Re („*aut οὐδὲ leg. est aut, si οὔτε servatur, deest aliquid, e. c. οὔτε γὰρ παραγραφῇ οὔτ᾽ ἐφέσει*“) om libri edd 17 *φήσῃ MVa* 18 *εἰσήγομεν Ath* *εἰσάγωμεν Va* | *χρώμενον λόγοις Va* 19 *χρώμενον P* sed *ώμενον* in ras m² 21 *τοσοῦτο MCl*

τον περὶ τῆς ποιότητος ἐροῦμεν μόνον. οὐ γὰρ ὡς πρὸς ἀγνοοῦντας ἢ καὶ τοὺς ἄμεινον ἡμῶν εἰδότας οἱ λόγοι γίγνονται, τῶν δὲ ἀπειρότερον ἀκουόντων ἕνεκα. 5. καθόλου τοίνυν ἐπὶ τῶν τιμήσεων, ὅταν μὲν ἑαυτοῖς αἰτῶμεν χαλεπώτερα, ἐσχηματισμένον ἀνάγκη τὸν λόγον προάγεσθαι, οἷον εἰ προκειμένης ἀτιμίας αἱροίμεθα θάνατον, ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· μετὰ Χαιρώνειαν γράφει Δημοσθένην Αἰσχίνης τοῦ λοιποῦ μὴ πολιτεύεσθαι. Δημοσθένης ἑαυτῷ τιμᾶται θάνατον. οὐ γὰρ ἵν' ἀπόληται, τὴν τελευτὴν αἰτεῖ, ἀλλ' ἵν' ἕτερόν τι διαπράξηται. 6. ὅταν δὲ κουφοτέραν αἰτῶμεν συμφορὰν προκειμένης καὶ τῆς χείρονος, ὡς ἐπὶ τοῦ προκειμένου πλάσματος, ἀσχημάτιστον καὶ καθαρὸν τὸ αἰτούμενον ἀπ' εὐθείας τοῦ λέγοντος ποιουμένου τοὺς λόγους. πεπεισμένος δὲ ὑμᾶς εὐγνώμονας ὑπάρχειν ἀκροατὰς ἡγοῦμαι μήτε τῷ τάχει

---

2 cf. ad p. 508, 20

---

10 τιμωρίαν ἐπιφέρει in marg *PM*[m]

---

1 παρὰ *Ma* 2 ἢ καὶ om *AthMaClVa* | καὶ inser *P*² | τοὺς aut in ὡς mutandum aut delendum censet Gasda 3 γίνονται *PClVa* edd | ἀπειροτέρων *AthMa* sed in hoc in ἀπειρότερον corr m², *Cl* | ἕνεκεν *AthCl* 4 ἐπιτῶν *Cl* | ἐπιτιμήσεων *MAthMaClBVa* et Mor Not f. VII[v] 5 χαλεπώτερον Ferr Mor sed in hoc γρ χαλεπώτερα in marg 6 προσάγεσθαι *Ath* | αἱροίμεθα scripsi e *MAth* αἱρούμεθα *PMaClBVa* edd sed „*malim* αἱροίμεθα" Re 8 τουλοιποῦ *Ath* sed e τοῦ λοιποῦ corr, *ClB* 9 δὲ post Δημοσθένης inserendum coni Gasda 10 num θανάτου scribendum coll t. V 133, 6; Aesch. fals. leg. § 6 p. 29, 1; Dinarch. or. I § 1? at cf. p. 526, 2 | ἀπόληται scripsi e *MAthClVa* ut coni Re ἀπόλληται *PMa* sed η corr m², *B* edd 13 ὡς inser *Ma*² om *Cl* 15 τοὺς λόγους om *Va* | πεπεισμένος reposui e *MAthMaClBVa* cum Gasda πεπεισμένοι *P* edd | ἡμᾶς *MVa* 16 ἀγνώμονας *Va* sed εὐ supra ἀ m²

τῶν προοιμίων μήτε τῇ καταστάσει μέμψεσθαι. ποῦ γὰρ ἡμῖν μηκύνειν ταῦτα καιρὸς δευτερολογίας δύναμιν τοῦ ζητήματος ἔχοντος καὶ πάντα μετὰ ἀκριβείας τῶν ἀκουόντων εἰδότων; 7. *εἰ δὲ πρὸς ἕκαστον τῶν ὑποπιπτόντων οἰκείως καὶ γοργῶς ἀπηντήκαμεν καὶ μετὰ πάθους μὲν τὰ προοίμια, ἐλεεινὴν δὲ τὴν διήγησιν καὶ τὰς ἀντιθέσεις, ὡς ἔδει, πεποιήμεθα τὸ πλεῖστον τοῦ πάθους ἐν τοῖς ἐπιλόγοις τηρήσαντες καὶ ὥσπερ ἐν κοινῷ τόπῳ τὸν ἔλεον ἐν τῷ τέλει καταπραττόμενοι καὶ πάντα μετὰ ἀκριβείας διήλθομεν, οἱ σὺν ἐπιστήμῃ ἐπαινεῖν μαθόντες οὐκ ἀγνοήσουσιν.*

Ἡ μελέτη.

1. *Εἰδὼς ὑμᾶς, ὦ ἄνδρες πολῖται, καὶ τοῖς* R IV 504
ἀτυχοῦσι τῶν πολιτῶν συναχθομένους καὶ πρὸς τὴν ἀγνώμονα καὶ πονηρὰν τύχην ἐναντίως διακειμένους ἀπήντηκα σωτηρίαν μὲν οὐδ᾽ ἡντινοῦν οὐδὲ ἀσφάλειαν αἰτήσων, κατέγνωσμαι γὰρ ἐπὶ τοῖς ἐσχάτοις καὶ δεῖ-

---

12 *ἡ στάσις ἥδε μελετᾶται κατὰ πραγματείαν Ath*rubr

---

1 *μέμψεσθαι* scripsi cum Gasda *μέμψ*ε*ασθαι M* *μέμψασθαι* reliqui libri edd 2 *ἡμῖν* reposui e libris *ἡμᾶς* edd 6 *μὲν* — 8 *πάθους* praemisso *κείμενον* in marg *Ma*² om *Cl* 7 *ὡς ἔδει* inserui ex *AthMa*² ut „*ex alio Reg. Codice*“, inserendum coni Mor Not et Gasda om *PMBVa* edd 8 *ἐν* „*malim abesse*“ Re fortasse recte | *καθάπερ Ath* 9 *ἐν τῷ τέλει* om *Va* | *πρὸς AthMa* sed in hoc *ἐν* suprascr m², *Cl* 12 *Ἡ μελέτη* om *AthMaVa* *Κατεγνωσμένου λόγος* Mor Re 13 *Εἰδὼς* — 530, 6 *αἰτεῖν* praemissis verbis *καὶ ὁ Λιβάνιος ἐν τῷ παρόντι ζητήματι μελετῶν κατὰ τὸν παρόντα τρόπον προοιμιάσατο* citat Io. Doxap. ad Hermog. *περὶ εὑρ.* I 1 *εἰ δὲ φαῦλον εἴη τὸ πρᾶγμα τὸ γεγενημένον* Rhet. gr. ed. Walz. t. III 66, 22 = Spengel. t. II 178, 14 cod. Vat. gr. 2228 fol. 262. Barocc. gr. 175 fol. 16v ed. Cramer Anecd. Ox. IV 156 16 *ἀπήντηκα* om Doxap cf. p. 531, 8 | *ἡντιναοῦν MaClVa* Doxap | *οὐδ᾽ B* 17 *πάρειμι* post *αἰτήσων* Doxap | *γὰρ* et 530, 1 *μοι* om Doxap

σθαί μοι καιρὸς περὶ τούτων οὐκ ἔτι, ἄλλα δὲ παρ' ὑμῶν δεησόμενος ἥκω ἃ τοῖς ἀτυχοῦσιν εἰς παραμυθίαν περιλέλειπται, τουτέστι τὴν τῆς ἐνεγκούσης ἀλλοτρίωσιν. εἰς τοῦτο γὰρ ἤδη τἀμὰ περιέστηκε πράγματα ὥστε ⟨με⟩ τὴν ἀειφυγίαν ἐν μέρει τῆς μεγίστης φιλανθρωπίας νῦν παρ' ὑμῶν αἰτεῖν. 2. *εἰ μὲν οὖν ἴσην πάντες ἢ ὁμοίαν κατ' ἐμοῦ τὴν ψῆφον ἤνεγκαν οἱ δικάσαντες, οὔτ' ἂν ἐδεήθην προσόδων οὔτ' ἂν ὑμᾶς εἰσελθὼν αὖθις ἠνώχλησα, ἀλλ' ἀναμείνας ἂν τὸν δήμιον ἀπηλλαττόμην· ἐπειδὴ δέ με θανάτῳ καὶ φυγῇ καὶ ἀτιμίᾳ μερίζουσιν, οὐκ ἔχω τίς γένωμαι. μίαν δὲ ταύτην εὗρον παραμυθίαν, τὴν ἀπὸ τῆς ὑμετέρας φιλανθρωπίας ῥοπήν. καὶ δέομαι, ταῦτα κατ' ἐμοῦ κυρώσατε ἃ καί τισιν ἤδη τῶν δικαστῶν ἔδοξε.*

3. *Τοῖς μὲν οὖν δικασταῖς οὐδὲν ἐγκαλῶ, καὶ γὰρ δίκαιον οὕτω με καὶ φρονεῖν περὶ αὐτῶν καὶ λέγειν,*

---

5 cf. p. 537, 17. Plat. leg. IX p. 871 D; 877 C et E; 881 B. Dem. Mid. p. 528, 7 7 Luc. abdic. § 27 8 cf. ad p. 526, 8

---

1 *οὐκ ἔστιν MAthMaB οὐκ ἔστι Cl οὐκέτι* Doxap Mor Re | *δὲ* inser *B* 2 *ὑμῶν* scripsi *ὑμῖν* libri Doxap edd | *δυστυχοῦσιν M τυχοῦσιν* Doxap | *σωτηρίαν* Doxap 3 *περιλέλειπται* scripsi e Doxap *περιλείπεται AthMaClBVa παραλείπεται M λείπεται P* edd | *τουτέστιν Va* 5 *με* inserui auctore Gasda om libri Doxap edd 6 *νῦν παρ' ὑμῶν αἰτεῖν* scripsi e Doxap *νῦν παρ' ὑμῖν αἰτεῖν AthMaCl παρ' ὑμῖν αἰτεῖν νῦν PMVa* edd *παρ' ὑμῖν αἰτεῖν B* | *ἢ ἑκάτερα πάσχειν* post *αἰτεῖν* Doxap 7 *ἢ ὁμοίαν* scripsi *ἢ μίαν* libri edd *καὶ ὁμοίαν* Gasda | *τὴν* om *Ma* | *οἱ δικάσαντες ἤνεγκαν Ma* 8 *προσώπων Va* | *οὐδ' AthMaClB* 9 *εἰς ὑμᾶς ἐλθὼν Va* | *αὖθις* om *MVa* | *ἠνάγκασα MaCl* 10 *δῆμον MMa* sed in hoc in *δήμιον* corr m², *ClVa* | *με* om *Va* 11 *τί „ex antiquo Regio mnsc."* scribendum coni Mor Not 12 *εὗρον* om *MVa* | *αἰτῶ* post *παραμυθίαν M* sed *γρ εὗρον* in marg 16 *οὕτω δίκαιόν με AthMa*

οὐδὲ γὰρ τῇ τῶν δικαζόντων, τῇ δὲ τῶν ἀγωνιζομένων τύχῃ τὸ πρᾶγμα τῆς ἥττης κρίνεται. εἰ γὰρ ἠγνόησάν τινες καὶ διδασκόμενοι, τοῦτο οὐκ ἐκείνοις, τῷ δὲ ἀτονήσαντι συνειπεῖν ζημία γίνεται. διὸ πρὸς μὲν τούτους οὐδέν, πρὸς δὲ τοὺς ἐπηρεάζειν ἐμοὶ συνεχῶς εἰθισμένους καὶ μηδὲ κόρον τῶν κατ' ἐμοῦ κακῶν τὴν ἐμὴν ποιουμένους συμφοράν, ἀλλὰ καὶ μακρότερα χαλεπαίνοντας τοῦ δαίμονος ἀπήντηκα, εἴ πως ἄρα δυναίμην πείσειν ὑμᾶς μὴ τῇ τῶν κατηγόρων ὑπερβολῇ, τῇ δὲ τῶν ἀτυχούντων συμφορᾷ τὴν ἀκοὴν ἐνδοῦναι καὶ τὸν ἔλεον.

4. Μέλλων δὲ τὴν ἐμαυτοῦ τραγῳδεῖν, ὦ ἄνδρες πολῖται, τύχην εὐτολμότερος | πρὸς τὸ δακρύειν R IV 505 καὶ παρακαλεῖν γίγνομαι δεδοικὼς μὲν μὴ τοὺς κακοήθεις πάλιν οὐ διαφεύξομαι, οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς εἰδὼς τοῖς ἀτυχοῦσι τῶν πολιτῶν μᾶλλον ἢ τοῖς ἐπηρεάζειν βουλομένοις χαριζομένους καὶ ῥέποντας. καὶ γάρ, ὅτ' ἐκινδύνευον πρότερον, ἑώρων τοὺς πολλοὺς ὑμῶν συμπαθῶς κινουμένους. εἰς οὓς καὶ νῦν καταφεύγω, ἵνα καὶ τὴν τῶν δικαστῶν κρίσιν βεβαιώσητε

6 cf. p. 409, 13 et 552, 12

1 οὐ *Ath* fortasse recte 2 τέχνῃ coni Gasda 3 καὶ — 4 ἀτονήσαντι in marg add *Ma*² om *Cl* | διδασκόμενοι *Va* sed κ supra δ (2) et ζ supra σκ m² 4 γίγνεται *P* edd κρίνεται *Ath* 6 μὴ δὲ *PMBVa* Ferr 8 τοὺς δαίμονας *Va* 9 πεῖσαι *Ma* fortasse recte πείθειν Gasda at cf. p 522; t. III p. XXIX | ἡμᾶς *Ath* 10 ἀκουόντων *Va* 12 τὴν ἐμαυτοῦ om *Va* 13 εὐτολμότερος *M* sed ο (2) in ras ἀτολμότερος *MaCl* et „*ant. Reg. mnsc.*“ (Mor) ἀτολμώτερος *Va* 14 γίνομαι *P MVa* edd | δέδοικα *MaCl* | μὲν om *AthMaBVa* et „*ant. Reg.*“ (Mor) γὰρ *Cl* | δὴ „*ant. Reg.*“ (Mor) 15 ἄλλα *Ath* ἀλλ' *M* et γρ in marg *Ma*² | καὶ om *AthMVa* et γρ in marg *Ma*² | ὑμᾶς] ὁ *Cl* 17 „*fort.* καὶ ταύτῃ ῥέποντας“ Re 20 βεβαιώσηται *Va*

καὶ τὴν πολλὴν τῶν κατηγόρων ὠμότητα παύσητε καὶ ἐμοὶ τῷ δυστυχοῦντι φιλανθρωποτέραν τὴν συμφορὰν καταστήσητε. 5. ἐξ οὗ γάρ, ὦ ἄνδρες πολῖται, τῇ πόλει γεγένημαι, παρηκολούθησέ μοι πονηρός τις δαίμων καὶ βάσκανος οὔτε τὴν ἡσυχίαν οὔτε τὴν πολιτείαν ἡμῖν ἐπιτρέπων ἀκίνδυνον, ἐν ἀγοραῖς, ἐν θεάτροις, ἐν ἐκκλησίαις, ἐν πανηγύρεσι, πανταχοῦ τὰ ἐμὰ πολυπραγμονῶν μόνα. λέγοντι πολλάκις ἐβάσκαινεν, ἐκκλησιάζοντι συνήδρευε, βουλευομένῳ συμπαρῆν, δικαζομένῳ προὐξένει τὰ χείρονα. 6. ὦ πόσα πρὸς τοῦτον ὠδυράμην πολλάκις, ὦ πόσας κατ' ἐμαυτὸν ἀφῆκα φωνάς· συγχώρησον ἡμῖν, ὦ Τύχη, πρᾶξαί τι λυσιτελέστερον, ἔασον ἀπόνασθαί μου τῆς προθυμίας τὴν πόλιν. δημοτικός εἰμι, λέγειν ἱκανός, πολιτεύεσθαι δυνάμενος. κἂν πολεμίων ἐπίῃ στρατός, οἶδα αὐτῷ ὑπὲρ τῆς ἐνεγκαμένης παρατάττεσθαι. διὸ οὐκ οἴσει μου τὴν ὑπὲρ τῆς πόλεως προθυμίαν οὐδὲ φάλαγξ. ταῦτα καὶ τὰ τοι-

4 cf. p. 558, 1. Od. ε 396. [Luc.] asin. § 19. Greg. Cypr. Ath. defens. t. VI 81, 17

7 πρόδηλος ἡ παρακλητικὴ πρὸς ζῆλον *Ath*

1 κατηγοριῶν *AthMaClB* | παύσηται *Va* | καί μοι *MaClB* 2 φιλανθρωπότερον *Ma* sed ότερον in οτέραν corr m² 3 τῇ πόλει] πολίτης *MaCl* 4 πονηρός τις δαίμων παρηκολούθησέ μοι *B* | τις inser *Ma*² 5 οὔτε τὴν ἡσυχίαν om Mor sed inserenda observavit Not fol. VII^v 7 τἀμὰ *B* 8 ἐβάσκηνεν *Ath* 9 συνήδρευεν *MaCl* sed in hoc εν in ε corr 10 τοῦτον scripsi e *PMMaClBVa* ut coni Mor Not τοῦτο *Ath* edd | ἡμῖν post τοῦτο edd delevi ὑμῖν coni Gasda 11 ὠδυράμην (ο supra α) *B* ὠδυρόμην *AthMa* sed ο non prorsus certum, *Cl* | ἀφῆκε *Cl* 12 ἡμῖν om Mor sed inserendum observavit Not ἡμᾶς *Va* 15 ἐπίῃ καὶ ἐπέλθῃ *Ath* ἐπῇ *MaClVa* 16 οἶδα *Ma* sed α add m² οἶδ' *AthClB* 17 διὸ — 18 φάλαγξ in suspicionem vocavit Gasda 18 τὰ om *B*

αὖτα πολλάκις ἐγὼ κατὰ τοῦ δαίμονος, ὁ δὲ ὥσπερ ἐπὶ τἀναντία παρακαλούμενος ἐφήδρευε παιδαγωγῶν ἡμᾶς ἐπὶ τὰ χαλεπώτερα οὔτε κοινῇ οὔτε ἰδίᾳ συγχωρῶν τὰ ἀμείνονα. συμπαραθέων δὲ ἡμῖν ἄνω καὶ κάτω οὐδὲ μετὰ τὴν συμφορὰν σπένδεται. 7. *καὶ τί δεῖ τὰ πολλὰ λέγειν; τί δὲ περὶ τῶν αὐτῶν ἐνοχλεῖν καὶ δεύτερον; ἴστε γὰρ ἅπαντες τὰ κατ' ἐμοῦ δόξαντα καὶ ὡς εἰσηγόμην εἰς δικαστήριον καὶ ὡς κατήγοροι καθ' | ἡμῶν εὐτρεπεῖς καὶ ὡς ὁ δεῖνά φησιν ἀδικεῖ* RIV 506 *τῶν πολιτῶν δεικνύς τις ἐμὲ τὰ καὶ τὰ διαπραττόμενος καὶ τάδε ποιῶν, πόσας ἐνδείξεις, πόσας ἀπαγωγὰς καταπραττόμενος. καὶ τέλος ἀνηρπαζόμην καὶ παραδοθεὶς ἠγόμην πρὸς τοὺς δικάζοντας.* 8. *ἐγὼ δὲ τὰ μὲν ἀνιώμενος, τὰ δὲ πρὸς τοὺς κατηγόρους ἀγωνιζόμενος, τὰ δὲ ὑπὸ τοῦ πάντα πολεμοῦντος ἐλαυνόμενος δαίμονος τὰς μὲν πρώτας ἀπεκρουόμην γραφὰς καὶ πρὸς ἕκαστον τῶν κατηγόρων ἐπήρκεσα, τέλος δὲ κατ' ἐμοῦ συνθέντες ἄτοπα, οἷά τινες μηχανορράφοι κακῶν, συνεργὸν τῆς γραφῆς τὴν κατ' ἐμοῦ Τύχην κτησάμενοι αἱροῦσι παρὰ τοῖς δικασταῖς καὶ τὴν νικῶ-*

---

11 cf. t. VI 515, 1 18 Eur. Andr. 447; 1116. Themist. or. VII p. 91 d

---

11 *ἔνδειξις ὄνομα δίκης κατὰ τῶν ὀφειλόντων τῷ δημοσίῳ καὶ ἡ ἀπαγωγὴ* (*ἐπαγωγὴ* cod) *ὄνομα δίκης P* cf. schol. B ad t. VI 515, 1

---

2 *τὰ ἐναντία Cl* | *χειραγωγῶν Ath* 3 *ἡμῖν* post *συγχωρῶν Va* 5 *ταπολλὰ B* 6 *τί δὲ*] *καί τί M* | *καὶ* inser *P*[2] om Ferr 8 *ἡγόμην AthMaClB* 9 *εὐτρεπεῖς* scripsi e *MB* ut coni Re *εὐπρεπεῖς PAthMaClVa* edd 11 *τάδε* delendum censet Gasda 12 *ἐπαγωγὰς Ma* (*ἀ* supra *ἐ*) *ἐπαγωγὰς MClVa* *ἀγωγὰς Ath* | *καταπραττόμενοι MaClBVa* | *καὶ* (1) om *MAthMaClBVa* 14 *ἀναγκαζόμενος MVa* 15 *τοῦ*] *τὰ M* 19 *κατ' ἐμοῦ* inser *Ma*[2] | *τέχνην MVa* 20 *αἱροῦσι* scripsi e *MaClBVa* sed

σαν ἀπάγονται ψῆφον. ἐγὼ δ', ὥσπερ οἱ δυσσεβεῖς, ἐπὶ γῆν βλέπων ἔστενον ⟨ἐν⟩ τῇ τῶν δικαζόντων ἐξουσίᾳ κείμενος καὶ περιμένων ἐκεῖθεν χεῖρον ἢ μέτριον τὸ ἀτύχημα καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν.

9. Ἐνταῦθα τοίνυν, ὦ ἄνδρες πολῖται, πῶς τὴν τῶν δικαζόντων ὑμῖν φιλανθρωπίαν διηγήσομαι; οὐ γὰρ ἐπῆρε πάντας εἰς ἀπανθρωπίαν αὐτοὺς ἡ τῶν κατηγόρων ἀπόνοια οὐδὲ ἡ πάντα μοι χαλεπαίνουσα Τύχη τοσοῦτον ἴσχυσεν ὡς ὁμογνώμονας περὶ θάνατον γενέσθαι σύμπαντας, ἀλλ' οἵ γε πλείους αὐτῶν καὶ κατηγόρων ὠμότητα καὶ Τύχης ἤλεγξαν πονηρίαν. 10. καὶ δεδώκασιν ἡμῖν μικροῦ πάντες τὸ σώζεσθαι βαθμῷ τινι πρὸς φιλανθρωπίαν καταβεβηκότες καὶ ἀπὸ τῶν χαλεπωτέρων μεταδραμόντες ἐπὶ τὰ κουφότερα, ὡς εἶναί μοι μέσην τὴν συμφοράν, καὶ μετρίαν καὶ χείρονα. εἴη δὲ ταύτην καθ' ἡμῶν ἰσχύσαι ἣν αὐτοί τε λαβεῖν ἱκετεύομεν ὑμῖν τε πρέπει φιλανθρωπεύσασθαι.

---

2 Iul. Misop. p. 452, 21

---

1 ἀπάγονται] λαμβάνουσι *P* (et *Wolf*)

---

in hoc ex αἴρουσι corr, ut coni Re αἱρουσι *PMAth* edd | περὶ *Va* | δικάζουσι *AthB* et γρ in marg Mor δικάσασι *MaCl*
1 ἐπάγονται *MMaCl* | δὲ *B* 2 γῆν scripsi ex *AthB* ut coni Mor Not τὴν γῆν *MaCl* γῆς *PMVa* edd sed *malim* „εἰς γῆν" Re | ἐν inserui auctore Re om libri edd 3 μέτριον *Ma* sed μέτρ in ras m² μέτριος Re 4 τὸ inser *Ma*² 7 αὐτοὺς post πάντας, non post ἀπανθρωπίαν *B* | τῶν om *Ma* 8 χαλεπήνασα *Ma* χαλεπήνασα *B* 12 τὸ om *Ma* 13 καὶ ante βαθμῷ *Ma* sed del m², *Cl* | ἑνὶ Gasda | καταβεβηκότες *Ma* sed η in ras m² καταβεβοηκότες Ferr 14 καταδραμόντες *AthMa ClBVa* et γρ in marg Mor 16 καὶ] ἢ Gasda coll l. 3 | post δὲ lac 2 litt *P* | ἰσχῦσαι *PMa* sed ˜ in ´ corr, *Cl* fortasse recte at cf. ad t. IV 214, 8 | αὐτοί om *Ma*

11. *Ἀλλ', ἐρεῖ τις, παρελθὼν παρὰ τὸν νόμον ἀξιοῖς.* | *τῶν γὰρ τὴν φυγὴν κατεγνωκότων* R IV 507 *πλείους οἱ λειπόμενοι. καταρίθμει τὰς γνώμας, μὴ τοὺς δικάζοντας, ἄνθρωπε, καί μοι τὰς ψήφους ὅρα ἀφεὶς ἐξ ἡμισείας μερίζειν τοὺς κατεγνωκότας. τί γνώμας εἰς δύο μερίζεις πλείονας; τί δὲ καταλέγεις ἡμῖν τῶν δικαστῶν τοὺς τέσσαρας ἀπεσχισμένους τοῖς βουλήμασι; μέριζε κατ' ἄνδρα τὴν βούλησιν καὶ τοὺς τὴν φυγὴν κατεγνωκότας εὑρήσεις πλείονας.* 12. *σὺ δέ μοι τὰς γνώμας συνάπτων ἀπὸ τούτων οἴει παρακρούσεσθαι. οὐχ οὕτως ὁ δῆμος παρακρούεσθαι πέφυκεν. οἶδε τὰς γνώμας, οἶδε τοὺς δικάσαντας μεθ' οἵας βουλῆς ἐκύρωσαν. θάνατον ἐξ αὐτῶν τινες, ἀτιμίαν ἕτεροι, φυγὴν οἱ πλείους εἰρήκασιν. εἰ μὲν οὖν διπλῆς οὔσης τῆς τιμωρίας τὴν ἐλάττονα παρὰ τὸν νόμον ἐξήτουν, καλῶς ⟨ἂν⟩ εἶχεν ὁ παρὰ σοῦ λόγος· ἐπειδὴ δὲ τριπλῆν τὴν τιμωρίαν κατ' ἐμοῦ ἐξήνεγκαν, μὴ τὰς δύο συνάπτων ἅμα νίκα τούτῳ τὴν λειπομένην τῷ σοφίσματι.* 13. *πρὸς θεῶν, εἰ δὲ θάνατον ᾔτουν προσιὼν ἐγὼ ἢ τὴν ἀτιμίαν κατά τινας τῶν δικασάντων, οὐκ ἂν εὐθὺς ἀνεβόησας; ἄνθρωπε, παρὰ τὸν νόμον αἰτεῖς καὶ φεύγειν ἐξὸν ἀτιμίας ἐρᾷς. οὐ δίδωμί σοι, κἂν*

---

5 cf. ad p. 628, 1 17 cf. ad p. 537, 5

---

1 *ὅρος M*[rubr] 3 *ἀνθορισμός M*[rubr] *ἡ Τιμοθέου λύσις Ath*

---

1 *τίς παρελθὼν MVa* | *περὶ Va* 2 *τὴν* om *AthMaClB* 4 *δικάσαντας AthMaCl* 5 *γρ ἀφεὶς τοὺς ἐξ* in marg Mor 7 *τέτταρας MaClB* | *βουλήμασι* scripsi e *MMaClB* sed in hoc *η* ex *ευ* corr, *Va* *βουλεύμασι PAth* edd 10 *παρακρούσεσθαι* scripsi auctore Re *παρακρούεσθαι* libri edd 11 *ἐξαπατᾶσθαι AthMaClVa* et *γρ* in marg Mor 15 *περὶ Va* 16 *ἂν* inserui ut coni Mor Not et Gasda om libri edd | *περὶ Va* | *διπλῆν MaB* 21 *περὶ Va* 22 *δίδωμί* scripsi ex *Ath*

ἐπιθυμῆς, τὸν θάνατον. δεῖ γὰρ ἐκείνην τὴν ψῆφον νικᾶν ἣν οἱ πλείους τῶν δικαζόντων εἰρήκασιν. εἶτα σὺ μέν, εἴπερ ἄλλου τινὸς ἐπεθύμουν ἐγώ, τὴν φυγὴν διὰ τὸ πλῆθος ⟨ἂν⟩ ἀντέδωκας τῶν δικασάντων, ἐμοὶ δὲ αἰτοῦντι τὴν ἀναχώρησιν κατὰ τὸν νόμον οὐ δίδως; 14. *ἵνα δέ σε μετὰ ἀκριβείας πιστώσωμαι, αὐτό σοι τοῦ νομοθέτου γυμνώσω τὸ βούλημα. εἰδὼς γὰρ ὅτι πολιτείᾳ νομοθετεῖ παρ' ᾗ πλείους δικάζουσι τὰς πλείους ψήφους κρατεῖν προσέταξεν. ᾔδει γὰρ ἀκριβῶς ὅτι τῇ φύσει διαλλάττουσι πάντες ἁπλῶς οἱ δικάζοντες καὶ ὁ μὲν τὴν γνώμην ἀπάνθρωπος, ὁ δὲ ἑτέρου μᾶλλον χρηστότερος, καὶ ὁ* R IV 508 | *μὲν ἀδικίᾳ προσφιλής, ὁ δὲ δικαιοσύνῃ σύντροφος, καὶ τῷ μὲν ὕβρις δοκεῖ τῶν ἐν τῷ βίῳ τὸ χαλεπώτατον, τῷ δὲ κυβεία καὶ μέθη, ἄλλος καθ' ἱεροσύλων ἄσπονδος, ἕτερος πολέμιος τοῖς κατὰ τῶν τετελευτηκότων χεῖρας ἐπιβάλλουσι, καὶ ἄλλος πρὸς ἄλλο τι τῶν ἀδικημάτων παροξύνεται πλέον, τὸν μὲν ἐλύπησεν ἄδικος φόνος, τὸν δέ, εἴ τις τοὺς γεγεννηκότας κακῶς διέθηκε.* 15. *φύσει γὰρ οἱ ἄνθρωποι καὶ μᾶλλον*

---

7 *γνώμη νομοθέτου Mrubr*

MaClB ut „*ex alio Regio*" scribendum coni Mor Not *δίδωσί PMVa* edd
1 *ἐπιθυμῆς Va* sed *η* in ras m² 2 *οἱ* om *Ma* 4 *ἂν* inserui ante *ἀντέδωκας*, post *Ath* om reliqui libri edd inserendum vidit Gasda | *τῶν δικαστῶν ἀντέδωκας B* 6 *τὸν* inserui e *MAthMaClBVa* om *P* edd | *νόμον* Re | colon post *δίδως* Mor | *σοι Ath* 7 *πιστώσωμαι* scripsi e *PAthMaClBVa πιστώσομαι M* edd | *πιστώσω Ma* 9 *δικάζουσι Ma* sed *δι* in ras m² | *κρατεῖν ψήφους AthMaClB* | *ἐπέταξεν MaB* 10 *τῇ* om *MaCl* | *διαλλάττουσιν Cl* 12 *καὶ* om *M* 13 *δικαιοσύνης MaCl* 15 *χαλεπώτατον* scripsi ut coni Re *χαλεπώτερον* libri edd 18 *πλέον παρώξυνται AthMa* sed in hoc *πε* ante *παρ* inser m², *ClB* 20 *οἱ* om *AthMaCl* | *πάντων μάλιστα* coni Gasda

πάντων οἱ δικάζοντες πρὸς πάντα μὲν ἀεὶ τὰ δυσχερῆ χαλεπαίνουσι, πλέον δὲ ἃ πονηρά τις ὄντως ὑπείληφε. διὰ τοῦτο πολλοὶ μὲν ἀνδροφόνους ἔσωσαν ἐπ' ἀδίκοις φόνοις ἡδόμενοι, πολλοὶ δὲ καὶ κατὰ τούτων ἀπάνθρωπον ψῆφον ἐξήνεγκαν φόνου μισοῦντες καὶ πρόσρημα. ἄλλοι τὸν πλεονέκτην ἀφῆκαν ὡς οὐδὲν ἀδικήσαντα τῇ τῆς πλεονεξίας ἡδονῇ καὶ αὐτοὶ κατεχόμενοι. κἂν τὸν ὑβριστὴν ἴδῃς μετὰ τὴν δίκην ἀνεύθυνον, νόμισον ὕβρει χαίρειν τοὺς δικάζοντας. καίτοι γε πολλοὶ μισεῖν οὕτως ὕβριν ἐγνώκασιν ὡς καὶ τὸν μικρόν τι λοιδορησάμενον πυρὶ παραδοῦναι καὶ μάστιξι. 16. *τοσούτων τοίνυν ὄντων οἷς ἥδονται καὶ μισοῦσιν ἄνθρωποι καλῶς ὁ τὸν νόμον τιθεὶς προσέταξε τὰς πλείους ψήφους κρατεῖν. ᾔδει γὰρ πολλάκις περιπεσεῖν τοὺς δικάζοντας ἀνομοίοις τοῖς δόγμασι καὶ ἄλλον ἄλλο τι πλέον κατὰ τῶν δικαζομένων ψηφίζεσθαι, τὸν μέν, ἂν οὕτω τύχῃ, δήμευσιν, τὸν δὲ ἀειφυγίαν ἢ θάνατον, ἄλλον ἀτιμίαν ἢ βρόχον ἢ καὶ μέχρι ῥημάτων αὐτῶν τὴν ζημίαν ὁρίζοντα τῷ κατεγνωσμένῳ. εἰδὼς τοίνυν τοῦτο πολλάκις συμβησόμενον οὕτως ἐνομοθέτησεν, ἵνα τοὺς δικαστὰς ταῖς γνώμαις μετρήσαντες*

---

3 Dem. Aristocr. p. 629, 28 sq. 5 arg. Arist. vesp. Luc. Charid. 10. cf. p. 535, 17

---

2 *οὕτως ClB* 3 *διατοῦτο ClB* | *τοῦτον Ma* 4 *τούτων*] *τῶν δικαίων* (sc. *φόνων*) coni Re *τυραννοκτόνων* Iacobs Lect 125 *τυραννοφόνων* praetulerim sed cf. p. 539, 7. Dem. Aristocr. 629, 28 sq. 5 *ἐξήνεγκαν* scripsi ex *AthMaClB* *εἰσήνεγκαν P MVa* edd 6 *πρόσρημα B* (γρ *σκαιώρημα*) 8 *ἴδοις Va* 16 *πλέον* non post *τι*, sed post *δικαζομένων MaClB* | *κατὰ* om *Va* | *δικαζόντων Va* 17 *οὖν* post *μὲν AthMaCl* | *οὕτως M* | *τύχοι Va* | *δήμευσιν* scripsi auctore Gasda *δημεύειν* libri edd | *τοὺς MaClB* 19 *ὁρίζοντας B* 21 *ταῖς γνώμαις τοὺς δικαστὰς AthMaClB*

πέρας τοῖς ἀτυχοῦσι τὴν πλείονα τούτων ψῆφον ποιώμεθα.

17. Ἀλλ' ἐροῦσιν ἕτερον εὐθὺς κατασκευάσαντες λόγον ὡς πολλοὺς τῶν ἐνοικούντων πονηροὺς γενέσθαι προξενήσομεν, εἰ ταῦτα τούτῳ χαρι-
R IV 509 σόμεθα. ὢ παραδόξου λόγου καὶ | πονηρᾶς ἐπινοίας κατ' ἐμοῦ πάλιν καὶ τέχνης καὶ σοφίσματος, ἄνθρωπε. μὴ γὰρ δωρεὰν αἰτῶ μετὰ τὴν κατάγνωσιν, μὴ γὰρ πανηγύρεως μετέχειν ἀξιῶ μετὰ τὸν ἔλεγχον, ἵνα καὶ πολλοὺς πονηροὺς εἶναι συμβήσεται; τιμωρίαν, οὐ δωρεὰν αἰτῶ, φυγήν, οὐ πανήγυριν. 18. ἀγνοεῖς ὅτι πολλοῖς ἡ φυγὴ πολλάκις θανάτου χαλεπωτέρα νομίζεται; ὁ μὲν γὰρ ἐκ καταγνώσεως ἀποθανὼν πολλάκις κἀν οἰκείᾳ τῇ γῇ κρύπτεται, ὁ δὲ ἐπ' ἐρημίας τοῦτο παθὼν τοῦ πεσόντος ἐν οἰκείᾳ τῇ γῇ δυστυχέστερος. ὥστε μικροῦ λανθάνεις ἡμῖν καὶ συνιστάμενος δι' ὧν βλάπτειν ἐσπούδακας

19. Βούλει σοι δείξω πηλίκην αἰτῶ συμφοράν; πρῶτον μὲν ἱερῶν καὶ γένους σχίζομαι καὶ πατρίδα ταύτην ἐῶ καὶ τάφους προγόνων καὶ μνήματα καὶ δόξαν πατέρων καὶ διηγήματα. οὐκέτι τοῖς πατρῴοις θεοῖς, ἀλλὰ δαίμοσι ξένοις καὶ πλάνοις προσεύξομαι.

---

3 *ἀντίθεσις στοχαστική M*^rubr^ 18 *πηλικότης M*^rubr^

---

5 *χαρισαίμεθα B* 7 *σώματος Va* 9 *μὴ γὰρ* scripsi ex *AthMaClB* *καὶ PMVa* edd sed „*μὴ γὰρ elegantius in alio Regio*“ Mor Not | *ἀξιῶ μετέχειν B* 10 *ἵνα* in lac 3 litt om *B* | *πολλοὺς* om *P* | *εἶναι πονηροὺς MVa* | *συμβῇ Ath* 12 *πολλοῖς* om *MaCl* | *πολλάκις* om *AthMaClBVa* 14 *κἀν* scripsi *κἂν ἐν PMB* Re *κἂν AthMaClVa* Ferr Mor *κἂν* vel *καὶ ἐν* coni Gasda | *δ' AthMaClB* 15 *δυσχερέστερος Cl* *δυσχερέστος Ma* 16 *λανθάνειν* „*alius Regius*“ (Mor Not) 20 *ἐρῶ P* sed *ρ* del, *MVa* 22 *πλάνοις καὶ ξένοις Va* | *πλάνοις* scripsi e *Va*

ποσάκις οἴει με στενάξειν τὴν ἐνεγκαμένην ποθήσαντα, ποσάκις ὀδυρεῖσθαι γένος ἐπιζητοῦντα καὶ συγγενεῖς καὶ προσήκοντας; ἆρα ταῦτά σοι φιλανθρωπότερα θανάτου φαίνεται; ἆρα κουφοτέρα τῆς ἀτιμίας ἡ πλάνη;

20. Ἵνα δέ σοι καὶ πρὸς τοῦτον ἀπαντήσω τὸν λόγον ὡς οὐδὲ πονηροὶ δι' ἐμὲ πλείους γενήσονται, οὕτω λογίζου καὶ ὅρα. τοὺς ἀνδροφόνους κολάζομεν καὶ πολλοὺς ἐπὶ φόνοις ἁλόντας ἡ πόλις ἀνῄρηκεν. ἆρ' οὖν οὐκέτι φόνοι γενήσονται οὐδὲ κατ' ἀνδροφόνων ἔσται γραφή, ὅτι πολλοὺς ἁλόντας ἀνῃρήκαμεν; πικροτάταις καὶ τοὺς μοιχοὺς ἀμυνόμεθα τιμωρίαις, ἀλλ' οὐδὲ ταῦτα πρὸς σωφροσύνην ἀρκέσει τοῖς ὕστερον. εἰσὶν οἱ κατὰ τῶν ἱεροσύλων ὡρισμένοι κίνδυνοι. πῶς οὖν ἱεροσυλοῦντες συνεχῶς τινες ἁλίσκονται; 21. εἰσὶν ἀχαριστίας γραφαί, προαγωγείας ἐγκλήματα,

---

7 Dem. Aristocr. p. 629, 28 sq. 13 Dem. Timocr. p. 738, 27 15 Aeschin. Tim. § 14 p. 3, 9; § 184 p. 26, 17. Poll. III 27. cf. Meier-Schoemann-Lipsius, Att. Process p. 410

---

5 πρός τι *M*rubr (corr πρὸς τί)

πλάναις reliqui libri edd sed „*aut* πλάνοις *aut* πλανήταις *leg. videtur*" Re | εὔξομαι *AthB*

1 με οἴει *B* | στενάξειν et 2 ὀδυρεῖσθαι scripsi στενάξαι et ὀδύρεσθαι libri edd 2 συγγένειαν *B* 3 ἆρα — 4 φαίνεται ante 4 ἆρα — πλάνη posui ex *AthMaClB*, post *PMVa* edd | σοι om *Ma* 5 πρὸς om *B* | τοσοῦτον *MVa* | ἀ cum lac 6 litt *B* ἀπαρτήσω *Va* 6 οὐδὲ vel delendum vel in δὴ corrigendum coni Gasda οὐ *B* | δι' ἐμὲ πονηροὶ *B* 11 πικροτέραις *Ma* sed τέραις in τάταις corr m² | ἀμυνόμενοι *P* Ferr et γρ in marg Mor 12 οὐδὲν *AthMaClB* | ἀρκεῖ Ferr et γρ in marg Mor 13 οἱ delendum censet Gasda 14 τινες συνεχῶς *Va* 15 γραφὴ *Cl* | προαγωγείας *Va* sed ει ex ε corr m² προαγωγίας *Cl* προσαγωγίας *Ma*

πορνείας, ἀσελγείας, πονηροῦ βίου. κατὰ πάντων ὑπόκεινται γραφαὶ καὶ κίνδυνοι. ἆρ' οὖν οὔτε πορνεύουσί R IV 510 τινες οὔτε μοιχεύουσιν | ἕτεροι οὐδὲ ἀχαριστοῦσιν ἄνθρωποι, ὅτι δειναὶ κατὰ τῶν ἁλισκομένων αἱ τιμωρίαι; πολλοῦ γε μὴν τὸν ἐμὸν ἂν ἐτιμησάμην θάνατον τοσαύτην εὐεργεσίαν τῇ πόλει φέροντα, εἰ τοσοῦτον ἀποθανὼν ἴσχυον ὡς μηκέτι πταίειν ποιεῖν τοὺς ὕστερον. 22. ἄνελε τοίνυν καὶ τοὺς περὶ τούτων νόμους. τί γὰρ ἔτι κέρδος τῇ πόλει ἔσονται οὐκέτι ὄντος τοῦ πταίσοντος; ἀλλ' οὐχ οὕτω ταῦτα πέφυκεν, ἀλλὰ φύσει καὶ τύχῃ διώρισται. οὐ γὰρ τῇ τῶν τιμωριῶν ὑπερβολῇ οὐδὲ τῇ τῶν νόμων ἀπειλῇ κακουργεῖν οἱ πλείους ἀπέχονται, ἀλλὰ τῷ προαιρεῖσθαι σωφρονεῖν καὶ βούλεσθαι. 23. τοιγαροῦν εὐτυχῆ καλοῦμεν τοῦτον καὶ ὄλβιον οὐχ ὃν ἂν ἴδωμεν μόνον κακουργοῦντα μηδέν, ἀλλὰ καὶ ὃν μηδὲν ἀδικηθῆναι παρεσκεύασεν ἡ Τύχη. οὕτως οὐ διὰ τοὺς ἁλισκομένους καὶ κινδυνεύοντας σωφρονοῦσί τινες, ἀλλὰ διὰ τὴν ἀρίστην τοῦ βίου πρόθεσιν σωφρονοῦσι καὶ σῴζονται. ποῦ τοίνυν

1 Lyc. Leocr. § 130 p. 130, 25 et 23. Dem. Phorm. p. 913, 6

5 ἐτιμησάμην] ἄξιον ἡγησάμην *P* Mor

1 ἀπόκεινται *AthMaClB* Mor sed in hoc γρ ὑπόκεινται in marg, Re 2 πορνεύσουσί et 3 μοιχεύσουσιν *MVa* 3 ἀχαριστήσουσιν *MAthMaClBVa* et γρ in marg Mor 5 ἂν om *M* 7 ἴσχυον reposui e libris ἴσχυσα edd sed γρ ἴσχυον in marg Mor 9 γενήσονται *MVa* et γρ in marg Mor γενήσεται *AthMa* sed in hoc ε in ον corr m³, *ClB* | μηκέτι *AthMaCl* μηκέτ' *B* | τίνοντος coni Gasda | πταίσοντος scripsi πταίοντος libri edd 12 ⟨τοῦ⟩ κακουργεῖν? at cf. p. 522 13 τῷ om *Ma* τὸ *Cl* 14 καὶ βούλεσθαι ut glossema delendum censet Gasda βουλεύεσθαι *Ath* 15 ὅλον τὸν μόνιμον in marg *Ath* οὐχ ὃν μηδὲν ἀδικηθῆναι μόνον παρεσκεύασεν ἡ τύχη, ἀλλὰ καὶ ὃν ἂν ἴδωμεν κακουργοῦντα μηδέν Gasda 18 σωφρονοῦσί τινες om *M* 19 τινὲς post σωφρονοῦσι *M*

ἔτι σοι καιρὸν ἔχει τὸ σκαιώρημα ὡς ἡ ἐμὴ φυγὴ πολλοὺς εἶναι πονηροὺς ποιήσει τῇ πόλει;

24. Ἀλλὰ μέχρι τίνος ἡμῖν ἐπεμβαίνεις, ἄνθρωπε; σπεῖσαί μοι δυστυχοῦντι παρὰ τὸ προσῆκον, συγχώρησόν μοι τὴν ἐμὴν ὀδύρεσθαι τύχην. τί μου τῇ φυγῇ βασκαίνεις; τί δέ με κωλύεις τῆς ἐπ' ἐρημίας ὁδοῦ; ἐλεεινός εἰμι, οἴκτων, οὐ βασκανίας ἄξιος. εἰ τοῖς ἡμετέροις κακοῖς ἐπεμβαίνειν ἔγνωκας, εἰ τὴν ἡμετέραν συμφορὰν κέρδος νενόμικας, δύναμαί σοι ζῶν ἡδονὴν μᾶλλον προξενῆσαι καὶ γέλωτα. ὁρᾷς; ἂν ἀποθάνω, λήθῃ παραδώσεις τὴν κατ' ἐμοῦ γραφήν· ἂν οἰκῶ τὴν πόλιν τὴν ἀτιμίαν ἔχων, τάχα πού σε καὶ λυπήσω μόνον φανείς· ἂν δὲ τὴν ἐρημίαν, δύνασαί μου καθ' ἑκάστην ἀκούων τὴν πλάνην ἥδεσθαι, ὥσθ' ὅσον ἐγὼ τῇ φυγῇ δυστυχέστερος, τοσοῦτον σὺ γενήσῃ τοῖς ἀλλοτρίοις ἀμείνων κακοῖς.

25. Ταῦτα, ὦ ἄνδρες πολῖται, πρὸς τοὺς ἐπηρεάζοντας ἐμοὶ καὶ πολεμοῦντας εἴρηται. | ἐγὼ δὲ R IV 511 κἂν ἐπταικέναι δοκῶ καὶ δεινῶν ἄξιος τῇ πόλει καὶ τοῦ λοιποῦ τῆς ἐνεγκούσης ἀλλότριος, μέχρι τούτου στῆναι τῇ πόλει τὸν Φθόνον εὔχομαι καὶ μὴ περαι-

8 cf. t. IV 768, 19 R

1 *ἐπὶ σοὶ B* | *σκαιώρημα* scripsi e *MAthMaClB* *σκευώρημα* (αι supra ευ) *Va* *σκευώρημα P* edd cf. ad p. 325, 15 | *ἡ 'μὴ Ma* *ἡμὴ Cl* 3 *ἡμῖν* om *MVa* | *ἐπεμβαίνεις* scripsi cum Gasda coll l. 8 *ἐπιβαίνεις PMB* edd *ἐπιμένεις AthMaClVa* et *γρ* in marg Mor 4 *σπεῖσον μοι B* 5 *μου*] *μοι M* 7 *εἰμι Ma* sed e *μοι* corr m² 8 *ἐπιβαίνειν B* 11 *δὲ* post *ἂν* inserendum coni Gasda 12 *τάχά που Va* *τάχα ποῦ* reliqui libri edd 13 *οἰκῶ* post *ἐρημίαν AthMaClB* | *μέ μου Ma* sed *μέ* del m² | *καθεκάστην ClBVa* et coni Gasda 15 *δυσχερέστερος Ma* 17 *πολίται PMAthMaBVa* edd 20 *τουλοιποῦ B* *τῆς λοιπῆς Ma* | *γίνωμαι* post *ἀλλότριος B* 21 *τὸν Φθόνον εὔχομαι* scripsi e *MAthMa* sed in hoc *εὔχομαι* inser m², *ClBVa* *εὔχομαι τὸν φθόνον P* edd

τέρω χωρεῖν τὰ δυσχερῆ. 26. *φθόνε καὶ δαῖμον καὶ βασκανία καὶ τύχη πονηρά, σὺν ἐμοὶ τὴν πόλιν ἐκλείπετε καὶ δεινῆς ἀπαλλάττετε τὴν ἐνεγκοῦσαν στάσεως. κατὰ μηδενὸς ἔτι τῶν πολιτῶν χορεύοντες ἀρκέσθητε τῇ κατ' ἐμοῦ τρυφῇ. ἱκανὸν τοῦθ' ὑμῖν καθ' ἑνὸς δημοτικοῦ νεανιεύσασθαι. ἰδού, προλείπω τὴν πόλιν, ἰδού, τῶν κοινῶν ἀπαλλάττομαι. μηδεὶς ἔτι μοι τῆς αὐτῆς ἀπολαύσαι τύχης, ὦ πατρῷοι θεοί.*

27. *Ἐβουλόμην καὶ τοῖς στρατηγοῖς διαλεχθῆναι καὶ ῥήτορσι καὶ παρόντων ὑμῶν ὀλίγα τινὰ πρὸς αὐτοὺς ἀποκρίνασθαι. μηδεὶς ἄδικος ὑμᾶς, ὦ σύμβουλοι, κινείτω φθόνος. ἑαυτοὺς τοῖς τῆς πολιτείας καλοῖς συνδιανείματε. εἷς ὑμῖν ζῆλος ἔστω καὶ πόθος ἡ περὶ τὴν πόλιν ὁμόνοια. εἰ τὴν ἐμὴν τύχην ἀεὶ λογίζεσθε, λυσιτελέστερον οἶδ' ὅτι βουλεύσεσθε.*

28. *Τί οὖν, ὦ ἄνδρες πολῖται, τί μέλλετε; ἐγὼ μὲν γὰρ ἤδη καὶ τοῖς φίλοις ἀπεταξάμην καὶ τοῖς συγ-*

17 cf. t. VI 308, 13. Lobeck Phryn. p. 24

17 *ἀπεταξάμην*] *ἀφωσιωσάμην καὶ τὸ εἰκὸς ἐπλήρωσα P* Mor

1 *ὦ* ante *φθόνε* inserendum coni Gasda | *καὶ δαῖμον*] *καὶ καὶ δαῖμον P „interponi velim κακέ“* Re, cui oblocutus est Iacobsius Anth. Pal. III 401 *κακόδαιμον* Cobet Coll 295 num ut glossa delenda? at cf. p. 588, 3 et 543, 2 | *καὶ τύχη πονηρὰ καὶ βασκανία Ma* 2 *ἡμῖν AthMaClB* | *ἐκλείπετε Ma* sed *τε* e *ται* corr m² *ἐκλίπετε B* 4 *χορεύοντες* in lac 9—10 litt om *B* 5 *ἔστω* vel *εἴη* post *ἱκανὸν* inserendum coni Gasda | *ἡμῖν Ma Cl* 8 *ἀπολαύσαι* scripsi cum Gasda *ἀπολαύσῃ MB ἀπολαύσει PMaClVa* et *γρ* in marg Mor *ἀπολαύσοι Ath* edd | *πατρῶοι Va* 10 *ἡμῶν Ath* | *τινὰ* om *B* 12 *ἑαυτοὺς* — 13 *συνδιανείματε*] *ἑαυτοῖς τῆς πολιτείας τὸ σχῆμα σώζετε Ath* *ἑαυτοὺς τῆς πολιτείας θεσμοῖς καταδουλοῦν MaCl* *ἑαυτοῖς τῆς πολιτείας Va* *κατὰ τῆς πολιτείας M* *ἔα τί τῆς ἱκετεύεις B* | *γρ ἑαυτοῖς* in marg Mor | *καλοῖς* scripsi auctore Re *καλῶς P* edd om reliqui libri 13 *συνδιανείματε* Mor sed *γρ εἴκετε* in marg | *εἷς* om *PMAthBVa* Ferr 14 *ἂν* ante *εἰ B* | *γρ ψυχὴν* in marg Mor | *λογίζησθε B* 16 *πολίται BVa* Ferr Mor | *τί* om *ClB* 17 *τοῖς*(2) om *AthB*

γενέσι καὶ προσήκουσι. δότε μοι τὴν ἐρημίαν ἀντὶ τῆς θρεψαμένης, δότε μοι πόλιν τὴν τοῦ δαίμονος. ἀλλὰ τίς ἡμᾶς μετὰ ταῦτα τύχη δέξεται; ποῖ με λαβὼν πάλιν ὁ Φθόνος διαβήσεται; ποίοις ἡμᾶς προσοίσει φέρων τοῖς ὄρεσι; ποῦ θαλάττης ἢ γῆς ἀποθήσεται; ἀλλ', ὁρῶ γὰρ ὑμᾶς στυγνοτέρους γεγενημένους ἅπαντας, τάχα μου τῇ τύχῃ συναλγήσαντες ἑτοίμως δοῦναι τὴν χάριν ταύτην ψηφίζεσθε.

---

1 *καὶ* inser *Ma*[2] | *τοῖς* ante *προσήκουσι* *M* 2 *θρεψαμένης* scripsi e *MAthVaMaClB* *ἐνεγκαμένης* *P* edd | *τὴν πόλιν τὴν* *M* | *ἀλλὰ* scripsi auctore Sinteni *ἄρα* libri sed ´ e ˜ corr *Va*[2], edd *φοράν* cum antecedentibus *τὴν τοῦ δαίμονος* coniunctum coni Gasda 3 *ἡμᾶς* *Ma* sed *ὑμᾶς* in marg | *μεταταῦτα* *PB* *Va* | *ποῖ* scripsi *ποῦ* libri edd 4 *πάλιν* om *M* | *Φθόνος* scripsi *φθόνος* libri edd | *ἡμᾶς* scripsi e *PMMaClVa* cum Sinteni *ὑμᾶς* *AthB* edd | *προσοίσει* *P* sed *ει* in ras m[2] 6 comma post *ἀλλ'* posui om libri edd

XLVI.

Declamatio inscripta *Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησεν. ἐγένετο ὑπὸ λῃσταῖς. ἔγραψε πρὸς τὸν πατέρα λυθῆναι δεόμενος, ὁ δὲ οὐχ ὑπήκουσεν. ἡ γυνὴ ἀποδομένη τὰ ὄντα αὑτῇ ἔπλευσεν ἐπὶ τῷ λύσασθαι. ναυαγίᾳ ἐχρήσατο. ἐξεβράσθη εἰς τὸν τόπον ἐν ᾧ ἦν ὁ ἀνήρ. ἰδὼν ἐκεῖνος τὸ σῶμα καὶ ἐπιγνοὺς ἐδάκρυσε. γνόντες οἱ λῃσταὶ τὴν αἰτίαν ἀφῆκαν αὐτόν. ἐπανελθὼν ἀναγκάζεται ὑπὸ τοῦ πατρὸς γαμεῖν καὶ μὴ βουλόμενος ἀποκηρύσσεται*, qua filius a patre abdicatus, quia memoriam uxoris vita pecuniaque ad ipsum in libertatem vindicandum impendenda naufragio privatae pie colens alterum coniugium repudiaverat, a iudicibus petit ne abdicationem ratam faciant[1]), facundiae Libanianae admiratoribus valde accepta fuit. Itaque non 'corporis' finibus coercita mansit, sed etiam in plures transiit eclogas, quarum una ei primum locum dedit, magnusque est numerus codicum quibus ad hanc aetatem pervenit. Sunt autem hi 37:

Initium facio a 'corporalibus'.

1. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 107 (= H) saec. XIV fol. 66. Vide t. V p. 150 sq. Contuli.

2. Vaticanus gr. 940 (= V) saec. XIII/XIV fol. 54. Correctus est manu secunda. Vide t. V p. 152 sq. Contuli.

3. Laurentianus LVII 27 anno 1392 exaratus fol. 3. In folio 226 exstat dispositio declamationis congrua cum Chisiano, de qua vide quae infra (p. 548) exponam. Vide t. I p. 59 sq.

Ex hoc descriptus est

---

1) Cf. decl. XLVIII et Meier-Schoemann-Lipsius, Att. Process p. 536.

4. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 3. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti qui eum littera *W* insignivit.

5. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI descriptus ex editione Ferrariensi quae Wolfenbuttelanum pro fundamento habuit. Vide t. I p. 67.

6. Laurentianus LVII 21 saec. XIV/XV fol. 53v. Vide t. V p. 158 sq.

7. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 406. Correctus est raro manu secunda. Vide t. I p. 24 sq. Meum in usum contulit Pius Franchi de Cavaleriis.

Corpus mutilatum reddunt codices:

8. Parisinus gr. 3019 saec. XIV/XV fol. 92v. Vide t. IV p. 306 sq.

9. Athous Iberon 193 saec. XIV/XV fol. 59. Vide t. II p. 227 sq.

Cum hoc prorsus consentiunt duo codices:

10. Cremonensis 12228 saec. XV fol. 100v. Vide t. II p. 186 sq.

et

11. Ambrosianus P 116 sup. (638 in catalogo Martinii et Bassii) saec. XV fol. 169v. Vide t. V p. 223 sq.

12. Vaticanus Palatinus gr. 275 saec. XV fol. 71v. Vide t. II p. 192 sq.

Ex eodem quo hic fluxit exemplari

13. Escurialensis *Σ*-I-14 (70 in catalogo Milleriano) saec. XV fol. 67. Vide t. II p. 187 sq.

14. Mutinensis II D 7 (CVI) saec. XV fol. 71v. Vide t. II p. 53 sq.

Transeo ad 'eclogarios' atque incipio ab ecloga in qua declamationum agmen ab hac ducitur et verba *Σκέμμα ὃ Πομπηιανὸς προὔβαλεν* titulo praemissa sunt.

15. Laurentianus LVII 44 (= La) saec. X fol. 1. Correctus est quattuor manibus (*p*, *f*, *n*, *q*). Folium 1r valde detritum est. Vide t. I p. 224 sq. Contuli.

Ex hoc descriptus est

16. Vindobonensis philos. et philol. IV 82 (= Vi) saec. XIV fol. 73. Correctus est manu secunda. Vide t. V p. 169 sq. et infra p. 548. Contuli.

17. Parisinus gr. 2988 saec. XIV fol. 201. Adhibitus est a Morello. Vide t. V p. 182 sq.

Verba illa *σκέμμα ὃ Πομπηιανὸς. προὔβαλεν* non praebent:

18. Athous Laurae S. Athanasii Ω 123 (= Ath) saec. XIII fol. 73. Deest *προθεωρία*. Correctus et interpolatus (cf. p. 566, 16) est manu secunda. Vide t. I p. 323 sq. Ectypum photographicum foliorum 73, 74 et 75[r], quod voce *ἐπίτρεψον* p. 575, 5 desinit, per Henricum Jantsch nactus sum.

19. Mosquensis bibliothecae synodalis 489 antea 317 saec. XV fol. 3[v]. Vide t. V p. 180 sq.

20. Parisinus gr. 3015 saec. XIV fol. 1. Vide t. V p. 175 sq.

Ex eodem quo hic exemplari fluxit

21. Parisinus gr. 3018 saec. XV fol. 1. Vide t. V p. 173 sq.

22. Vaticanus Palatinus gr. 213 saec. XIV fol. 244. Vide t. V p. 183 sq.

23 Vaticanus gr. 224 saec. XV fol. 193. Vide t. II p. 194 sq.

24. Lipsiensis bibliothecae universitatis gr. 38 olim Sinaiticus (= Li) saec. XIV fol. 31. Vide t. VI p. 291 et 293. Lectiones eius ab editione Reiskiana discrepantes Tischendorfius Anecd. sacr. et prof. ed. II p. 39 sq. et Westermannus Excerptorum ex bibliothecae Paulinae Lipsiensis libris manu scriptis part. I (Lips. 1865) p. 17 sq. publici iuris fecerunt. Ego denuo excussi.

Verba illa *σκέμμα ὃ Πομπηιανὸς προὔβαλεν* ante titulum declamationis non in principio, sed in media ecloga collocatae exhibent codices:

25. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 102[v]. Correctus est e *M* vel alio codice cum hoc cognato manu secunda. Vide t. I p. 362 sq. et t. IV p. 410. Contuli.

26. Berolinensis gr. 195 olim Claromontanus

(= Cl) saec. XIV fol. 126 (334) qui ex eodem quo *Ma* fluxit exemplari et duabus manibus (m^2 et m^3) correctus est. Vide t. IV p. 410 sq. De ἔχω manu recentiore in margine initii declamationis scripto cf. t. V p. 413. Contuli.

27. Parisinus gr. 854 saec. XIV fol. 311ᵛ. Vide t. V p. 171 sq.

28. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 220ᵛ. Vide t. I p. 363 sq.

29. Parisinus gr. 3017 saec. XV fol. 204 ex eodem quo Ambrosianus I 49 descriptus. Vide t. II p. 4 sq. Protheoriam contulit Boissonadius.

30. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 47. Vide t. I p. 426 sq.

31. Marcianus gr. 445 saec. XV fol. 162ᵛ. Descriptus est si non ex ipso Vindobonensi (Vi) certe e codice cum hoc artissime cohaerente, sed non prorsus mutationibus, velut *ἔγνωσται* pro *γνωρίζεται* p. 551, 3, caret. Vide t. II p. 51 et supra p. 204. Initium contuli.

Aliarum eclogarum sunt:

32. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 66. Correctus est manibus librarii (*m*), rubricatoris (*rubr*), recentiore (*y*). Vide t. V p. 168. Contuli.

33. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 35. Correctus est manu secunda. Vide t. I p. 48 sq. Contuli.

34. Vaticanus gr. 937 saec. XV fol. 115. Vide t. I p. 329 sq.

35. Vaticanus gr. 481 saec. XV fol. 84ᵛ. Non solum neglegentiae, sed etiam temeritatis vestigia praebet, ut p. 550, 6 *ἔνθα* pro *εἰς τὸν τόπον ἐν ᾧ*; p. 550, 4 *ἦλθε τὸν ἄνδρα* pro *ἔπλευσεν ἐπὶ τῷ*; p. 550, 6 *ὁ δὲ* pro *ἰδὼν ἐκεῖνος τὸ σῶμα καὶ*. Vide t. I p. 369 sq. Initium contuli.

E Barberino ipso vel eius fonte descriptus est

36. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 22. Vide t. V p. 7 sq. et supra p. 182.

Parum codicis nomine dignus est

37. Therapnaeus monasterii XL sanctorum 52 saec. XVIII fol. 224. Vide t. V p. 165.

38. Chisianus R VI 43 (= C) saec. XIV continet foliis 38 et 39r non integram declamationem, sed tantum titulum, protheoriam initiaque singularum partium inscriptionibus insignita: *μελετῶμεν τὸν ἀποκηρυττόμενον: δεύτερον προοίμιον ἐξ ὑπολήψεως: τὸ μὲν οὖν προσῆκον — δακρύων* p. 553, 16—554, 3; *προοίμιον τρίτον ἐξ ὑπολήψεως τοῦ διώκοντος: πλεονεκτεῖν — φαίνεται* p. 554, 16—555, 1; *προοίμιον τέταρτον ἐξ ὑπολήψεως: ἐγὼ μὲν οὖν ἐβουλόμην — μηδὲ ἀνάγκην* p. 555, 15—556, 1; *προκατάστασις ἢ καὶ προδιήγησις: νὴ τοὺς θεοὺς ἐγενόμην — οὐδαμῶς* p. 556, 13—14; *ἐπιφώνημα: ἔδει δὲ ἄρα — ἐτύγχανον* p. 561, 10—14 etc. Eadem opella disponendi excerpendique hanc duasque alias declamationes in codicibus Laurentiano LVII 27 fol. 226 et Wolfenbuttelano fol. 3 exstat.[1]) Scholium in fine ad *ἀμείψασθαι* p. 568, 18 scriptum codicem ex eodem quo *Ma* fluxisse exemplari ostendit. Vide t. I p. 10 sq. Contuli sed exceptis scholiis lectiones in apparatum criticum recipere non e re visum est.

39. Vallicellanus B 70 (15 in catalogo Martinii) saec. XV fol. 205 nihil nisi initium tituli declamationis continet. Vide t. II p. 201.

Ex his in censum vocandos esse duxi codices decem *H VLiLaMAthMaClB Va*. Undecimum *Vi* ab apparatu critico seclusi, quia lectionum indoles eum e *La* descriptum neque, ubi ab hoc discedit, ullo loco meliora praebentem ostendit. Idem de Marciano 445 et Vaticano 481 statuendum esse duxi.

Decem autem illi codices rursus in duas discedunt familias, quarum prior codicibus *HVLiLa*, altera *MAthMaCl BVa* continetur, ita tamen ut fons communis codicum *Ma Cl* etiam vim codicis *La* expertus sit[2]) similiter atque fons communis codicum *B Va* nonnulla e *M* recepit.[3])

Rationem autem quae inter hos singulos codices intercedit hoc tibi reddet stemma

1) Cf. t. I p. 61.
2) Cf. p. 550, 1 et 5; 558, 13; 568, 6 sq.; 570, 11.
3) Cf. p. 558, 10; 572, 10 et 20; 575, 4.



In universum quidem in archetypo reddendo hic quoque fides prioris familiae paulo maior est quam alterius.

Thomas Magister quattuor, Maximus Planudes[1]) usus ille codice cum *MaCl* cognato et auctor excerptorum codicis Darmstadiensis[2]) 2773 fol. 162^{v} singulos locos laudaverunt.

Declamatio in lucem protracta est editione Ferrariensi (= Ferr) fol. 1^{r}—6^{v} quae e Wolfenbuttelano codice prioris familiae fluxit.[3]) Hanc pro fundamento habuit Morellus Lib. opp. t. I p. 818—831 (= Mor), ita tamen ut haud raro ab ea recederet usus codice *Regio*, quem in 'Notatis' editioni praemissis f. VII 4 aeque atque in Menelai declamatione (t. V p. 208, 15) f. I 1 *castigatiorem* dixit, qui Parisinus 2988 fuisse videtur.[4]) Huius editionis menda nonnulla immemor editionis Ferrariensis tum ope codicis Wolfenbuttelani tum ex ingenio sanavit Reiskius (= Re), sed uxor eius quae editionem (t. IV p. 639—653) curavit non omnes mariti emendationes in textu reposuit.

Paucissima ad textum corrigendum contulerunt Fr. Iacobsius in 'Lectionibus'[5]), C. Sintenis[6]), Cobetus.

1) Cf. t. I p. 73.

2) Cf. t. II p. 118. L. Voltz et G. Croenert, Centralblatt f. Bibl. XIV 551.

3) Correctiones margini olim Morelliani, deinde Reiskiani, nunc mei exemplaris huius editionis (cf. t. I p. 68 not. 3) adscriptas Reiskius ex editione Morelliana transsumpsit.

4) Cf. t. V p. 196.

5) Cf. t. I p. 77 et V p. 198.

6) Cf. t. I p. 78.

XLVI.

Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησεν. ἐγένετο ὑπὸ λῃσταῖς. ἔγραψε πρὸς τὸν πατέρα λυθῆναι δεόμενος. ὁ δὲ οὐχ ὑπήκουσεν. ἡ γυνὴ ἀποδομένη τὰ ὄντα αὑτῇ ἔπλευσεν ἐπὶ τῷ λύσασθαι. ναυαγίᾳ ἐχρήσατο. ἐξεβράσθη εἰς τὸν τόπον ἐν ᾧ ἦν ὁ ἀνήρ. ἰδὼν ἐκεῖνος τὸ σῶμα καὶ ἐπιγνοὺς ἐδάκρυσε. γνόντες οἱ λῃσταὶ τὴν αἰτίαν ἀφῆκαν αὐτόν. ἐπανελθὼν ἀναγκάζεται ὑπὸ τοῦ πατρὸς γαμεῖν καὶ μὴ βουλόμενος ἀποκηρύσσεται.

Ἡ προθεωρία.

R IV 639 1. *Οἱ πρὸς τὸ τάχος συντιθέμενοι τῶν λόγων ἀρετῇ μὲν ἀπολείπονται τῶν σχολῇ γραφομένων, δει-*

H = Codex Hierosolymitanus S. Sepulcri 107
V = Vaticanus gr. 940
Li = Lipsiensis bibliothecae universitatis gr. 38
La = Laurentianus LVII 44
M = Marcianus gr. 439
Ath = Athous Laurae S. Athanasii Ω 123
Ma = Matritensis 4679, olim N-49
Cl = Berolinensis gr. 195, olim Claromontanus
B = Barberinus II 41, nunc Vaticanus Barb. 220
Va = Vaticanus gr. 82

5 cf. ad t. VI 402, 10

1 *Σκέμμα* δ̄ (ὁ *Ma*) *Πομπηιανὸς προὔβαλεν* ante *Ἔχων κτλ.* *LaMaCl* Marc. 445 11 *πρότασις* in marg *Ath* *ἀντίληψις ἡ στάσις MMa*[2] *ἀντίληψις Ath*

1 *Ἄλλη μελέτη. Θεωρία* ante *Ἔχων* Mor Re delevi | *τίς* libri edd | *πατρὸς HLa* 2 *λησταῖς LiAthCl* Ferr | *ἔγραψε* — 10 *ἀποκηρύσσεται* add *Va*[rubr] 3 δ̄ν *HV* 4 *αὑτῇ* scripsi *αὐτῇ LiLa*

κνύτωσαν δὲ ὅμως τὸν χαρακτῆρα τοῦ ῥήτορος, ἐπεὶ καὶ Δημοσθένης οὐ πανταχοῦ μὲν ἴσος, πανταχοῦ δὲ γνωρίζεται. 2. τουτὶ δὲ τὸ ζητημάτιον ὅτι μὲν ἐν πάθει κεῖται παντὸς ἰδεῖν, πολλὰ γὰρ δυσχερῆ συμπεσόντα χορηγεῖ τῷ πάθει, ἐκεῖνο δὲ ἴσως οὐ πρόχειρον ἰδεῖν, ὅτι δεῖ τὸ ὑφορμοῦν θεραπεῦσαι. ὑφορμεῖ δὲ τὸ δοκεῖν κατεγνωκότα τὸν πατέρα τοῦ παιδὸς οὐ βουληθῆναι λύσασθαι. εἰ γὰρ καὶ μὴ τὸ πλάσμα τὴν αἰτίαν δίδωσιν, ἀλλ' ὑποπτεύεταί γε. 3. τοῦτο οὖν ἰασόμενος εἰ βούλοιτο καθάπτεσθαι τοῦ πατρός, εὐμεθόδως τοῦτο δράτω, ὥστε | καὶ κερδαίνειν ἐκ τοῦ γιγνομέ- R IV 640
νου καὶ μὴ τὸ ἦθος διαφθείρειν. 4. τὰ δὲ κεφάλαια

---

6 cf. p. 325, 11

---

6 τὸ ὑφορμοῦν] τὸ ὑποπτευόμενον, ὑπονοούμενον (om *Ma*) *M*m*Ma*² ὑποπτευόμενον καὶ ἀναφαινόμενον *C* ἤγουν τὸ ὑποπτευόμενον Thom

---

AthMaCl sed in hoc ˜ e ˋ corr m² αὐτῆς *HVMBVa* edd 5 τὸ *LaVi* | ναναγίᾳ scripsi e *LaMaCl* sed in hoc α in ω corr m², coll p. 575, 1 ναναγίῳ *HVLiMAthBVa* edd 7 γνοὺς *HVLi* | δὲ post γνόντες *MaClBVa* edd delevi | λησταὶ libri Ferr Re 8 τὸ πᾶν *HVLi* | αὐτῶ *HVLi* 9 τοῦ om *Va* 10 ἀποκηρύττεται *MaCl* | τὸ ζήτημα ἀντίληψις post ἀποκηρύσσεται *C*, ἀντίληψις τὸ ζήτημα Mor Re delevi 11 Ἡ προθεωρία scripsi e *B*rubr *Va*rubr Ἡ θεωρία *HVLaMaCl* προθεωρία *C* Ἡ προθεωρία, ἀντίληψις τὸ ζήτημα Ferr ἀντίληψις τὸ ζήτημα προθεωρία *M* Mor Re om *LiAth* 12 Οἱ — 552, 10 βεβίασμαι om *Ath* | τὸ om *La* 13 λείπονται *BVa*

2 ἶσος *MaCl* ἴσως *H* 4 δυσχερῆ scripsi ex *HLiLaMaClB* δυσχερῶς *VMVa* edd 6 δεῖ — θεραπεῦσαι praemissis verbis ἐντεῦθεν δοκεῖ παρῆχθαι καὶ τὸ ὑφορμῶ ἤγουν ὑποπτεύομαι ἐκ μεταφορᾶς τῶν ὑπὸ τοῖς ὅρμοις κρυπτομένων πετρῶν καὶ ὑπόπτων οὐσῶν τοῖς καταίρουσιν. Λιβάνιος ἐν προθεωρίᾳ μελέτης τῆς Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησε citat Thomas Mag. s. v. ὁρμίζω p. 265, 6 ed. R. 8 καὶ inserui ex *HVLiLa* om *MMaClBVa* edd | τὸ μὴ *Va* 9 ὑποπτεύηται *HV* | γοῦν *Ma* | ἰασόμενος scripsi ἰασάμενος libri edd

τὴν μὲν προσήκουσαν ἔχει τάξιν, τὴν δὲ τελευταίαν ἐξεργασίαν οὐκ ἔχει. τοῖς γὰρ τάχους ἐπιμελουμένοις ἔργον εὑρεῖν ὃ χρὴ παραλιπεῖν μᾶλλον ἢ ὅ τι χρὴ λέγειν. 5. ἴσως δ' ἄν τις φαίη βαθύτερον θεωρῶν καὶ καιρὸν ἔχειν ἐνταῦθα τὸ μὴ μηκύνειν. οὐ γὰρ παθαινομένων μακρηγορεῖν. ἐκλύεται γὰρ τοῖς μήκεσι τὰ πάθη. γνώριμον δὲ χωρίον τῶν ἀρχαίων. Ἀριστείδης ἐν Καλλιξένῳ τοῦτο ποιεῖ λέγων οὑτωσί· οὐκ ἂν δυναίμην πέρα λέγειν, μόλις τοι καὶ ταῦτα ἐμαυτὸν βεβίασμαι.

Ἡ μελέτη.

1. Οὔπω κόρον ἔοικεν ὁ δαίμων, ὦ δικασταί, τῶν εἰς ἐμὲ κακῶν εἰληφέναι καὶ ταῦτα οὕτω συχνῶν καὶ

---

1 cf. t. VI 416, 10 5 cf. p. 438, 8 8 Hermog. id. I 6 ed. Rhet. gr. II 289, 7 ed. Spengel.; Sopat. et Marcell. schol. in Hermog. stat. IV 736, 5; 424, 13 ed. Walz.; Philostr. vit. soph. II 9 t. II 89, 14 K. Apsin. rhet. IX 524, 19 ed. Walz. 12 cf. p. 409, 13; 531, 6

---

12 *προοίμιον ἐξ ὑπολήψεως Ath*

---

1 *μὲν* om *HV* | *τελείαν LiLa* 2 *ἐξεργασίαν* scripsi ex *HVLiLa* *ἐργασίαν MMaClBVa* edd | *ἐπιμελομένοις VCl* *ἐπιμελωμένοις* (ου supra) *Va* *ἐπιμενομένοις Li* 3 *μᾶλλον* om *Ma* | *ἢ* om Ferr | *ὅτι LiCl* *ὅτε HV* ὃ Ferr 4 *διαιρῶν B* | *καὶ* om *HVLiLa* 5 *οὐδὲ Li* 6 *τοῖς γὰρ Va* 7 *ἐκ* ante *χωρίον* inser *M*ᵐ | *χωρὶς V* | *ἀριστείδης* inser *Va*² 8 *καλλιξείνω HV* | *λέγων οὑτωσὶ* in marg inser *Va*² | *οὕτως. εἰ La* 9 *μόλιςοι H* | *τι B* et in marg Ferr *τε γρ* in marg Mor | „*fort. καὶ πρὸς ταῦτα*“ Re 11 *Ἡ μελέτη* scripsi ex *HV LaMAthMaClVa*ʳᵘᵇʳ sed *ὁ ἀποκηρυττόμενος* in marg *M*ᵐ*Ma*² om *LiB* *μελετῶμεν τὸν ἀποκηρυττόμενον C* *Ἡ μελέτη, μελετῶμεν τὸν ἀποκηρυττόμενον Wolf* Ferr *ἀποκηρυττομένου λόγος* Mor Re 12 *ἄνδρες LaAth* et *γρ* in marg Mor 13 *ἡμᾶς MaCl*

μεγάλων γεγενημένων. ἐγὼ μὲν γὰρ ᾤμην πέρας εἶναί μοι τῶν δυσχερῶν τὴν ἐπάνοδον, εὑρίσκω δὲ τὴν Τύχην, ἄμεινον γὰρ ἐκείνην ἀντὶ τοῦ πατρὸς λέγειν, ἐπηρεάζουσαν ἔτι. τὸ γὰρ μετὰ τὸν πλοῦν τὸν ἐπάρατον ἐκεῖνον καὶ τοὺς λῃστὰς καὶ τὴν τῆς ἀθλίας γυναικὸς τελευτὴν ἔτι καὶ τῶν οἴκοι πειρᾶσθαι δυσκόλων οὐκ οἶδα εἴ τινι καταλείπει μείζω στενάξαι. 2. *ἀλλ' εἰ μὲν οἱ δυστυχοῦντες ἀδικεῖν νομίζονται καί τινες ἀνθρώπων οὕτως ἀτόπως ἔχουσιν, ἀνάγκη μοι σιωπῇ φέρειν τὴν ζημίαν, | οὐδὲ γὰρ εἰπόντι πλέον οὐδέν· εἰ δὲ χωρὶς μὲν τὰ πονηρεύματα, καὶ τοὺς μὲν μισοῦμεν, τοὺς δὲ ἐλεεῖν εἰώθαμεν, οἶμαι σὺν θεοῖς εἰπὼν τόν τε πατέρα τῆς ὀργῆς παύσειν ὑμᾶς τε διδάξειν ὡς οὐκ ἄξιός εἰμι ταῦτα παθεῖν ἐφ' οἷς εἰσῆγμαι.* R IV 641

3. *Τὸ μὲν οὖν προσῆκον ἦν, ὦ δικασταί, πενθεῖν*

---

7 *ἀξίωσις Ath* 16 *δεύτερον προοίμιον* (*προοίμιον δεύτερον M*) *ἐξ ὑπολήψεως* (*ἐξυπολήψεως Ma*) *τῶν δικαστῶν M*rubr *Ma*² *δεύτερον προοίμιον ἐξ ὑπολήψεως C* *ἐξ ὑπολήψεως δεύτερον προοίμιον Ath*

---

2 *Τύχην* scripsi *τύχην* libri edd 3 *αὐτὴν MaCl* sed in hoc in marg m² | *ἀντὶ* in ras *Cl*² 4 *γὰρ* reposui e libris *μὲν* edd | *ἐπέραστον* Ferr et *γρ* in marg Mor 5 *λῃστὰς HAthCl* Ferr 6 *οἰκείων Li* 7 *οἶδ' ἂν* Cobet Mnem. N. S. III 155 Coll 298 | *τινα HVLi* | *καταλείπει* scripsi e *LiLaMAthBVa* *καταλείποι HVCl* *καταλείπω Ma* *κατέλιπεν* Ferr *καταλίποι* Mor sed *γρ κατέλιπε* in marg, Re | *μείζω Ma* sed ´ et ω in ras m² 9 *μοι* inserui ex *HVLiLaMaCl* om *MAthBVa* edd 10 *εἰπόν τι MAthVa* *εἴπω τί HVLLa* 12 *τοῖς* Re | *σὺν* scripsi ex *HVLiLaAthMaCl* *ξὺν MBVa* edd | *θεῷ M* 13 *εἰπὼν* scripsi e *Li* *εἰπεῖν LaMAthMaClBVa* edd om *HV* | *ἡμᾶς HLi* | *δὲ La* | *διδάξαι LuMa* sed in hoc *ειν* supra *αι* m², *Cl* 14 *οὐκ ἄξιός Cl* sed ξ in ras m² *οὐ δίκαιος BVa* | *τοιαῦτα La* 16 *ὦ* om *BVa* | *δικασταί* scripsi ex *HVLiMMa* sed in hoc *γρ ἄνδρες* suprascr m², *Cl* *ἄνδρες LaAth* edd om *BVa* cf. p. 555, 6; 556, 13; 561, 3

με νῦν ἐγκεκαλυμμένον καὶ θρηνεῖν συνεχῶς τὸ γύναιον καὶ τὸν πατέρα τουτονὶ τὸν χρηστόν, εἰ μὲν ἐβούλετο, κοινωνεῖν μοι τῶν δακρύων, εἰ δὲ μὴ τοῦτο, συγχωρεῖν ἐπ' ἐμαυτοῦ με τὰς ἐμαυτοῦ συμφορὰς ὀδύρεσθαι· ἐπεὶ δ', οὐκ οἶδα τί γνούς, μελανειμονοῦντά με ἕλκει πρὸς τὸ δικαστήριον, τὸν δὲ τῶν θρήνων καιρὸν ἀγῶνος ποιεῖται, δέομαι ὑμῶν, ὦ δικασταί, καὶ ἱκετεύω μὴ συνδραμεῖν τῷ πάθει τῶν ἀδίκως ἀγανακτούντων, ἀλλ' εἰς ὅσον ἔξεστιν ἐπανορθώσασθαι καὶ μὴ περιιδεῖν τοῦτον μὲν ἔρημον γιγνόμενον, ἐμὲ δὲ ἐξελαυνόμενον ἐπὶ τῷ δοκεῖν ἀδικεῖν, ὃ καὶ μάλιστα δέδοικα. ὡς τὸ μὲν παθεῖν τι δεινὸν μέτριον ἔμοιγε καὶ καινὸν οὐδέν, τὸ δὲ προσεῖναί τινα φαυλότητος αἰτίαν, τοῦτ' ἂν εἴη τοῖς σωφρονοῦσιν ἀφόρητον.

4. *Πλεονεκτεῖ μὲν οὖν ὁ διώκων αὐτῷ τούτῳ πρώτῳ τῷ πατὴρ εἶναι, καὶ πᾶν ὅ τι ἂν φθέγξη-*

---

5 *κατασκευὴ Ath* 7 *ἀξίωσις Ath* 12 *βάσις Ath*
16 *τρίτον προοίμιον* (*προοίμιον τρίτον C*) *ἐξ ὑπολήψεως τοῦ διώκοντος CAth* (et *Wolf*) *προοίμιον γ' M*

---

1 *με* om *M* | *ἐγκεκαλυμμένον Cl* sed *μένον* in ras m² | *τὸ γύναιον συνεχῶς Li* 4 *καὶ* ante *συγχωρεῖν B* | *ἐμαυτοῦ* scripsi ex *HVLiLaMMaCl* *ἐμαυτόν Ath* sed *ν* in *ν* corr, edd sed „*malim ἐμαυτῷ*" Re *ἐμαυτῶ BVa* | *με*] *μετὰ HV* | *ἐμαυτοῦ* scripsi e *LaMMaCl* *ἐμὰς αὐτοῦ HVLi* *ἐμὰς AthBVa* edd
5 *ὀδύρεσθαι* scripsi ex *HVLiLaMAthMaClVa* *ὀδύρασθαι B* edd | *δὲ MAthMaClBVa* edd | *μελανειμονοῦντα μὲν MaCl*
6 *πρὸς* reposui e libris *εἰς* edd sed *γρ πρὸς* in marg Mor | *τὸ* inserui ex *HVLaMAthMaBVa* om *LiCl* edd sed *γρ* in marg Mor 7 *ποιεῖται Ma* sed *γρ πεποίηται* suprascr m² | *ὦ δικασταί*, inserui ex *HVLiLaMaCl* om *MAthBVa* edd 10 *γινόμενον LaM* 12 *τί HAthMaCl* 13 *εἰ* ante *καὶ* Mor sed *γρ γε· καὶ* in marg | *τινα* om *HV* *τινος Li* 14 *τοῦτ'* scripsi ex *HVLiLa* *τοῦτο MAthMaClBVa* edd | *σώφροσιν La*
15 *ἀπόρρητον MAthMaClBVa* edd 17 *τρόπῳ H* *πρῶτον La* | *πατρὶ La* sed *ρὶ* in *ὴρ* corr *f* | *ὅτι Cl* | *ἂν* om Ferr

ται τῇ τῆς προσηγορίας προσθήκῃ δίκαιον φαίνεται· παῖς δὲ φεύγων καὶ κρινόμενος, ἂν μὲν ὑποστείληται καὶ τὸν ἐφεστηκότα κατήγορον αἰδεσθεὶς ὑπερβῇ τι τῶν ἰσχυρῶν, ἑάλωκεν· ἂν δ' οἴηται δεῖν ἑαυτῷ βοηθεῖν αὐτῷ τῷ τὰ δίκαια λέγειν, θρασύνεσθαι δοκεῖ. 5. *ἓν μὲν οὖν, ὦ δικασταί, τοῦτο τοσοῦτον ἐλαττοῦμαι, ἕτερον δ' οὐ μικρόν. ἀνάγκη γὰρ* | *τῇ μνήμῃ τῶν* R IV 642 *γεγενημένων καὶ μάλιστα δὴ τῆς γυναικὸς εἰς ταραχὴν ἐμπίπτοντα τῶν λογισμῶν ἐκκρούεσθαι. ἂν οὖν τι τοιοῦτον συμβαίνῃ, βοηθεῖτε τῷ κινδυνεύοντι καὶ παρ' ὑμῶν αὐτῶν πληροῦτε τὰ ἐλλείμματα. τὸ γὰρ τὰ εὔορκα ψηφίζεσθαι τοῦτο ἔστι τὸ τοῖς πανταχόθεν φαινομένοις ἀκολουθεῖν, κἂν ὁ λέγων ἀδυνάτως ἔχῃ σώζειν ἑαυτόν.*

6. *Ἐγὼ μὲν οὖν ἐβουλόμην, ὦ πάτερ, ἐν ἡμῖν αὐ-*

---

9 Chrysipp. apud Plut. de virt. mor. p. 450 C   12 Dem. Androt. p. 605, 20

---

9 *ἀπόδοσις Ath*   11 *βάσις Ath*   15 *προοίμιον τέταρτον ἐξ ὑπολήψεως* (*ἐξ ὑπολήψεως τέταρτον Ath*) *CAth* et *Wolf* *προοίμιον δ' M*rubr

---

3 *ἐφεστηκότα Ma* sed ε(1) in ras m² | *τι* om Re   5 *αὐτῷ τῷ* scripsi e *LaMAthBVa* *αὐτῷ HV* *αὐτῷ Li* *αὐτῷ τούτῳ τῷ MaCl* Ferr et γρ in marg Mor, Re *τούτῳ τῷ* Mor | *δόξει θρασύνεσθαι MaCl*   6 *ἄνδρες MAthBVa* | *τοῦτο* inserui ex *HVLiLaMaCl* om *MAthBVa* edd   7 *δὲ MAthMaClBVa* edd | *τι* post *μικρόν* edd delevi   8 *καὶ — γυναικὸς* in marg *Ath*   9 *τῶν λογισμῶν M* sed *τὸν λογισμὸν* suprascr rubr *τὸν λογισμὸν MaCl* | *τι* om *HV*   10 *συμβαίνῃ* scripsi ex *HLiMaCl* *συμβαίη VAthBVa* et γρ in marg Mor *συμβῇ LaM* edd   11 *ἐκπληροῦτε Li* | *τὰ* om *B* | *ἐλείμματα Ma* sed *λείψεις* supra *λείμματα* et *ὑστερήματα* in marg m²
12 *τοῦτό ἐστι* libri edd | *τὸ* inserui e libris om edd
13 *ἔχει Li* | comma post *ἔχῃ* edd delevi   15 *ἐγὼ μὲν οὖν V* sed *γὼ μὲν οὖν* in ras m² | *οὖν* om *H* | *ἠβουλόμην HVLi* | *ὑμῖν Li*

τοῖς ἑστάναι τὰ συμβεβηκότα μηδὲ ἀνάγκην προσεῖναι τοῦ ταῦτα φέρειν εἰς μέσον. διὰ τί; οὐ πάντες ἡμῖν ἔχουσιν οἱ κατὰ τὴν πόλιν ἐπιτηδείως, ἀλλ' εἰσὶν οἳ καὶ μισοῦσιν. οὐδὲ γὰρ ἔνεστιν ἀνθρώπους ὄντας μὴ καὶ δυσχεραίνεσθαι. 7. τί οὖν τούτους εὐφραίνομεν τοῖς ἡμετέροις κακοῖς; τί τοῖς διαφόροις χαρίζῃ τὰ τιμιώτατα τῶν σαυτοῦ περιελαύνων; πέπρακταί τινα χαλεπά. σιωπάσθω ταῦτα. κέρδος λαθεῖν τοὺς πολλοὺς συμφορὰς γεγενημένας. ἐπεὶ δὲ οὐ συγχωρεῖς ἡσυχάζειν ἐθέλοντι, ἀλλ' ἐν δικαστηρίῳ δεῖ με τραγῳδῆσαι τὰ πάθη τῆς οἰκίας, λέξω καὶ διηγήσομαι ἄκων μέν, ἄκων, νὴ τοὺς θεούς, ἐρῶ δ' οὖν ὡς ἂν οἷός τε ὦ.

8. Ἐγενόμην, ὦ δικασταί, τούτῳ παῖς δυστυχὴς μὲν ἄγαν, πονηρὸς δ' οὐδαμῶς. τεκμήριον δέ, οὐ γὰρ ἀπεκήρυξε πρότερον οὐδ' ἐπήνεγκεν αἰτίας, οὐ μικράς, οὐ μείζους, ἀλλ' ἔστεργεν, ἐπαίδευεν, ἐπῄνει. πολλάκις

---

6 cf. t. V 437, 7

---

6 διαφόροις] ἐχθροῖς suprascr *Ma*^{2} 13 προκατάστασις ἢ (ἤτοι *Ma*) καὶ (om *MMa*) προδιήγησις *M*^{rubr}*CMa*^{2} *Wolf* διήγημα *Ath*

---

1 μὴ δὲ *HLiLaAthClB* Ferr 2 διατί *HLiAthMaClBVa* 4 οὐ δὲ *HLiCl* 7 τινα reposui e libris sed α ex ῶν corr *Laf* τινι edd sed γρ τινὰ in marg Mor 8 post χαλεπά comma libri, signum interrogationis Mor Re | λαβεῖν *H* | πολλοὺς *La* sed οὺς in ras *f* 11 εἴπω *Va* 12 δ' οὖν scripsi ex *HV LiLa* sed in hoc γρ δὲ in marg *p*, *MaCl* δ' *MAthBVa* δὲ edd | ὡς scripsi ex *HLi* et γρ in marg *Lap* ὅσα *VLaMAth MaClBVa* edd 13 νὴ τοὺς θεοὺς ante ἐγενόμην *AthBVa* edd delevi cum Iacobsio Lect 133 | ὦ δικασταί scripsi ex *HVLi MaCl* ὦ^{δ} *La* ὦ ἄνδρες *MAthBVa* edd 14 δὲ *MAthMa ClBVa* edd | οὐδὲ *MAthBVa* 15 ἀπεκήρυξε *Ma* sed ε(2) in ras m^2 | οὐδὲ *MAthBVa* edd | ὑπήνεγκεν *V* ἐπήνεγκα *Ma* 16 ἔτρεφεν· ἐπεμέλετο post ἐπῄνει *Li*

ηὔξατο τοῖς θεοῖς φυλάττειν αὐτῷ τὸν τοῦ κλήρου διάδοχον. 9. ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι γάμου, πρὸς ἐμὲ μνημονεύει. καὶ διηγεῖτο τὸ γένος τῆς κόρης, τὴν σωφροσύνην τῶν τρόπων, τοῦ σώματος τὴν ὥραν, πάντα οἷς ἄν τις ἐπισπασθείη νοῦν ἔχων, καὶ τελευτῶν προσέθηκεν | ὡς, εἰ μὴ τὸ παρὸν ἁρπάσαιμι, R IV 643 μηκέτι ζητήσει παραπλήσιον γάμον. ἐπείσθην. τί γὰρ οὐκ ἔμελλον τοσαῦτα ἀγαθὰ προσίεσθαι; καί, νὴ Δία γε, τὸν πατέρα τῆς προνοίας ἐθαύμασα. τί δεῖ καθ' ἕκαστον λέγειν ὅσα παρ' ἡμέραν ἐξέφερε γυναικείας ἀρετῆς ἐπιδείγματα; ἓν γὰρ τὸ εἰς ἐμὴν μετὰ χρημάτων ἀποπλεῦσαι ἐλευθερίαν, ὃ πᾶσιν ἐπέθηκε, γνώρισμα τῶν ὅλων γίγνεται. 10. ὄντων οὖν ἡμῶν ἐν ἅπασι χρηστοῖς καὶ κουφιζόντων τὰ λυπηρὰ καὶ συναυξόντων τὰ βελ-

2 sq. cf. t. VI 516, 12 sq. 7 sq. cf. t. VI 518, 1 sq.

1 *αὐτῷ* libri edd 2 comma post *εἶναι*, non post *γάμου* *HMaCl* 3 *διηγεῖτο* scripsi ex *HVLiLa* *διηγεῖται* *MAthMaClBVa* edd 4 *τὸν τρόπον* *La* sed e *τῶν τρόπων* corr *f*, Ferr et *γρ* in marg Mor 5 *τελευτῶν* *Ma* sed *ῶν* in ras m² *τελευτὼν* *AthB* Ferr 6 *κατὰ* ante *τὸ* *HVCl* edd delevi ut delendum coni Re | *ἁρπάσαιμι* scripsi ex *HLiLaMMaCl* et *γρ* in marg Mor ut coni Re *ἁρμόσαιμι* *VAthBVa* sed in hoc *γρ ἁρπάσαιμι* in marg, edd *εἰ μὴ κατὰ τὸ παρὸν ἁρμόσαιό μοι* coni Iacobs Lect 7 *ζητήσει παραπλήσιον γάμον* scripsi *ζητῆσαι παραπλήσιον γάμον* *HLiLa* *ζητήσησ* (sed *ήσησ* ex *ῆσ* corr *V²*) *παραπλήσιον γάμον* *VMaCl* *παραπλήσιον γάμον ζητήσῃς* *MAthB* sed in hoc *ῃ* ex *ει* corr, *Va* edd sed *παραπλήσιον γάμον ζητῶν εὕροιμι* coni Re 9 *γε* inserui ex *HLiLaMAthMaClVa* om *VB* edd | *καὶ* ante *τί* *B* | *δὴ* *H* | *καθέκαστον* *HLaAthCl* 10 *ἡ γυνὴ* post *ἐξέφερεν* *B* 11 *ὑποδείγματα* *M* sed *ἐπι* suprascr rubr, *Ma* | *ἐν* *Ath* | *μὲν* post *ἓν* inser *Ma²* | *τὸ* — 12 *ἐλευθερίαν* om *HVLiLaMaCl* | *μετὰ* scripsi auctoribus Re („*num εἰς ἐμὴν, αὐτὴν νὴ Δί' ἀχρήματον οὖσαν ἀποπλεῦσαι an εἰς ἐμὴν μετὰ χρημάτων*“) et Sinteni *διὰ* libri edd *γρ διὰ κυμάτων* in marg Mor qui vertit: „*per fluctus*“ cf. p. 561, 5; 562, 7; 574, 17 sq. 13 *γίνεται* *HVLiMAthVa* edd

τίω δαίμων πονηρὸς τῇ συζυγίᾳ φθονεῖ καὶ περιίστησι τοσαύτην ἀποδημίας ἀνάγκην ὅσην οὐκ ἦν διώσασθαι. καὶ γάρ τοι περὶ πολλοῦ μὲν ἐφαίνετο τὸ τῆς γυναικὸς ἀπολαύειν, ἔμπροσθεν δ' ἐγίγνετο τῆς ἐπιθυμίας ἡ χρεία. καὶ τούτοις οὐκ ἀντερεῖς, ὦ πάτερ. εἰ γὰρ ἄλλως περιειργαζόμην, ἐξῆν κωλύειν. 11. οὔσης τοίνυν ἀνάγκης ἀπαίρειν ἐμβὰς εἰς ὁλκάδα καὶ παρὰ τοῦ Ποσειδῶνος αἰτήσας ἰδεῖν ποθ' ὕστερον τὸν πατέρα καὶ τὸ γύναιον ἀνηγόμην. ὡς δὲ γῆν ἀποκρύψαντες τὸ πέλαγος διεβάλλομεν, ὁρῶ πλοῖον ἐπιφερόμενον λῃστρικόν, οἱ δὲ καὶ δὴ πλησίον ἦσαν καὶ παραχρῆμα μεστὸν τὸ κατάστρωμα τοξοτῶν, ὁπλιτῶν, ἀνδρῶν ἐκ κοίλης νηὸς ἀνιόντων, ὥστε μικρὸν ἦν αὐτοῖς ἔργον τὸ κρατεῖν. 12. αἱ μὲν οὖν προσδοκίαι θάνατον ἠπείλουν, οἱ λῃσταὶ δὲ κρείττους τῆς προσηγορίας ἐγένοντο, ἐφ' οἷς τότε

1 cf. ad p. 532, 4   9 cf. ad t. IV 284, 1   12 Arist. vesp. 360

2 διώσασθαι] διῶξαι suprascr *Ma*²   7 ἀπαίρειν] ἀποδημεῖν suprascr *Ma*²   10 διεβάλλομεν (διεβάλομεν *M*)] διήλθομεν in marg *M*ᵐ Mor, suprascr *Ma*²

1 ἐπιφυεὶς post συζυγίᾳ *Li*   2 τοσαύτης *LiLa* | ἀποδημίας om Re | ὅσον *Va*   3 τι *HV* | τὸ inserui ex *HVLiLaMa ClB* et inser *Va* om *MAth* edd   4 δὲ *HVMAthMaClBVa* edd | ἐγίνετο *MAth* edd   6 περιειργαζόμην *La* sed ras supra ε(2) et ι(2) corr *f*   7 ἀνάγκης τοίνυν *HVLi* | ἐμβὰς ὁλκάδι *MaCl* | περὶ *La* sed in παρὰ corr *f*   9 τὸ inserui e *LiLaMa Cl* coll t. IV 487, 3 om *HVMAthBVa* edd   10 διεβάλομεν *MBVa* | ὁρῶ scripsi ex *HVLiLaAthMaClVa* ὁρῶμεν *MB* edd | πλεῖον *H* | λῃστρικόν *HLiLaMaCl*   11 παραχρῆμα *La* sed αρα in ras *f* παρὰ χρῆμα *Cl* | ἦν post μεστὸν *MaCl*   12 ὁπλητῶν *La*   13 νεὼς *Cl* | τὸ om *LaMaCl*   14 οὖν om *Va* | οἱ *LaAth* | λῃσταὶ om *HVLiLaMa* sed in hoc γρ in marg m², *Cl*   15 δὴ in marg *Ma*² | προσηγορίας scripsi e *La* sed προσδοκίας in marg *q*, *M* sed γρ προσδοκίας in marg *m*, *Ma* sed προσδοκίας in marg m², *Cl* et γρ in marg Mor   προσδοκίας *HV* sed in hoc προσηγορίας suprascr m², *LiAthBVa* sed in hoc γρ προσηγορίας in marg, edd | ἐφ' οἷς] εὐθὺς *Ma*

μὲν αὐτῶν ἠγάμην, νῦν δὲ κατηγορεῖν | προῆγμαι. R IV 644 τί γάρ, ὦ κακῶς φιλανθρωπευσάμενοι, πρᾳότεροι τοῦ σχήματος ἐπεδείχθητε; τί με τοσαύταις ὑπέθεσθε συμφοραῖς, θρήνῳ γυναικός, πατρὸς ὀργῇ, ψήφῳ δικαστῶν; 13. ἐπειδὴ τοίνυν ἁλοὺς ἤλγουν μὲν τοῖς συμβᾶσι, δρασμὸν δ' οὐκ ἐβούλευον οὐδὲ παρεῖχον ὑποπτεύειν οὐδὲ καθ' ἕνα τρόπον, ἀλλ' ἐφύλαττον καὶ παρὰ τὴν δυστυχίαν τὴν γνώμην, ἐπικάμπτω πρὸς ἔλεον τοὺς λῃστὰς λαμπρότερον καὶ τά τε ἄλλα πάντα φιλανθρώπως ἐκέχρηντό μοι καί ποτε ἤροντο εἰ πατὴρ ἔστι μοι. 14. ἔστιν, ἔφην, καὶ χρηστὸς καὶ βέλτιστος καὶ πάντα ἐλάττω τοῦ παιδὸς ἡγούμενος καὶ νῦν ἀγνοεῖν ἔοικε τὴν συμφοράν. εἰ δ' ἐπιστάμενος ἐτύγχανε, πάλαι ἂν ὑμᾶς ἱκέτευεν. ἀλλὰ παρέστω, φασί, λύτρα φέρων καὶ πρὸς τοὺς

1 αὐτῶν scripsi e *LiMa* sed in hoc οῖς supra ῶν m², *Cl* οὺς οὺς et γρ in marg Mor αὐτοῖς *HLa* edd αὐτῶν *M* αὐτῶν *Ath* αὐτοὺς *V* sed ὺς in ras m², *BVa* ἀστοὺς in marg *La* | ἠγάμην reposui e libris ἠγασάμην edd sed γρ ἠγάμην in marg Mor 2 πραότεροι *HLiAthCl* 3 ἐπεδείχθητε scripsi ex *HVLiLaAthMaClVa* ἀπεδείχθητε *MB* edd | τοσαύταις *Ma* sed ταις in ras m² | ὑπέθεσθε scripsi e *MaCl* sed in hoc ὑ in ras m³ ἀπέθεσθε *HVLiLaMAthBVa* edd 4 θρήνῳ *Ma* sed ῳ in ras m³ 5 τοῖς *Ma* sed τ et ˜ in ras m³ 6 δὲ *VMAthMaClBVa* | ἐβούλευον scripsi e *MAthMaClBVa* et γρ in marg Mor ἐβουλευόμην *La* et coni Iacobs Lect ἐβουλόμην *HVLi* edd 7 οὐδὲ om *HVLi* | καθένα *AthCl* et ω γρ in marg *M*[m] | τρόπον scripsi ex *HVLiLaMMaCl* τὸν τρόπον ω ὸν ον γρ in marg *M*[m] τῶν τρόπων *AthVa* τῶν τρόπων *B* τὸν τρόπον edd sed „*aut* οὐδὲ καθ' ἕνα τρόπον *leg. aut* οὐδὲ καθ' ἓν τὸν τρόπον" Re καθεῖλον (vel καθῆκα) τὸν τρόπον Iacobs Lect 8 περὶ *LiLaM* 9 λῃστὰς *HLiAth* | πρότερον *Li* | πάντα om *VAth* 12 ἡγούμενος ἐλάττω τοῦ παιδὸς *Li* 13 δὲ *VMAthMaClBVa* edd 14 ἂν om *La* | ἥμας *La* 15 φησὶ *LiLaAth*

οἰκείους ἀποσῶζου. ἐκεῖνοι μὲν ταῦτα, τὰ δ' ἐφεξῆς εἴπω καὶ διηγήσωμαι; καὶ οὐκ ὀργιῇ; δεῖξον, ὦ πάτερ, τοῖς δικασταῖς τὴν ἐπιστολήν. εἰπέ, τίς ἐκείνην ἔπεμψε; καὶ πόθεν; καὶ τοῦ δεόμενος;

15. *Καὶ ταῦτα διῆλθον οὐ διαβάλλειν βουλόμενος*, μήποτε οὕτω μανείην, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας ἐνταῦθα ἐμπεπτωκώς, ἐπεὶ ὅτι γε κακοήθειαν οὐδεμίαν προσάγω τοῖς πεπραγμένοις δῆλον ἐγγύθεν· αὐτὸς ἀπολογοῦμαι περὶ τῶν ἐλλελειμμένων. μηδεὶς λεγέτω τὸν πατέρα κακῶς. οὐκ ἀπερραθύμησεν, οὐκ ὠλιγώρησε τοῦ παιδός, οὐ περιεῖδε τὴν φύσιν, ἀλλ' οὐκ εὐπόρησεν ἴσως τρόπον τινὰ ἀργυρίου, οὐκ εὐπόρησεν ἐρανιστῶν, οὐκ ἦν ὅθεν ποιήσαιτο δάνεισμα. ταῦτα αὐτὸς ἐμαυτὸν πέπεικα, ταῦτα καὶ τοὺς ἄλλους φρονεῖν ἀξιῶ.

16. *Καὶ τὸν μὲν οὐ κακίζω, τὴν γυναῖκα δὲ ἐπαινῶ.* πάντως δὲ καὶ τοῦτο σόν, ὦ πάτερ, γίνεται, δι' ὃν ἐκείνῃ συνῴκηκα. πῶς οὖν τὸ γύναιον; τοῦτ' ἐκεῖ-

---

9 Luc. abdic. § 32

---

1 δὲ *MAthMaCl* edd | ἑξῆς *MaCl* 2 διηγήσωμαι scripsi διηγήσομαι libri edd | ὀργιεῖ *La* sed ῇ supra εῖ *q* 4 ποῦ *Li* 5 πειρώμενος *Ma* 6 μήτε *Ma* 7 ἐμπέπτωκα *HVLi* | καὶ post γε *HV* 8 οὐδὲ μίαν *HCl* Ferr 9 ἐγγύθεν *Ma* sed γγύ in ras m^2 ·ἐκεῖθεν coni Mor at cf. t. IV 480, 4 ubi ἐγγύθεν non cum ἐκεῖθεν mutandum erat | ἐλλελειμμένων reposui e libris ἐληλεγμένων edd sed γρ ἐλλελειμένων in marg Mor 10 οὐκ ἀπερραθύμησεν scripsi ex *HVLiLa* οὐ κατερραθύμησεν *MAthMaClBVa* edd cf. t. II 336, 15 12 ηὐπόρησεν *HVMAthMaBVa* edd | τινὸς *Li* 13 ηὐπόρησεν *HVMB Va* edd | ἐραστῶν *Li* | ποιῆσαι τὸ *LiLaBVa* 17 πάντως δὲ inser *Ath* | δὲ om *HVLi* | γίγνεται *MBVa* edd 18 συνῴκησα *Li* συνώκισα *HV* συνώκησα (κ supra) *B* συνῴκησαι *La* συμβέβηκα *MaCl* sed συνῴκηκα in marg *Ma*^{2} et γρ *Cl*^{3}

νο τὸ πάθος με καταλαμβάνει καὶ συγχεῖ τὸν λογισμόν. πειρατέον δ' οὖν διελθεῖν οὕτως | ὅπως ἂν R IV 645 *ἐξῇ.* 17. *ἦν αὐτῇ κόσμος, ὦ δικασταί, ἱμάτια καὶ χρυσία, ἑλικτῆρες καὶ ἀμφιδέραια καὶ τοιαῦτά τινα.* 18. *ταῦτα ἀποδομένη καὶ τῶν λύτρων ἀγείρασα τὸ μέτρον λαθοῦσα μὲν τὸν κηδεστήν, μεμψαμένη δὲ οὐδὲν ἐπιβαίνει νεὼς αὐτῇ προσήκειν ἡγησαμένη τὴν λύσιν. καὶ πάλιν ἡ Τύχη βουλεύει χαλεπώτερα. σκηπτοὶ γὰρ ἐξ οὐρανοῦ καὶ ζάλη θαλάττης, καὶ τὸ κλυδώνιον ὑπερέσχε καὶ τὸ σκάφος εὐθὺς ὑποβρύχιον.* 19. *ἔδει δὲ ἄρα καὶ τελευτῆσαν τὸ γύναιον λύσασθαί μέ τινα τρόπον. πνεῦμα καὶ ῥοῦς ἐπιγενόμενος ἐκφέρει τὸ σῶμα πρὸς τὴν ἠϊόνα καὶ τὸν χῶρον ἐκεῖνον οὗ δουλεύων ἐτύγχανον. ὡς δὲ κατεῖδον νεκρὸν ὑπὸ θαλάττης ἐκβεβλημένον, προσιὼν κατὰ μικρὸν γνωρίζω μὲν τῆς μορφῆς τὸν τύπον, ἐνθυμοῦμαι δὲ τῆς συμφορᾶς τὴν αἰτίαν. ἔξω δ' ἐμαυτοῦ γενόμενος ὑπὸ τοῦ κακοῦ περιχυθεὶς ἐκείμην καὶ τὸ κῦμα ἐπεξιὸν ἀμφοτέρους*

---

4 cf. ad t. III 131, 1 et supra p. 59, 6 10 cf. t. VI 529, 13. Dem. Phil. III p. 128, 25

---

4 *ἑλικτήρια*] *ἐνωτίων εἶδος* suprascr *Ma*² 10 *ἐπιφώνημα* *M*ᵐ*Ma*²*C*

---

1 *με τὸ πένθος La* 2 *δ'* inserui e *LiLaMaCl* om *HV MAthBVa* edd 3 *ὦ δικασταί* in marg *Ath* om *Va* | *ἄνδρες La* | *ὦ δικασταί* post *ἱμάτια H*, ras 9—10 fere litt *V* 4 *ἑλικτῆρες LiLa* edd | *ἀμφιδέρραια LaAth* *ἀμφιδέρρεα Li* cf. supra p. 59, 6 7 *αὐτῇ* libri edd 8 *βουλεύει* in ras *V*² *βούλει H* | *σκηπτὸς Li* 9 *ἐξ* om *HV* | *ζάλη La* sed *η* in ras *q* | *θαλάσσης La* 11 *τρόπον τινὰ MaCl* | *τίνα HLi* 12 *ἐπιγινόμενος Va* 13 *ἠόνα Va* 15 *καταμικρὸν LiB* 17 *δὲ MAthMaClBVa* edd 18 *ἐπεξιὼν B* sed *ο* supra *ω* m², *Va* *ὑπεξιὸν MaCl*

ἔκλυζεν. 20. ἐκεῖνο τὸ πάθος καὶ λῃστῶν ἐδάκρυσε φατρία καὶ κατηνέχθησαν εἰς οἰμωγὰς πρὸς τὴν ὄψιν τοῦ δράματος. καὶ τὸν οἶκτον ἔδειξαν ἔργοις αὐτοῖς. ἃ γὰρ περιοῦσαν ἐκείνην εὕρισκον βουλομένην, ταῦτα ἔδωκαν καὶ κειμένῃ. καὶ πρὸς ἐμὲ ἀνίστω, φασίν, ὦ κακόδαιμον. ἐπείγου παρὰ τοὺς οἰκείους. οὐδέν σοι δεῖ χρημάτων. λύεταί σε τῆς γυναικὸς ἡ τύχη. 21. τοιούτων ῥηθέντων λόγων ὥρμησα μὲν ἐμαυτὸν ἐπικατασφάξαι τῷ σώματι καὶ τὴν ἀμοιβὴν ἀποδοῦναι πρέπουσαν, ἐννοήσας δὲ τὸν πατέρα καὶ τὴν ἡλικίαν ἥκω τοῦτον μὲν γηροτροφήσων, αὐτὸς δὲ βιωσόμενος ἐν δάκρυσιν. ὁ δὲ ἀντὶ τούτων οὐκ ἐσκέψατο παραμυθίαν, οὐκ ἐν τῷ τὸ γύναιον συνεπαινέσαι τῆς λύπης ἀφεῖλεν, ἀλλ' ἄρτι καταπεπλευκὼς σπαράτ-
R IV 646 τομαι | καὶ φανεὶς ἀπροσδόκητος κρίνομαι. καὶ διεδέξατο δουλείαν καὶ στέρησιν γυναικὸς δικαστηρίου φόβος.

---

2 cf. t. II 207, 5; 296, 17 7 cf. p. 570, 3

---

2 *φατρία τὸ πλῆθος, κυρίως δὲ ἡ συγγένεια* in marg *Ma*[2] *Wolf* Mor cf. schol. ad t. II 207, 5 5 *ἀνίστω ἀττικόν, οὐκ ἀνίστασο B* cf. Thom. M. l. l.

---

1 *ἔκλυζεν* scripsi ex *HVLiLaMAth* *κατέκλυζεν MaClB Va* edd | *λῃστῶν HLiAthCl* Ferr 2 *πρὸς τὴν*] *εἰς Va* 3 *τούτου* ante *τοῦ HVLi* | *πράγματος Li* 4 *εὕρισκον ἐκείνην Li* 5 *δεδώκασι La* | *ἀνίστω* — 6 *κακόδαιμον* praemissis verbis *ἀνίστω Ἀττικοί, οὐκ ἀνίστασο. Λιβάνιος ἐν μελέτῃ τῇ Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρί* citat Thomas Mag. s. v. *ἀνίστω* p. 12, 10 R | *φησὶν HVLiLaAth* 9 *ἐμαυτὸν ἐπικατασφάξαι τῷ σώματι* scripsi ex *HLiLaMaCl* *ἐπικατασφάξαι τῷ σώματι V* *ἐπικατασφάξαι τῷ σώματι ἐμαυτὸν MAthBVa* edd 11 *τούτους V* | *γηρωτροφήσων Li* 12 *βιωσόμενος ἐν δάκρυσιν* scripsi ex *HVLiLaMaCl* *ἐν δάκρυσι βιωσόμενος MAth BVa* edd | *οὐκ* inser *Cl*[2] 13 *ἐπαινέσαι MAthBVa* 14 *παράπτομαι* Ferr 15 *καὶ*(2) om *MaCl* 16 *καὶ* om *M*

22. *Ναί φησι, νόμος γάρ ἐστι μοι διδοὺς τὴν ἀποκήρυξιν. ἐγὼ δὲ οὐκ ἐρῶ τὸ προχειρότατον, ὡς ὁ νόμος οὗτος ἀπειλὴν μὲν ἔχει ψιλήν, τὸ δὲ ἔργον οὐ προστίθησιν οὐδ' ὡς ὁ θεὶς αὐτὸν ἀνασείει μὲν τοῖς νέοις τὴν τιμωρίαν προαναστέλλων τὴν θρασύτητα τῷ δέει, τὴν δὲ φύσιν οὐκ ἀνέχεται πρὸς αὐτὴν ἐκπολεμοῦν. τοῦτο γὰρ ἂν ἦν οὐκ ἀνδρὸς ὁμονοίᾳ τὴν πόλιν συνέχοντος, ἀλλ' ἐχθροῦ κοινοῦ διασπᾶν τὰ γένη πειρωμένου.* 23. *ἀλλ' ἔστω, δεδόσθω, τοῖς γράμμασι προσέχωμεν μόνοις, μηδὲν ἐξεταζέσθω πλέον. τί οὖν; ἐν τῷ δοῦναι τὴν τῆς ἀποκηρύξεως ἐξουσίαν καὶ πάντας εὐθὺς ἀποκηρύττειν δέδωκεν; οὐκ ἔστιν. ἀλλ' ὧν μὲν κατέγνωκε, τούτους μισεῖ, οἷς δὲ οὐδὲν ἐγκαλεῖ, τούτοις οὐδὲ διείλεκται, ἐπεὶ καὶ τὸν ἀνδροφόνον κρίνειν ἔξεστιν, ἀλλ' οὐ τόν γε τὴν χεῖρα καθαρὸν ἄξιον.* 24. *οὕτω δὴ καὶ περὶ τούτων. οὐχ ἡ τῆς ἀποκηρύξεως ἐξουσία βλάπτει τοὺς ἐπιεικεῖς τῶν νέων, ἀλλ' οἱ*

---

1 Dem. Boeot. I p. 1006, 19 sq. Plat. leg. XI p. 928 D. Luc. abdic. § 8. cf. Meier-Schoemann-Lipsius, Att. Process p. 535 sq. 4 Dem. Aristog. I p. 784, 22 5 cf. t. V 356, 11; 389, 11 11 Luc. l. l. § 8 et 20

---

1 *ἡ προβολὴ* (*προσβολὴ Ath*) *κατὰ ἔνστασιν* (om *C Wolf*) *AthC Wolf* 2 *λύσις B* *ἡ λύσις κατὰ ἔνστασιν Wolf* 9 *ἀντιπαράστασις Ath C Wolf* *ἀντίθεσις B* 10 *τὸ ἐπιχείρημα ἀπὸ τοῦ πράγματος Ath C Wolf* 16 *ἐργασία ἀπὸ τῶν ὁμοίων Ath C Wolf*

---

2 *προχειρότερον Va* sed *τατον* suprascr m² | *ὁ* om *Ma* 5 *τῷ δέει τὸ πολὺ τῆς θρασύτητος Li* 6 *τὴν φύσιν δ' HV Li* | *αὐτὴν HVLaMaClVa* Ferr Mor 7 *ἂν* om *Li* | *ὁμονοίᾳ* scripsi ex *HVLiLa* *ὁμονοοῦσαν MAthMaClB Va* edd 8 *ἀν-* (*συν* suprascr.) *έχοντος Ath* *ἀνέχοντος Va* 9 *προσέχομεν MaClBVa* 10 *μηδὲ La* 12 *ἔδωκεν Va* 14 *διήλεγκται* Ferr Mor 15 *καθαρὰν La* | *ἄξιον* delendum censet Cobetus Misc 163 at cf. p. 537, 3 sq. et 592, 22 sq. et 600, 1 16 *τούτου Li* | *οὐχὶ τῆς ἀποκηρύξεως ἡ ἐξουσία HV*

μοχθηροὶ τῶν παίδων ὑπὸ τὸν νόμον ἔρχονται. εἰπὲ δὴ τὰ πλημμελήματα παρελθών. μεθύοντα λαβὼν ἀγανακτεῖς; ἐκπεφορηκότα τι τῶν ἔνδον; κυβεύοντα; πόρνην ἔχοντα; ἀλλ' εἰς σαυτόν τι πεπαρῴνηκα; κακῶς εἶπον; ἀναιδὲς ὑπέβλεψα; πληγὰς ἠπείλησα; ᾐτιασάμην πρὸς τὸν πλησίον; σκαιὸν ἀπεκάλεσα καὶ τραχύν; ἀρ-
R IV 647 ρωστοῦντος κατημέλησα; ταῦτα | ἐπίδειξον καὶ μικρὰν ἡγοῦμαι δίκην τὴν ἀποκήρυξιν. ἀλλὰ τούτων μὲν οὐδέν, ὠμότητα δὲ προήνεγκα τὰ περὶ τὴν ἐπιστολὴν διηγούμενος, ὡς ἐγὼ μὲν ἠντιβόλουν, σὺ δὲ διέπτυες; καὶ τίς τῶν πάντων ἀκήκοεν; οὐδὲ πρὸς τοὺς λῃστὰς ἐγὼ τοῦτό γε ἐξελάλησα. 25. εἶεν. ἀλλ' ἔναγχος καταθάψας γυναῖκα χρηστὴν ἀναξίως ἀπολωλυῖαν ἐπείγομαι πρὸς δεύτερον γάμον καὶ τοῦτο ἐγκαλῶν ἀπελαύνεις; μὴ σύ γε, μὴ μόνον ἀπέλαυνε. δημίου δεῖται τὸ πονήρευμα. ταῦτα οἵου παρὰ τοῦ νόμου νῦν

---

2 Luc. l. l. § 21 3 Dem. Phaen. p. 1046, 28 4 Aeschin. fals. leg. § 154 p. 49, 3

---

1 *ἐπιχείρημα ἕτερον (ἕτερον ἐπιχείρημα Wolf) ἀπὸ τοῦ πράγματος καὶ τῆς αἰτίας Ath C Wolf* 13 *μόριον τοῦ δικαίου ἤτοι τὸ παραγραφικόν Ath C Wolf*

---

1 *παίδων* reposui e libris *νέων* edd sed *γρ παίδων* in marg Mor 2 *πλημελήματα MMa* 3 *τί HLiMAthMaCl* 4 *σαυτόν* scripsi *σεαυτὸν LiMAthMa* edd *σὲ αὐτὸν HVCl* *ἑαυτὸν BVa* *σὲ La* | *τί HLiLa* | *πεπαρῴνηκα* scripsi e *VLiLa* *πεπαρῳνηκότα HMAthMa* sed in hoc *γρ πεπαρώνηκα* suprascr, *ClBVa* edd respexisse videtur auctor excerpt. Darmstad. cod. 2773 fol. 162v *ἐπαρώνησε, ὡς παρὰ Λιβανίῳ πεπαρώνηκε* 8 *μικρὰν Cl* sed *αν* ex *ος* corr m3 9 *προσήνεγκα La* | *τὰ* om *V* 12 *λῃστὰς HLiAthCl* Ferr | *ἐγὼ* scripsi ex *HVLiLaMAth BVa* et *γρ* in marg Mor *ἔγωγε MaCl* edd | *γε* om *MaCl* | *ἐλάλησα HV* 13 *ἔλεγχε H* 15 *μόνον* scripsi ex *HV* sed in hoc *ν* in *σ* corr m2, *LiLaMa* sed in hoc *ν* in *σ* corr m2, *Cl* *μόνος MAthBVa* edd 16 *τὰ πονηρεύματα LaB* | *παρὰ La* sed *αρὰ* in ras *p* *περὶ Li*

ἀπαιτεῖσθαι. τί πέπρακται; τί τετόλμηται; εἰ μὲν ἠδίκησα, λάμβανε δίκην· εἰ δὲ οὐδὲν πέπονθας, παῦσαι φιλονεικῶν.

26. *Διὰ τοῦτο γάρ φησι καθίζω δικαστήριον ὑφορώμενος τὴν τῶν πατέρων ὀργὴν ἔξω πολλάκις τοῦ δικαίου φερομένην. ἐπειδὴ τοίνυν τιμωρία τὸ γινόμενόν ἐστι, δειχθήτω πρὸ τῆς ζημίας τὰ κακουργήματα. οὐ γὰρ ἐθέλεις, φησί, γαμεῖν. καὶ τίς τοῦτο νόμος εὐθύνει; τίς οὐ γαμῶν ἀδικεῖ; τίς εἰσήχθη πώποτε; τίς ἔδωκε δίκην τοῦ τοιούτου βίου ἢ νῦν ἢ πρότερον ἢ παρ' ἡμῖν ἢ παρὰ τοῖς προσχώροις ἢ τὸ κοινὸν δὴ τοῦτο παρ' Ἕλλησιν;* 27. *ἐγὼ μόνος, εἰπέ μοι, ταύτην ᾕρημαι τὴν ὁδόν, παραδείγματα δὲ οὐκ ἂν ἔχοιμι λέγειν καὶ παλαιὰ καὶ νέα; πῶς οὖν οὐκ ἄτοπον τὰ μὲν αὐτὰ πολλοὺς ἐπιτηδεύειν, μόνον δὲ ἐξ ἁπάντων ἐμὲ κινδυνεύειν καὶ τῶν ἔργων ἔχοντα*

---

6 *τὰ ἀπ' ἀρχῆς* (*ἀπαρχῆς* cod) *ἄχρι τέλους Ath λύσις τῶν ἀπ' ἀρχῆς* (*ἀπαρχῆς* codd) *ἄχρι τέλους καθ' ὑποδιαίρεσιν δι' ἐπιχειρημάτων κατασκευαζομένη ἀπὸ τοῦ προσώπου καὶ ἀπὸ τῆς αἰτίας καὶ τοῦ πράγματος C Wolf* 11 *πρόσχωρος λέγε ἢ πλησιόχωρος B*[2] cf. Thom. M. p. 302, 15 *πρόσχωρος λέγε, οὐ πλησιόχωρος* 13 *ἐργασία ἀπὸ τῶν ὁμοίων Ath C Wolf* 14 *ἐνθύμημα Ath C Wolf*

---

1 *ἠδίκησα* scripsi ex *HVLiLaAthMaClBVa* *ἠδίκησαι M* edd 2 *δ' Li* | *παῦσαι La* sed *αι* in ras *q* 4 *διατοῦτο HLi AthMaClB* 6 *ἐπεὶ HVLi* 7 *γιγνόμενον MAthClBVa* edd 9 *τίς*(1) om Mor sed „*scribuntur in castigatiore Reg. Cod. τίς τοῦτο νόμος εὐθύνει· τίς οὐ γαμῶν ἀδικεῖ· τίς εἰσήχθη πώποτε. quae vides me sequutum in tralatione*" Not | *τοῦτον* Mor | *ἀδικεῖν εἰσήχθη* Ferr Mor „*ἀδικεῖν τὶς εἰσήχθη Wolf. unde efficio aut haec τίς οὐ γαμῶν ἀδικεῖ; τίς εἰσήχθη aut istaec potius τίς οὐ γαμῶν ἀδικεῖν ἐδόκει; τίς εἰσήχθη;*" Re 10 *τοῦ* om *HVLi MMaCl* 11 *περι La* sed *παρὰ* suprascr *p* 13 *παράδειγμα La* sed in *παραδείγματα* corr *n* 16 *δ' LiB* *δέ μ' AthVa* *δὲ ἐμὲ Ma* sed *ἐμὲ* inser m[2] | *ἐμὲ* om *HVLiLaAthMaClVa*

κοινωνοὺς τῆς ὀργῆς παρὰ τοῖς ἄλλοις κληρονομεῖν;
R IV 648 28. ἀλλ' οὔτ' ἐκείνοις | οὐδεὶς ἂν ἐγκαλέσειεν ὑγιαίνων, οἶμαι, ἐγώ τε τοῖς αὐτοῖς δικαίοις ἀφεῖμαι. ἀμφοτέρων γὰρ δήπου κύριοι καθεστήκαμεν, καὶ τοῦ γαμεῖν, ὁπότε κρεῖττον, καὶ τοῦ μὴ τοῦτο ποιεῖν, ὁπότε ἄμεινον. ὥσπερ οὖν τοῖς ἐκεῖνο τιμῶσιν οὐκ ἔχει κίνδυνον ἡ προαίρεσις, οὕτω καὶ τοῖς τοῦτο προαιρουμένοις ἀθῷον εἶναι δεῖ τὴν γνώμην. ὅλως δὲ τά τε ἀδικήματα καὶ τὰ μὴ τῷ τὰ μὲν κεκωλύσθαι, τὰ δὲ μὴ δοκιμάζεται. 29. πρὸς ἐκεῖνο τοίνυν ἀναφέροντες κρίνωμεν. οὐ γὰρ νομοθετήσοντες εἰσήλθομεν, ὦ πάτερ, τήμερον, ἀλλὰ τοῖς κειμένοις ἑψόμενοι. ἀπόκριναι δή μοι· διὰ τί τὸ κλέπτειν ἀδικεῖν νομίζομεν; ὅτι, φαίης ἄν, γέγραπται μὴ δεῖν ὑφαιρεῖσθαι. καὶ περὶ τῶν προδοτῶν τοίνυν ὁ αὐτὸς λόγος καὶ τῶν ὑβριστῶν καὶ τῶν ἀνδροφόνων καὶ τῶν μοιχῶν καὶ τῶν ἐπὶ καταλύσει τοῦ δήμου συνιόντων. 30. πάλιν

---

2 ἐπενθύμημα *Ath C Wolf* 4 ἐπιχείρημα ἀπὸ τοῦ πράγματος *Ath* 6 ἐργασία ἀπὸ τοῦ ἐναντίου ἢ καὶ ἐνθύμημα *Ath C Wolf* 12 ὅρος ἤτοι ὁριστικὸν (ὁρικὸν *Ath*) ἢ (om *Ath C*) παραγραφικόν *Ath C Wolf*

---

1 παρὰ *La* sed αρὰ in ras *p* περὶ *Va* | τοῖς ἄλλοις scripsi τοὺς ἄλλους libri edd 2 οὔτε *HVLaAthMaClVa* 3 ὑγιαίνων om *La* κινδυνεύων *Ma* sed γρ ὑγιαίνων suprascr m^2 5 τοῦ e τὸ corr Ma^2Cl^2 | ὁπότ' *M* 7 καὶ inser Ma^2 om *Cl* | μὴ ante προαιρουμένοις *MaCl* 8 δεῖν Re 9 τῷ τὰ] ταῦτα *MaCl* | κεκολᾶσθαι *Ma* sed γρ κεκωλύσθαι in marg m^2, *Cl* num κεκωλῦσθαι? at cf. ad t. IV 12,6 10 δοκιμάζεσθαι *HLiLaMaClBVa* | ἀναφέροντος Re | κρίνομεν *HVLiLaMaClBVa* κρίν$\overset{\omega}{o}$μεν *Ath* 12 σήμερον *M* 13 διατί *HLiAthMaClBVa* | τῶ *Va* 14 μὴ δεῖν] μηδὲν *V* 15 τῶν(1) om *LiBVa* 16 ὑβριστικῶν *H* | καὶ τῶν ἐπιόρκων post μοιχῶν in marg inser Ath^2 17 ἐπικαταλύσει *LiCl* | δήμου *La* sed η in ras *f* et suprascr *p* | συνιόντων reposui e libris sed γρ εἰσιόντων suprascr Ma^2 εἰσιόντων edd

τοίνυν ἐρήσομαι· διὰ τί τὸ γεωργεῖν οὐκ ἀδίκημα οὐδέ γε τὸ ναυτίλλεσθαι καὶ φιλοσοφεῖν καὶ πολιτεύεσθαι; πᾶς ἂν εἴποι δήπουθεν, ὅτι μηδὲν τούτων ἐν τοῖς κυρίοις ἀπείρηται νόμοις. ὃ τοίνυν ἐκείνων ἕκαστον ἠλευθέρωσεν αἰτίας, τούτῳ καὶ τὸ τὸν γάμον ἀποφεύγειν ἀνεύθυνον γίνεται. εἰ γὰρ τοὺς μὲν νόμους παραβαίνοντες δι᾽ αὐτὸ τοῦτο δίκην ὑφέξομεν, ἃ δ᾽ ἔξεστι δρῶντες μηδὲν ἧττον κολασθησόμεθα, ταχέως τὴν πόλιν ἐκ δικαστηρίων κενώσομεν. 31. ἀλλ᾽ οὔτε ἐγένετο τοῦτό πω πρότερον νῦν τε οὐκ ἂν εἰκότως ἀρχὴν λάβοι. ἀλλ᾽ οὗτος κανὼν κρίσεως ἄριστος· ὁ μὲν ὑπερβὰς νόμον ζημιούσθω, ὁ δὲ μηδένα κεκινηκὼς ἀποφευγέτω. τίς τοίνυν ὑπ᾽ ἐμοῦ μὴ βουλομένου γαμεῖν τῶν νόμων ὑπερπεπήδηται; οὐδείς. ἑκάστῳ γάρ, οἶμαι, τῶν πολιτῶν ἐν τοῖς τοιούτοις νόμος γίνεται τὸ βούλημα. 32. | ἐγάμουν πρότερον, R IV 649 ὦ πάτερ, ἐβουλόμην γάρ. νῦν οὐκ ἐθέλω. καὶ τοῦτο ἔξεστιν. ὥσπερ γάρ, οἶμαι, καὶ τρὶς καὶ πολλάκις ἐφεῖται γαμεῖν καὶ περιττὸς ὁ διαβάλλων ἐνταῦθα τὸ πλῆ-

---

4 *ἐνθύμημα μετὰ ἐργασίας Ath C Wolf* 14 *ἀντίληψις Ath C Wolf ἐπιχείρημα ἀπὸ τοῦ πράγματος* add *Ath* 17 *ἐργασία ἀπὸ τοῦ ἐναντίου Ath C Wolf*

---

1 *διατί HLiAthClB Va* Ferr 2 *τὸ ναυτίλλεσθαι La* sed *τὸ ναυ* e *τὸν* corr *p* 3 *εἴπῃ HLi* | *μηδὲν La* sed *ν* add *p* 5 *ἑκάστην V* | *αἰτίαν V* | *τὸ* om Ferr 6 *γίγνεται Cl* 7 *διαυτὸ Cl* 8 *ᾶ δ᾽ HLi ᾶ δὲ MAthMaClB Va* edd | *δι᾽ αὐτὸ τοῦτο Ma* sed *μηδὲν ἧττον* in marg m[2] | *μηδὲ La* 9 *ἐκ* om *B* 10 *πω V* sed *ου* supra *ω* m[2] *που Ath περ Ma* sed *πω* suprascr m[2], *Cl* om *Li* 12 *μηδὲν B Va* 14 *ὑπερβήσεται Li* | *οὐδείς* inser *Ma*[2] om *Cl* 15 *νόμος* om *Va νόμοις La* Ferr 16 *γίγνεται LaMaCl* edd 17 *ἠβουλόμην H VLiB* edd | *καὶ* om *MaCl* 18 *τρεῖς H* | *ἐφεῖται La* sed ex *ἔφειται* corr *p*

θος, οὕτω καὶ τὴν ἀρχὴν μὴ γαμεῖν καὶ τοῖς πρώτοις ἀρκεῖσθαι πάλιν δέδοται καλῶς καὶ προσηκόντως. ἐπειδὴ γὰρ τοῖς μὲν συνήνεγκεν ἡ τοῦ πράγματος φύσις, τοῖς δὲ οὐκ ἐλυσιτέλησεν, ἡ πεῖρα τοὺς μὲν φοβεῖ, τοὺς δὲ ἐφέλκεται. 33. μὴ τοίνυν ὁριστὴς ὁ δεῖνα γιγνέσθω περὶ τούτων ἐν οἷς καὶ τὸ βέλτιον καὶ τὸ χεῖρον ἑτέρῳ κινδυνεύεται. εἰ τοίνυν καὶ τὴν ἀρχὴν ἀπεστρεφόμην τὸν γάμον, οὐκ ἂν ἠπόρησα λόγων οἳ πείθουσιν οὕτω φρονεῖν. διῆλθον ἂν τὰς μοιχείας, διῆλθον ἂν παίδων ἀποβολάς, μέθην γυναικῶν, ἀκρασίαν, λαλιάν, ἀλαζονείαν, πολλὰς τραγῳδίας ἐκ γάμων γεγενημένας.

34. Ἀλλὰ νῦν οὐ λέγω τούτων οὐδέν, οὐ ταῦτά μοι δοξάζειν περὶ τοῦ πράγματος ἔδωκεν ἡ δυστυχής, ἀλλὰ τί φημι; λόγον ἁπλοῦν καὶ δίκαιον. σὺ δὲ πράως ἄκουσον. μὴ καταναγκάσῃς ἄδικόν με γενέσθαι περὶ τὴν κειμένην, ὦ πάτερ, μηδὲ τὴν ἐκείνης μεγαλοψυχίαν ἀγνωμοσύνῃ τρόπων ἀμείψασθαι μηδὲ τὸν σαυτοῦ παῖδα

---

2 *ἐπιχείρημα ἀπὸ τῆς αἰτίας CWolf* 5 *ἐνθύμημα Ath C Wolf* 7 *ἀντίθεσις μεταστατική Ath C Wolf* 9 *ἐπιχείρημα ἀπὸ τοῦ πράγματος Ath C* 16 *ἀντιστατικόν Ath C Wolf* 18 *τὸ ἀμείβομαι (ἀμείψασθαι Ma²) ὅτε σημαίνει τὸ δεξιοῦμαι, ἔχει τὴν σύνταξιν ἀπὸ αἰτιατικῆς εἰς δοτικήν, ὡς κἀνταῦθα· ὅτε δὲ τὸ ἀνταλλάττω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ δωροῦμαι, ὅτε σημαίνει τὸ δεξιοῦμαι, ἀπὸ αἰτιατι-*

---

1 *μὴ γαμεῖν τὴν ἀρχὴν MaCl* | *τηναρχὴν B* | *μὴ* inser *Ath* om *VVa* 3 *συνήνεγκε πράγματος MaCl* 4 post *ἐλυσιτέλησεν* comma posui ex *HLi* om reliqui libri edd | post *πεῖρα* comma *AthCl* Ferr, colon reliqui libri Mor Re delevi | *ἐκφοβεῖ La* sed ex *ἐφόβει* corr *q* 5 *ὑφέλκεται Ma* sed *ὑ* in ras m³ 6 *γινέσθω HVLi* | *τὸ χεῖρον καὶ τὸ βέλτιον LaMaCl* 7 *τηναρχὴν B* 8 *ἠπόρησα Cl* sed *ἠ* ex *ὑ* corr m² 10 *ὑποβολὰς* Cobet Coll 298 at *παίδων ἀποβολάς* convenit usui Libanii 14 *περὶ τοῦ πράγματος δοξάζειν MaCl* | *δυστυχία MaCl* 15 *πρᾴως* libri edd 16 *καταδικάσῃς HV* 17 et 18 *μὴ δὲ HLiAthMaClB* Ferr

χείρω γυναικὸς εἰς ἀρετὴν ἀποφήνῃς. 35. *οὐ τοὺς μὴ βουλομένους γαμεῖν οἱ νόμοι μισοῦσιν, ἀλλὰ τοὺς οὐκ ἐθέλοντας εὐεργέταις εἰδέναι χάριν. εὐεργεσίαν παρ' ἐκείνης εἰλήφαμεν ἧς ἓν τοῦτο ἴσως ἄτοπον, ὅτι κρείττων ἐστὶν ἀμοιβῆς. ἐξετάσωμεν γάρ, εἰ δοκεῖ. ἀπήγγειλέ τις ἡμᾶς, ὡς ἀκούω, τὰ πρῶτα τεθνάναι λῃσταῖς περιπεπτωκότας. ἡ δὲ ἠπίστησεν, ὃ γὰρ οὐκ ἐβούλετο, τοῦτο οὐκ ᾤετο. αὐτὸς ἐπέστελλον μετὰ ταῦτα τὴν* | *δουλείαν μηνύων. ἡ δὲ οὐ διελέχθη* R IV 650 *πρὸς αὐτὴν ὑπὲρ ἀνδρὸς δευτέρου. καίτοι πολλὰς ἴσμεν ἀπὸ τῶν πρώτων προφάσεων μεταπηδᾶν ὡς ἑτέρους εἰθισμένας.* 36. *ἔμελλεν ὁ πατήρ μοι βοηθήσειν, ἡ δὲ ἔφθη τὴν τούτου προθυμίαν. ἀπέδοτο τὸν κόσμον, οὗ μάλιστα γυναῖκες ἐρῶσιν, ἐπέβη σκάφους ἀκούουσα μεστὴν εἶναι καταποντιστῶν τὴν θάλασσαν, ἤνεγκε πνευμάτων καταιγίδας, ἤνεγκε κυμάτων προσβολάς,*

κῆς εἰς δοτικὴν ἔχει σύνταξιν· ὅτε δὲ τὸ χαρίζομαι, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν C et in marg *Ma*[2] cf. t. I 161, 3; 445, 11; II 139, 18; IV 124, 10

16 cf. t. IV 279, 1

---

5 *διασκευή Ath Wolf*

---

4 post *ἧς* ras 2 litt *Va* | *ἐν MaClVa* | *ἴσως τοῦτο V* | *τοῦτο* scripsi ex *HVLiLa* *τοῦτ' MAthB* edd *τούτοις ClVa* *τοιούτοις Ma* | *ὡς MaClVa* 5 *κρεῖττον LiMaCl* 6 *τὰ πρῶτα* om *B* *ταπρῶτα MAthMa* 7 *λησταῖς HLiAthMaCl* Ferr 8 *ἠβούλετο HLi* | *ἀπέστελλον HMa* | *μεταταῦτα AthMaB* 9 *διελέχθη* scripsi ex *HV* ut coni Re *διειλέχθη LiMAthMa ClB* edd *διειλέγχθη La* *διηλέγχθη Va* 10 *αὑτὴν HVMa* sed in hoc ᾿ in ῾ corr m[2], *ClVa* edd | *ὑπ' HV* sed in hoc ᾿ in *ὲρ* corr m[2] *περὶ B* | *μὲν* post *πολλὰς MMa* 11 *εἰς M* 13 *τὸν* inserui ex *HVLiLaMaCl* om *MAthBVa* edd 14 *ἀκούσασα M* 15 *θάλατταν MaB* 16 *καταιγίδας — κυμάτων* om *V* | *καταιγῖδας LiM*

ἐπεῖδε βαπτιζομένην τὴν ναῦν, ἐπέδωκε τὴν ψυχὴν ὑπὲρ ἡμῶν, ἐξηνέχθη πρὸς τὴν γῆν ἐν οἰκτρῷ τῷ σχήματι, ἤρκεσεν ἡμῖν καὶ μετὰ τελευτὴν πρὸς λύσιν, ἐξεῖλε τὴν τῶν μύθων ἀπιστίαν βεβαιωσαμένη τοῖς παρ' αὑτῆς τὰ πάλαι θρυλλούμενα. 37. *ἐπὶ τούτοις γάμου φροντίσαι με κελεύεις; ζῶν γὰρ ἔτι καὶ περιὼν καὶ βλέπων τοῦτον τὸν ἥλιον οὐκ ⟨ἂν⟩ ἀδικεῖν σοι δοκῶ; καὶ τίς ἡμῖν διαλέξεται; τίς συμβαλεῖ; τίς κοινωνήσει πραγμάτων; τίς δημότης, τίς φυλέτης, τίς μέτοικος, εἰ σὺ μὲν ἐπιτάττοις, ἐγὼ δὲ τοιαῦτα πειθοίμην; καλάς γε ὁ δῆμος ἐν ἡμῖν προσδοκίας σχήσει καὶ δώσει τιμὰς ὁρῶν οὕτω περὶ τοὺς ἀναγκαίους διατεθέντας. ὁ γὰρ πρὸς τοὺς οἰκείους πονηρὸς οὐκ ἄν ποτε γένοιτο περὶ τὰ κοινὰ βελτίων. τίς δ' ἡμῖν ὅλως, ὦ πά-*

---

3 cf. p. 562,7 5 cf. t. IV 245,13 13 Aeschin. Ctes. § 78

---

1 *τὸ ἐπεῖδεν ὡς ἐπιτοπολὺ ἐπὶ συμφορᾶς τίθεται, ὡς καὶ ἐνταῦθα· ἐπεῖδε χειμαζομένην τὴν ναῦν, ἅπαξ δὲ καὶ ἐπὶ εὐθυμίας, Θουκυδίδης* (VI 69, 5)· *καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν* in marg *B* cf. Thom. M. s. v.

---

1 *ἐπεῖδε — ναῦν* praemissis verbis *τὸ ἐπεῖδεν ὡς ἐπιτοπολὺ ἐπὶ συμφορᾶς τίθεται. Λιβάνιος ἐν μελέτῃ τῇ Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρί* citat Thomas Mag. s. v. *ἐπεῖδεν* p. 151, 14 R | *ἐπεὶ δὲ La* sed ' et ' eras | *χειμαζομένην* Thom. schol. *B* | *ἀπέδωκεν B* 3 *τὴν* ante *τελευτὴν HVB* | *πρὸς* scripsi ex *HVLiLaMaCl* *εἰς MAthBVa* edd 5 *αὑτῆς* scripsi e *LiAth* *αὐτῆς* reliqui libri edd 6 *γάμων HV* | *με φροντίσαι MaCl* | num *περιιὼν*? at cf. p. 573, 4 et 11 7 *ἂν* inserui om libri edd | *ἀδικεῖν σοι*] *ἀδικήσειν MAth* 8 *πῶς Ma* sed *τίς* (1) suprascr m² | *συμβάλῃ Cl* Ferr 9 *φυλέτης Ma* sed *ι* supra *υ* m² 10 *ἐπιτάττεις HVMaClBVa*, *ἐπιτάττοιο M* 11 *οὐ γὰρ* post *γε LaMa* sed in hoc del m², *Cl* 12 *οὕτως LiCl* 13 *ὁ* — 14 *βελτίων* omissa particula *γὰρ* citat Planudes fol. 38ʳ | *ποτε* inserui ex *HVLiLaMaCl* Plan om *MAthBVa* edd | *γένοιτο* scripsi ex *HVLiLaMaClBVa* Plan *γένηται MAth* edd 14 *πρὸς MaCl* Plan | *δὲ LaMAthMaClBVa* edd | *ὦ* om *Ma*

τερ, ἵνα καὶ τοῦτο εἴπω, κηδεῦσαι βουλήσεται; τίς δώσει θυγάτριον εἰς οὕτω προφανεῖς φάραγγας; οὐκ οἶσθα ὅτι πρὸς τὰ πρεσβύτερα βλέποντες τὰ δεύτερα κρίνουσιν ἄνθρωποι καὶ διδαχὴ γίνεται τῶν μελλόντων τὰ φθάσαντα; 38. *ἐγὼ δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τοῦ πατρός, εἴ μέ τις λογισμὸς εἰσῄει γάμου· ὦ παῖ, τῆς ἀνθρωπείας ἀπηυτομόληκας φύσεως; τὴν τῶν θηρίων ἐζήλωκας ἀγριότητα; ταχέως ἐπελάθου τῆς ναυαγίας ἐκείνης. γαμεῖν ἐθέλεις; οὐ γὰρ ὀκνεῖς γάμου καὶ τοὔνομα; καὶ τίσιν ὀφθαλμοῖς ὄψει τοὺς συγγενεῖς τῆς προτέρας; ἢ τοὺς μὲν ἀξιοῖς θρηνεῖν, αὐτὸς δὲ κωμάζειν | καὶ τὴν μὲν ὑπὲρ σοῦ τὰ πάντα* R IV 651 *τολμᾶν, αὐτὸς δὲ μηδ' ὅσον σωφρονεῖν ἐθέλειν ἐκείνῃ χαρίζεσθαι; ἤδη τις γενναῖον ἵππον ἀποβαλὼν οὐκ ἐπρίατο δεύτερον τῇ περὶ τὸν ἔμπροσθεν λύπῃ, σὺ δὲ τῷ τῆς γυναικὸς θανάτῳ περιφανῶς σεσωσμένος κατ' ἐκείνης κέχρησαι τῇ σωτηρίᾳ;*

---

7 Thuc. VII 75, 6

---

2 *πρὸς Li* 4 *κρίνουσιν Va* sed *κρίνου* in ras m² 6 *ἐζήτουν τοὺς λόγους Li* | *περὶ BVa* | *με τίς La* sed *ς* in ras *n* *μοι τίς AthBVa* | *λογισμὸς La* sed *λο* in ras *n* *λόγος HV* 7 *ἀπηυτομόληκας* scripsi ex *HVLaMAthVa* *ἀπηυτομοληκὼς Ma* sed *γρ ἀπηυτομόλησας* suprascr m², *Cl* *ἀπηυτομόλησας B* edd *αὐπηυτομόληκε Li* 8 *τῶν* om *MaCl* | *ἐζήλωσας M* | signum interrogationis posui ex *HAthCl* punctum reliqui libri edd 9 *ἀπελάθου Va* | signum interrogationis post *ἐκείνης H* 10 *θέλεις Li* 12 *ἀξιοῖς Ma* sed *ς* add m² *ἀξίους La* | *θρηνεῖν — δὲ* om *Li* | *αὐτοὺς B* sed *υ* eras 13 *τὰ* om *VLiLaMaCl* 14 *μὴ δ' HLiLaMaClB* Ferr | *ἐθέλειν Ma* sed *ειν* in ras m² 15 *ἐκείνῃ* scripsi e *La* *ἐκείνη* reliqui libri edd | *δέ* ante *τις MaCl* | *τίς HLiLaBVa* edd 16 *παρὰ Ma* 19 signum interrogationis posui ex *HVi* punctum reliqui libri edd

39. *Οὗτοι πρέποντες οἱ λόγοι πρεσβύτῃ νουθετοῦντι νέον. ὁ δὲ πατὴρ σωφρονοῦσιν, ὡς ἔοικεν, ἄχθεται. παῖδας γάρ φησιν ἐκ σοῦ γενέσθαι βούλομαι καὶ διαδόχους εἶναι τοῦ γένους. εἰπέ μοι, πάτερ, ἕπεται γὰρ εὐθὺς ἡ παιδοποιία τῷ γάμῳ; πόσους ἐπιδείξω σοι τῶν πολιτῶν γυναῖκας μὲν αὐτῶν ἔχοντας εἰπεῖν, πατέρας δὲ οὐ κεκλημένους, ἀνθρώπους εἰς ἔσχατον ἤδη γήρως ἥκοντας καὶ τὴν ἐλπίδα τοῦ πράγματος προσαφῃρημένους;* 40. *ἂν οὖν ἐγὼ μέν σοι ταῦτα πείθωμαι, γύναιον δὲ ἔνδον ᾖ, παῖδες δὲ μηδαμῇ φαίνωνται, ἆρ' οὐκ ἀνάγκη πονηρὸν μὲν εἶναι, πατέρα δὲ μὴ γεγενῆσθαι, καὶ τὴν μὲν ἀγνωμοσύνην ἐπιδεδεῖχθαι, τοὺς δὲ διαδόχους οὐκ ἔχειν; εἰκὸς δὲ δήπου καὶ τὸ δαιμόνιον ἐνταῦθα νεμεσήσειν καὶ δίκην τῆς μοχθηρίας ἐπιθήσειν τὴν ἀπαιδίαν.* 41. *καὶ δὴ δῶμεν εὐθὺς ἔσεσθαι παῖδας· τίς οὖν ἐγγυᾶται θεῶν ὡς εἰς ἀκμὴν προβήσονται; βούλει σοι πάλιν ἐξαριθμήσω τοὺς ἐκ πολυπαιδίας εἰς ἐρημίαν λήξαντας καὶ τὰ μνήματα δεικνύντας ἀντὶ τῶν υἱέων; ἂν οὖν ἡμεῖς νῦν μὲν θῶμεν γενέσθαι, μικρὸν δὲ*

---

1 *οἱ* om *La* | *πρεσβύτῃ Ma* sed *τῇ* corr m[2] 2 *νέῳ HV Li* *νέῳ* (ον suprascr) *Va* | *σωφρονοῦσιν, ὡς ἔοικεν,* scripsi ex *HVLiLaMaCl* *ὡς ἔοικε σωφρονοῦσιν MAthBVa* edd 4 *εἶναι* om *MAthB Va* 5 *δὲ Ma* | *καὶ Ma* 6 *αὐτοὺς La* sed *οὺς* in ras *q* *αὐτῶν* reliqui libri edd 7 *ἔχοντας Ma* sed *ἔ* in ras m[3] *σχόντας Cl* 8 *γήρως Cl* sed *ήρως* in ras m[3] 9 *μέν* om *H V* 10 *σοὶ μὲν MBVa* | *πάντα HVLiLaAthMaClBVa* et *γρ* in marg Mor 11 *μηδαμὴ Cl* *μηδαμοῦ H* *μηδαμοῦ μὴ V* *μηδαμῶς Ma* | *φαίνονται* (ω suprascr) *Va* *φαίνονται* Ferr Mor | *πονηροὺς* et *πατέρας LaMa* sed in hoc *πονηρὸν* suprascr m[2], *Cl* 13 *διαδόχους δὲ HVLiLa* | *μὴ Li* 14 *δὲ* om *V* 17 *θεὸς M* | *ὡς* om *La* | *εἰς* inser *B*[2] om *Va* | *προβῆναι La* 18 *ἐξαναριθμήσω HV* 19 *νέων Li* 20 *μὲν* post *νῦν* posui ex *HVLiLa* post *ἡμεῖς AthMaCl* post *ἂν MBVa* edd | *νῦν* om

ὕστερον θάπτωμεν, οὐκ οἴει μείζω τὴν ἀνίαν κατὰ τοῦτο γενήσεσθαι; λυπεῖ γὰρ οὐχ οὕτω τὸ μὴ γεύσασθαι τῶν χρηστῶν, ὡς ἡ μετὰ τὴν πεῖραν στέρησις.

42. *Ἀλλ' ἔσονται καὶ βιώσονται. καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται; καλῶς. τίς οὖν ἐγγυητὴς τοῦ τρόπου; οὐχ ὁρᾷς τοὺς μὲν οἴνῳ, τοὺς δὲ ἑταίραις προσκειμένους, τοὺς δὲ τοίχους διορύττοντας, τοὺς δὲ τοῖς ἀπαντῶσι | πληγὰς ἐντείνοντας, τοὺς δὲ μισθὸν τῆς* R IV 652 *ὥρας λαμβάνοντας; τούτους οὖν πότερον εἶναι βέλτιον ἢ τεθνάναι; καὶ πότερον εὐφραίνουσι ζῶντες ἢ καταισχύνουσιν; ἐγὼ μὲν γὰρ οἶδα πολλοὺς πατέρας οἳ περιόντων μὲν τῶν παίδων καταδύονται, τετελευτηκότων δὲ ἀνακύπτουσι.* 43. *χωρὶς δὲ τούτων ἄπαιδα μὲν διαμεῖναι δυστυχίας ἂν εἴη, θῶμεν γάρ, ἀτιμάσαι δὲ τοὺς εὔνους πονηρίας. ὅσῳ δὴ μετριώτερον δυστυχῆ μᾶλλον εἶναι δοκεῖν ἢ φαῦλον, τοσούτῳ κρεῖττον θαυμάσαι τὴν ἀπελθοῦσαν*

2 Proc. Gaz. ep. 4. Chor. fr. 60 Boiss. 4 cf. p. 602, 2

MAthMaClBVa | *θῶμεν* scripsi e *La* cum Iacobsio Add 199 Lect Sinteni coll p. 573, 14 *θύωμεν* reliqui libri edd sed „*malim θύωμεν, ὑπὲρ τοῦ γενέσθαι*“ Re

1 *θάπτομεν Li* | *κατὰ τοῦτο τὴν ἀνίαν Ma* 2 *γενήσεσθαι* scripsi e *MAthClBVa* et *γρ* in marg Mor *γεγενῆσθαι HVLiLa* *γενέσθαι Ma* edd | *οὐχ οὕτω* scripsi auctore Re („*aut λυπεῖ γὰρ οὐχ οὕτω τὸ aut paulo post leg. est ἀλλ' loco ὡς*“) *οὐ* libri edd *οὐ τόσον μὴ* Iacobs Lect | *γεύσασθαι Ma* sed *γρ γενέσθαι* in marg m², *Cl* sed *γ* in ras m² 3 *ὡς ἡ* in ras 2 litt *Ma²* | *ὡς* om *Cl* | *δὲ* post *ἡ Cl* 4 *ἀλλ'* in ras *Ma²* 5 signum interrogationis posui ex *HLiMaCl* punctum reliqui libri edd | *ἐγγυητὴς Cl* sed *νη* in ras m² 6 *ἑταίραις Cl* sed *ἑταί* in ras m² 7 *τοὺς*(2) — 8 *ἐντείνοντας* om *MaCl* 9 *τούτους* scripsi ex *HLiLaMAthMaClB Va* *τούτοις V* edd 10 *εὐφραίνουσι Ma* sed *εὐ* et *σι* in ras m² 12 *ἀναδύουσι Va* sed *γρ ἀνακύπτουσι* in marg m² 13 *οὐ* ante *δυστυχίας La* | *δυστυχία HLi* 14 *πονηρία H* | *ἂν* post *πονηρίας B* 15 *δὲ LiMa* sed in hoc *δὴ* suprascr m² 16 *ἢ* in ras 1 litt inser *Ma²* | *τοσοῦτον Ma*

ἢ συνοικῆσαι δευτέρᾳ. 44. ἔπειτα τί καὶ δέδοικας; σὺ μὲν γὰρ ἔχεις τὸν θεραπεύσοντα καὶ κουφιοῦντα τὸ γῆρας τουτονὶ τὸν τῆς ἀποκηρύξεως ἄξιον, τὸ δὲ ἡμέτερον ἄφες. ἐμοὶ μεῖζον παίδων εἰς παραμυθίαν τὸ μηδὲν ἐμαυτῷ δυσσεβὲς συνειδέναι. πολλῶν εὐπορήσομεν βοηθῶν ἀπὸ τῆς παρούσης γνώμης, τοὺς δ' ἴσως καὶ παῖδας θησόμεθα. γάμου δὲ καὶ τὴν μνήμην, ὦ πάτερ, ἄνελε. οὐ γὰρ ἐν ὑμεναίοις ἐμοὶ τὰ πράγματα, πολλῶν εἰμι συμφορῶν ἀνάμεστος. ἔα με ταύτας ὀδύρεσθαι.

45. Ὦ ψυχὴ γυναικὸς γενναίας, σύ μοι τῆς ἀποκηρύξεως αἰτία. τί γὰρ οὐκ ἔμενες κατὰ χώραν; τί δὲ οὐκ ἐμιμοῦ τὸν πατέρα; τί δὲ παρῄεις τοῖς ἔργοις τὴν φύσιν; ὦ θαλάττιοι δαίμονες, ἀντὶ ποίων ἀδικημάτων κατεδύσατε τὸ σκάφος; τίνα καταγνόντες τῆς ἀναγωγῆς ἀηδεστέραν αἰτίαν; 46. ἤκουσεν ἡ δυστυχὴς τὴν ἐμὴν δουλείαν, ἐπλήγη πρὸς τὴν ἀκοήν, ἐμηχανήσατο πόρον, ἐξέπλευσεν ἀπαλλάξουσα τῶν δεινῶν. ὑμεῖς δὲ ἀντὶ τοῦ σῶσαι καὶ στορέσαι τὸ κλυδώνιον καὶ παραπέμψαι πρὸς λιμένας ἀνετρέψατε καὶ διεφθείρατε καὶ

---

1 δευτέρα συνοικῆσαι *Li* | δέδωκας *Li* 2 γὰρ om *LaMa* | θεραπεύσαντα *Li* | κουφιῶντα *HV* 4 παίδων om *Li* | εἰς παραμυθίαν παίδων *La* 5 ἐμαυτῷ δυσσεβὲς scripsi ex *HV LiLaAthMaClBVa* δυσσεβὲς ἐμαυτῷ *M* edd | εὐπορήσωμεν *La* 6 τούς *HMaCl* | ἤδη post ἴσως inser *Ma*^{2} 7 κτησόμεθα Ferr et γρ in marg Mor | γάμον δὲ καὶ τῆς μνήμης *MaCl* sed in hoc τῆς μνήμης e τῇ μνήμῃ corr m^2 8 οὐ γὰρ ἐν om *Li* | Ὑμεναίοις Mor Re 11 et 14 ὦ *B* | γυναικὸς γενναίας scripsi ex *HVLiLaMaCl* γενναίας γυναικὸς *MAthBVa* edd 12 καταχώραν *La* καταχῶραν *Va* 13 τοῖς ἔργοις τὴν φύσιν scripsi ex *HVLiLa* τὴν φύσιν τοῖς ἔργοις *MAthMaClBVa* edd 15 κατελύσατε *MaCl* 16 ἤκουσεν *Ma* sed εν in ras m^2 | δουλείαν τὴν ἐμὴν *M* 18 ἀπαλλάσσουσα *Li* ἀπαλλάττουσα Ferr et γρ in marg Mor 19 στορέσαι *M* sed ρ e λ corr *y* 20 λιμένα *Va* et mavult Re | ἀνεστρέψατε *HV* | καί(2) om *MaCl*

διενείματε τὴν ἡμετέραν συζυγίαν λῃσταῖς καὶ ναυαγίοις. 47. τί οὖν, εἴπερ ἀναγκαῖον ἦν, οὐ μετηλλάξατε τὰς τύχας; ὤφελον ἐγὼ κεῖσθαι νῦν, ἡ δὲ ἐφ' ἡμῖν δακρύειν. ἐπεὶ δὲ τοῦτο οὐχ ὑπῆρξε, δὸς ἡμῖν, ὦ πάτερ, χάριν μετρίαν· ἐπίτρεψον μέχρι τῆς τελευτῆς θρηνεῖν. μηδὲ στεφανώσῃς μηδὲ προσείπῃς αὖθις | νυμ- R IV 653
φίον. αἰσχύνομαι τοὺς λῃστάς, εἰ πύθοιντο γάμους δευτέρους. 48. ὅλως δέ, εἰ καὶ σφόδρα βουλοίμην ὑπακούειν, οὐχ ὁρῶ πῶς ἂν δυναίμην. φαιδρὸν εἶναι δεῖ τὸν νυμφίον, ἐγὼ δὲ κατηφής, ἀνειμένον, ἐγὼ δὲ συνεσταλμένος, ἐρωτικόν, ἐγὼ δὲ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνέραστος. φοβοῦμαι μὴ τοῖς ὑμεναίοις ἀναμίξω τὰ δάκρυα, φοβοῦμαι μὴ ταῖς εὐχαῖς τὰς οἰμωγάς. κατείλημμαι τὴν ψυχὴν ἀκριβῶς ἐξ ἐκείνης. ὁμολογῶ βλέπειν τὸν τύπον, ἀκούειν μοι δοκῶ τῆς φωνῆς ἐκείνης. δέδοικα μὴ τῇ δευτέρᾳ συγκατακείμενος ἐκείνην ἀνακαλέσωμαι. 49. καὶ μὴν τοῖς γε ποιηταῖς σύνηθες ᾄδειν ἐπὶ θύραις νυμφίων μέλη. ταῦτα δ' ἐστὶν εὐ-

---

1 cf. t. VI 516, 10 18 cf. De la Ville de Mirmont, Mélanges L. Havet p. 571 sq.

---

1 λῃσταῖς *HLiAthMa* Ferr 2 οὐχὶ *MaCl* 3 ὄφελον *HVM* cf. t. VI 379, 11 4 ὑπῆρξεν *Ma* | ὦ om *HVLiLaAthMaCl* | πάτερ om *La* 5 τὴν ante χάριν *La* 6 μὴ δὲ *HLiLaMaClMBVa* μὴ edd | μὴ δὲ *HLiMaClBVa* Ferr | προσείπῃς *Cl* sed σ inser m[3] 7 λῃστάς *HLiMa* Ferr λογιστὰς *BVa* | εἰ in ras *Ma*[3] 8 ὑπακούσειν *BVa* 10 ἀνειμένον *La* sed ει eras et in ημ corr *p* 11 ἐρωτικόν — 12 ἀνέραστος praemissis verbis ἀνέραστος καὶ ὁ μὴ ἐρῶν καὶ ὁ μὴ ἐρώμενος. Λιβάνιος ἐν μελέτῃ τῇ Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησεν citat Thomas Mag. s. v. ἀνέραστος p. 42, 8 R | ἐρωτικόν om *Cl* | δὲ om Ferr δ' *MB* 12 ἀναμίξω scripsi ex *HVLiLaM* sed in hoc ω ex αι corr *y*, *MaB* ut coni Re ἀναμίξαι *ClVa* edd 13 οἰμωγάς *Ma* sed οἰμω in ras m[2] 14 καὶ post ὁμολογῶ *La* | βλέπειν — 15 ἐκείνης om *HVLi* 16 ἀνακαλέσομαι *HVLiMaCl* 17 γε om *HV* τε Ferr 18 δέ

φημία τῶν μιγνυμένων ἐπ' ἄλλοις τε πολλοῖς καί, τὸ μέγιστον, τῷ δεξιῷ τῆς τύχης. τί βούλει δρᾶσαι τὸν ποιητὴν εἰς τὸ μέρος τοὐμόν; εἰπεῖν ὡς εὐδαίμων; ἀλλὰ ψεύσεται. ἀλλ' ὡς ἄθλιος; ἀληθὴς μὲν ὁ λόγος, ἀλλ' οὐ συνᾴδων τοῖς γιγνομένοις.

50. Ἄνδρες δικασταί, ἐγὼ πάντα πλὴν ἑνὸς τούτου πείθομαι τῷ πατρί· μαστιγούτω, στρεβλούτω, τὰ τῶν οἰκοτρίβων ὑπουργεῖν ἐπιταττέτω, θαυμάσεται τὴν ἐν τοῖς ἄλλοις ἑτοιμότητα. τουτὶ δὲ μόνον σιωπάτω, τὸν γάμον. δεινῶς μου στρέφει τοὔνομα τὴν ψυχήν. εἰ δὲ δεῖ δυοῖν θάτερον, ἢ γαμεῖν ἢ μεθεστάναι, ὅ τι μὲν ἀπολογήσεσθε ταῖς ὑμετέραις αὐτῶν γυναιξὶ ταύτην θέμενοι τὴν ψῆφον, οὐκ οἶδα, ἐγὼ δὲ ὑποχωρήσω μέν, οὐκ ἐπινεύσω δὲ ὅμως τὴν γνώμην κρείττω δεῖξαι τοῦ σχήματος.

---

7 cf. t. VI 334, 15 12 cf. t. II 33, 4; VI 223, 14

HLaMa δὲ *Cl* δι' *Li* | ἐστὶν om *Li* εἶναι *Ma* sed γρ ἐστὶν in marg m[2] | εὐφημία scripsi ex *HVLiLa* εὐφημίαι *MCl* sed in hoc ι(2) in ν corr, *BVa* edd εὐφημίαν *Ma*

1 ἐπάλλοις *La* | τοῖς *Li* 2 βούλη *La* | δρᾶσαι scripsi e *La* δράσαι reliqui libri edd 3 ὡς εὐδαίμων in ras *Va*[2] | εὔδαιμον *La* 4 μὲν om *Li* 5 συναδίοις *Li* | τοῖς om *Li* | γινομένοις *HVClVa* Mor Re γινόμ cum lac 4 litt *Li* | post γιγνομένοις punctum posui colon *Li* comma reliqui libri edd 6 post δικασταί comma posui cum Ferr, punctum libri sed om *Cl*, Mor Re 8 οἰκοτρίβων *La* sed ʹ del et βων in ras *p* | ποιεῖν *Li* 9 ἑτοιμότητα *Ma* sed ἑ in ras et τοι in marg m[2] | ταυτὶ *MaCl* 10 μοι *MaCl* 11 δεῖ inserui e *LaM* sed in hoc inser *y*, *MaClBVa* sed in hoc inser δοῖτε *HV* om *Li* edd | δυεῖν *Va* | μεθιστάναι *HLi* Ferr Mor | ὅτι *Cl* 12 ἡμετέραις *Va* | „ταύτην *an* ταύτῃ *perinde est*" Re 13 ὑποχωρήσω *Ma* sed χω inser m[2] 14 ὅμως reposui ex *HVLiLaMMaCl B* ὥστε *Va* edd | δεῖξαι κρείττω *HV* | κρείττονα *La* sed e κρεῖττον corr *p*

51. *Τίς οὖν ἐστι παραμυθία; κρότος ὁ παρὰ τῶν σωφρόνων, ἔπαινος ὁ τῶν ἐπιεικεστέρων, ῥήματα τὰ πολλῆς οὐσίας λαμπρότερα. πολλοὶ φιλονεικήσουσιν ὑπὲρ τῆς εἰς ἐμὲ προνοίας. εἰ δ' οὖν πανταχόθεν ἐξειργοίμην, ἀρκεῖ μοι τοῦτο πρὸς ἡδονήν· θρηνῶν τὴν γυναῖκα τεθνήξομαι.*

---

1 *τί Li* | *ἐστιν Cl* | *κρότος* om *MaCl* | *ὁ* in ras *Cl*[3] | *περὶ LaMaCl* sed in hoc in ras m[3] 2 *ῥημάτων HVLiMBVa* et *γρ* in marg Mor 3 *δὲ* post *πολλοὶ V* | *φιλονεικήσουσιν Ma* sed *ήσ* inser m[2] 4 *περὶ Ma* | *δὲ Li*

Sequitur par declamationum *φιλαδέλφων*.

XLVII.

Declamatio inscripta *Ἔχων τις δύο παῖδας πρὸς τὸν ἕτερον ἐχθρωδῶς διέκειτο. ἀρρωστῶν ἐκέλευσε τῷ παιδὶ ἐν ταῖς διαθήκαις αὐτὸν μόνον ἐγγράφειν κληρονόμον. ὁ δὲ καὶ τὸν ἀδελφὸν ἔγραψεν. ὑγιάνας ὁ πατὴρ καὶ εὑρὼν καὶ τὸν ἕτερον ἐγγεγραμμένον ἀποκηρύττει τὸν ἐγγράψαντα*, qua adulescens a patre aegrotante abdicatus, quia contra huius voluntatem non se solum, sed etiam fratrem illi invisum ut heredem testamento patris inscripserat, a iudicibus petit ne abdicationem ratam faciant, admiratoribus artis Libanianae minus grata fuit. Quamquam non 'corporis' finibus coercita mansit, sed etiam in eclogas transiit, tamen numerus codicum quibus ad hanc aetatem pervenit non ita magnus est. Sunt autem hi 22:

Incipio a 'corporalibus'.

1. Hierosolymitanus S. Crucis 57 (= Cr) palimpsestus saeculi XI/XII continet folio 88^{rv} verba *μὴ πάντα* p. 589, 19 usque ad *οὐ προ[λελυπημένος]* p. 594, 1; folio 33^{vr} *τὴν ὀργὴν ἐπράϋνεν* (?) p. 597, 22 usque ad *ἀπολογίας οὔσης* p. 602, 5; folio 34^{vr} verba his succedentia *ὅτι ἐμὲ* p. 602, 5 usque ad *τούς τε* p. 606, 3, sed plurima imprimis in foliis 88^{r}, 33^{v}, 34^{v} scriptura posteriore obtecta sunt. Vide t. V p. 154 sq. Excussi et quae legi potuerunt adnotavi. Sed haec ad statuendum sufficiunt codicem non, ut in reliquis partibus, e prioris, sed alterius familiae exemplari fluxisse minusque quam in illis fide praestare.

2. Laurentianus LVII 27 anno 1392 exaratus fol. 159. Vide t. I p. 59 sq.

Ex hoc descriptus est

3. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 171^v. Vide t. I p. 59 sq. Contulit Reiskia in usum mariti qui eum littera *W* insignivit.

Ex hoc per editionem Ferrariensem fluxit

4. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide t. I p. 67.

5. Barberinus II 41 nunc Vaticanus Barberinus 220 (= B) saec. XV fol. 412. Correxit manus secunda. Vide t. I p. 24 sq. Contulit meum in usum Pius Franchi de Cavaleriis.

6. Laurentianus LVII 21 saec. XIV/XV fol. 267. Vide t. V p. 158 sq.

7. Parisinus gr. 3014 saec. XIV fol. 151^v. Vide t. II p. 375 sq.

Transeo ad 'eclogarios'.

8. Parisinus gr. 3018 (= P) saec. XV fol. 126. Correxit manus secunda. Vide t. V p. 173 sq. Contuli.

9. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 153. Correctus est duabus manibus *n* et *y*. Vide t. V p. 168 sq. Contuli.

10. Matritensis 4679 olim N-49 (= Ma) saec. XIV fol. 64^v. Correctus est duabus manibus (m^2 et m^3). Vide t. I p. 362 sq. et t. IV p. 417. Contuli.

11. Berolinensis gr. 195 olim Claromontanus (= Cl) saec. XIV fol. 51^v (260^v). Correctus est manu secunda. Vide t. IV p. 410 sq. Contuli.

E communi exemplari descripti sunt:

12. Parisinus gr. 3017 (= Pa) saec. XV fol. 222^v. Vide t. II p. 4 sq. Initium contulit Boissonadius. Contuli. et

13. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 254. Vide t. I p. 363 sq.

14. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 183^v. Correctus est ex alio codice manu secunda. Vide t. I p. 48 sq. Contuli.

15. Mosquensis bibliothecae synodalis 489 antea 317 saec. XV fol. 51ᵛ. Vide t. V p. 180 sq.

16. Parisinus gr. 2988 saec. XIV fol. 244. Vide t. V p. 182 sq.

17. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 328ᵛ. Vide t. I p. 426 sq.

18. Ambrosianus C 47 sup. (179 in catalogo Martinii et Bassii) saec. XV fol. 97. Vide t. II p. 56 sq.

19. Chalcenus monasterii Sanctae Trinitatis 145 saec. XV fol. 319. Vide t. V p. 224 sq., ubi pro fol. 321 scribendum erat 319 et (669) pro (687). Initium et finem nuperrime mihi descripsit Hier. Markowski. In universum quidem fere locum inter *Pa* et *Va* medium tenet, sed etiam mixtae recensionis vestigia exhibet ac ne interpolationibus quidem ut p. 585, 18 ὑπεῖξαι pro συγχωρῆσαι; p. 587, 20 παρῆν pro παρείχομεν prorsus liber est.

20. Escurialensis T-II-15 (151 in catalogo Milleri) saec. XVI fol. 33ᵛ. Descriptus est e Barberino vel eius fonte. Vide t. V p. 7 sq.

21. Smyrnaeus bibliothecae scholae evangelicae B-9 saec. XVIII fol. 418. Descriptus est ex editione Morelliana. Vide t. V p. 415.

22. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 306 saec. XVII/XVIII fol. 43. Continet declamationem cum paraphrasi interlineari. Vide supra p. 113.

Ex his quos in censum vocandos esse duxi codices octo *P MCrMaClPaB Va* rursus in duas discedunt familias, quarum prior codicibus *PM*, altera codicibus *CrMaClPaB Va* continetur, ita tamen ut non solum *B*, ut crebro, sed etiam *Pa* vim codicis prioris familiae (*b*) expertus sit. Unde evenit ut et *Pa* dissentiens a *MaCl*[1]) et *B* dissentiens a *Va*[2]) cum *PM* faciant.

Necessitudinis autem vinculum quod inter singulos codices intercedit hoc tibi reddet stemma

---

1) Cf. p. 587, 22; 589, 11; 590, 15; 594, 14.
2) Cf. p. 584, 12; 585, 6; 587, 22; 590, 11; 593, 8; 599, 1.



In universum in archetypo reddendo prioris familiae fides maior est quam alterius.

Testimonia non exstant nisi Macarii Chrysocephali[1]), qui quattuor locos laudavit alterius familiae codice usus propius a *CrMaClPa* quam a *BVa* stante.

Declamatio in lucem protracta est anno 1517 editione Ferrariensi (= Ferr) fol. 81ʳ—88ʳ quae e Wolfenbuttelano codice prioris familiae fluxit. Hanc, ut e quibusdam vitiis, velut *οἶδες* p. 599, 6, elucet, pro fundamento habuit Fed. Morellus Lib. opp. t. I p. 846—861 (= Mor), sed nonnullis locis eius lectiones cum aliis mutavit quas vel e codice alterius familiae prope a *CrMaClPa* stante — Parisino gr. 3014 ut videtur[2]) — sumpsit vel ipse excogitavit.[3]) Huius editionis menda haud pauca immemor Ferrariensis tum ope codicis Wolfenbuttelani tum ex ingenio sanavit Reiskius (= Re), sed uxor eius quae editionem (t. IV p. 669—686) curavit non omnes mariti emendationes in textu reposuit.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum 'Lectionum' libro[4]), Boissonadius qui codice Parisino 3017 usus est[5]), C. Sintenis[6]), Cobetus.

---

1) Cf. t. I p. 351 sq.
2) Cf. supra p. 115.
3) Hoc potissimum de voculis valet male ab eo insertis ut *ἤδη* p. 584, 4; *καὶ* p. 590, 15; *τοῖς* p. 591, 5.
4) Cf. t. I p. 77 et V p. 198.
5) Cf. t. I p. 78.
6) Cf. t. I p. 78.

XLVII.

Ἔχων τις δύο παῖδας πρὸς τὸν ἕτερον ἐχθρωδῶς διέκειτο. ἀρρωστῶν ἐκέλευσε τῷ παιδὶ ἐν ταῖς διαθήκαις αὐτὸν μόνον ἐγγράφειν κληρονόμον. ὁ δὲ καὶ τὸν ἀδελφὸν ἔγραψεν. ὑγιάνας ὁ πατὴρ καὶ εὑρὼν καὶ τὸν ἕτερον ἐγγεγραμμένον ἀποκηρύττει τὸν ἐγγράψαντα.

1. Ἀλλ' εἰ καὶ χαλεπὸς ἡμῖν πέφηνε μετὰ τὴν R IV 669 νόσον ὁ πατὴρ καὶ τοιοῦτος οἷον οὐκ ἄν ποτε ἤλπισα,

---

P = Codex Parisinus gr. 3018
M = Marcianus gr. 439
Cr = Hierosolymitanus S. Crucis 57
Ma = Matritensis 4679, olim N-49
Cl = Berolinensis gr. 195 olim Claromontanus
Pa = Parisinus gr. 3017
B = Barberinus II 41 (Vaticanus Barb. 220)
Va = Vaticanus gr. 82

---

1 *Συγγνώμη M* cf. Hermog. stat. 2 et 6 Rhet. gr. ed. Spengel. II 140, 6 et 163, 19 sq. c. scholl. Rhet. gr. ed. Walz. t. IV 650, 12 sq.; 670, 8; 687, 12; 699, 14 sq.

---

1 *Θεωρία* ante *Ἔχων* Ferr, *Ἄλλη μελέτη. Θεωρία* Mor Re delevi | *τίς MaClVaPa* edd | *παῖδας δύο MaClPa* | *ἐχθρωδῶς* scripsi e *MaClB* sed in hoc *θ* inser m², *Va* et *γρ* in marg Mor cum Iacobsio Lect 136 *ἐχθρῷ M* sed *δῶς* add *y* *ἐχθρῶςωδῶς Pa* *ἐχθρῶς P* edd 2 *ἐκέλευε MaClPa* *ἐκελεύετο Va* | *ἐν ταῖς* om *Va* 3 *αὐτὸν MaCl* 5 *εὑρὼν καὶ* om *Pa* sed *ἰδὼν* post *ἐγγεγραμμένον* 6 *γράψαντα B Va* 7 *Φιλαδέλφου ἀποκηρυττομένου ἀπολογία.* ante *Ἀλλ'* Mor Re, *Ἡ μελέτη* Ferr delevi 8 *οἷος* Re

διετέλει γάρ, ὦ δικασταί, τὸν ἐμὸν ἐπαινῶν τρόπον, ὅμως οἶμαι δεῖν τοῖς θεοῖς ἔχειν χάριν, ὅτι διαπέφευγε μὲν τὸν κίνδυνον, πράττειν δὲ ἃ τῶν ὑγιαινόντων ἐστὶ δύναται καὶ δικαστήρια καθίζειν καὶ ἐγκαλεῖν οἷς R IV 670 *ἂν | ἐθέλῃ. καὶ γὰρ εἰ κατ' ἐμοῦ πρώτου τοῖς ἀπὸ τῆς ὑγείας κέχρηται καὶ παρακελεύεταί γε ὑμῖν τῇ ψήφῳ τῆς οἰκίας ἐκβαλεῖν, ζῆν γε αὐτὸν ἔγωγε μᾶλλον ἂν ἠβουλόμην ἢ τεθνεῶτος μηδὲν αὐτὸς τοιοῦτο παθεῖν.* 2. *καὶ οὐ μόνον γε τὸν τῆς ἀποκηρύξεως φόβον μετριώτερον ἂν ἡγησάμην τῆς τοῦ πατρὸς τελευτῆς, ἀλλ' εἰ καὶ δυοῖν ἔδει συμβῆναι θάτερον, ἢ τοῦτον ἀπελθεῖν ἢ ἐμέ, τό γε μὴ τοῦτον προτιμότερον ἂν ἐθέμην, τοῖς θεοῖς δέ, οἷς, ἡνίκα οὗτος ἔκαμνεν, ηὐχόμην λῦσαί τε τὸ παρὸν κακὸν καὶ τῆς ἀρρωστίας ὡς τάχιστα ἀπαλλάξαι, τούτοις καὶ νῦν εὔχομαι διαλλάξαι τέ μοι τὸν θυμούμενον καὶ καταστῆσαι πρᾷον καὶ δοῦναι ταύτην δευτέραν χάριν τότε μὲν τὴν νόσον παύσαντας, ἐν δὲ τῷ δικαστηρίῳ τὴν ὀργὴν τοῦ πατρός.*

3. *Χάριν μὲν οὖν ἔχω καὶ τῶν ἐπιτηδείων τοῖς*

---

1 *ἄνδρες MaClVa* cf. p. 585, 5; 587, 11; 589, 22; 596, 3; 597, 17; 598, 12; 599, 3; 603, 10; 605, 1; 607, 12 | *ἀεὶ* post *ἐπαινῶν Pa* cf. Boissonad. Tzetz. alleg. 396 4 *ἐστὶν P* Mor Re | *ἤδη* ante *δύναται* Mor Re delevi | *δύνασθαι* Ferr et *γρ* in marg Mor 5 *εἰ* om *B* | *πρῶτον MaClPa* 6 *ὑγιείας M* sed *ι* (1) inser *y*, *MaCl* | *παρακελεύεθ' VaPa* | *γε* om *MaClPaBVa* 7 *τὲ MaClPaBVa* et *γρ* in marg Mor 8 *ἂν μᾶλλον BVa* | *ἂν* om *MaClPa* | *ἐβουλόμην M* sed *ε* ex *η* corr *y*, *Pa* 9 *τοῦτο BVa* 10 *φόβον Ma* sed *γρ τρόπον* in marg *τρόπον Cl* sed *γρ φόβον* in marg 11 *συμβαίνειν Pa* sed *συμβῆναι* in marg 12 *ἀποθανεῖν Pa* sed *γρ' ἀπελθεῖν* in marg | *μέ Ma* | *μὴ* om *MaClPaVa* | *τούτοις MaCl* *τούτου VaPa* 13 *ἐθέμην ἄν MaClPaVa* et *γρ* in marg Mor | *ἂν* — 14 *κακὸν* in marg *Cl*[2] | *οἷς* om *PaBVa* | *ἔκαμ* cum lacuna 2—3 litt *B* 14 *λύσαι PPaBVa* edd 16 *τὸν* om *M* | *πρᾶον Va* 17 *δοῦναι* om sed *εἶναι* post *ταύτην Ma ClVa* *εἶναι* (*δοῦναι* supra) *B* 18 *τοῖς δικαστηρίοις Ma*

πολλοῖς καὶ τῶν γένει προσηκόντων οὐκ ὀλίγοις, οἳ ταῦτα αἰσθόμενοι καὶ παρ' ἡμᾶς ἀφίκοντο καὶ τὸν πατέρα πείθειν ἐπεχείρουν μὴ χαλεπαίνειν τοῖς πεπραγμένοις ὡς συγγνώμην ἔχουσιν· ἐπαινῶ δὲ καὶ ὑμᾶς, ὦ δικασταί, τῆς γνώμης, ἣν ἐσχήκατε τῆς αἰτίας ἀκούοντες. εἰωθότων γὰρ ἐπιεικῶς τῶν δικαζόντων ἐν τοῖς πρὸς τοὺς παῖδας τῶν πατέρων ἀγῶσι μετὰ τῶν διωκόντων γίγνεσθαι, κἂν μηδὲν ἐγκαλῶσί τι δίκαιον, ὑμεῖς ἀκούοντες τῶν πρὸς τὸν ἀδελφόν μοι πεποιημένων δῆλοι τοῖς προσώποις ἐγένεσθε μήτε μεμφόμενοι τὸ ἔργον ἕκαστός τε ταὐτὸν ἂν πράξας ἐν ὁμοίοις καιροῖς πρὸς ἀδελφὸν ἑαυτοῦ. καὶ πολλά γε ὑμῖν ἀγαθὰ γένοιτο χρηστοῖς τε οὖσιν οὕτω καὶ τῶν ὅρκων οὓς ὀμωμοκότες κάθησθε | μηδὲν ἰσχυρότερον ποιου- R IV 671 μένοις. 4. δέομαι οὖν ὑμῶν φυλάξαι τε ἣν ἔχετε γνώμην καὶ παραινέσαι τῷ πατρὶ μηδὲν ἠδικῆσθαι νομίζειν, εἰ πατήρ ἐστι παιδὸς εἰδότος τὸν ἀδελφὸν ἐλεεῖν. καὶ γὰρ εἰ μὴ τοῖς τῶν ἄλλων ἠβουλήθη συγχωρῆσαι λόγοις πολλοῖς τε οὖσι καὶ μετὰ δεήσεων γιγνομένοις, ἀλλ' οὐ τά γε ὑμῖν ἀρέσκοντα δύναιτ' ἂν ἀτιμάσαι.

---

1 τῶν scripsi e *PMClPaVa* ut coni Re τῷ *MaB* edd 4 ὡς om *PM* et γρ in marg Mor 5 ἄνδρες *MaClPaVa* et γρ in marg Mor | τὴν αἰτίαν *MaClPa* 6 εἰωθότων — 9 ἀκούοντες om *Va* 7 τῶν πατέρων om *B* 8 γίνεσθαι *MaClPa* | τι om *MaClPa* et γρ in marg Mor τί edd sed „*aut delendum est* τι *ex auctoritate marginis Mor aut leg. est eius loco* τισί" Re at cf. t. VI 576, 17 9 μου *MaClVa* 10 ἐγίνεσθε *MaClPa* 11 τῶν ἔργων *B* sed ν bis eras et τὸ ἔργον suprascr, *Va* | πρᾶξαι *MaClPa* 13 οὕτως οὖσιν *MaClPaBVa* 14 ὠμομοκότες *P* ὁμωμοκότες *Ma* ὁμωμωκότες *Va* sed ʽ in ʼ corr m² | πεποιημένοις *MaPa* sed in hoc γρ' ποιουμένοις in marg, *B* 16 ἠδικεῖσθαι edd sed ἠδικῆσθαι scribendum dixit Mor Not f. VII 3 17 τὸν om *MaClPaVa* 18 ἐβουλήθη *B* edd 19 καὶ om *Cl* | γινομένοις *MaClPaBVa* 20 δύναιτ' ἂν] δύνατ' *Va* δύναται *MaClPa*

5. Τὸ μὲν οὖν προσῆκον ἦν ἑορτὴν ἄγειν ἡμᾶς νῦν ἐπὶ τῷ τοῦτον διαπεφευγέναι τὴν νόσον καὶ θύειν μὲν σωτῆρσι θεοῖς, ἑστιᾶν δὲ καὶ τοὺς οἰκείους, τὰ δὲ πρὸς τοὺς ἔνδον δυσχερῆ πάντα ἀνῃρηκέναι καὶ τὴν περὶ τὸ σῶμα τύχην τούτῳ τιμᾶν· ἐπεὶ δὲ οὐκ ἔφθη ῥαΐσας ὁ πατὴρ καὶ τὴν πρώτην οἴκοθεν ἔξοδον ἐπ' ἐμὲ πεποίηται καὶ τῆς ἐπ' αὐτῷ λύπης ἄρτι πεπαυμένης ἡμῖν ἑτέρας λύπης ἀφορμὴν ἀντεισάγει τοῖς οἴκοι τῷ ἐμὲ ζητεῖν ἀλλότριον αὑτοῦ τε κἀκείνων ἀποφῆναι, τί λοιπὸν πλὴν ὑμᾶς ἐμοὶ γενέσθαι βοηθοὺς ὁρῶντας ὅτι τῷ μὲν πατρὶ πολλοὶ τῶν δεινῶν πάρεισιν εἰπεῖν δοῦναι δυναμένῳ λαβεῖν ἐπιθυμοῦντες, ἐγὼ δὲ αὐτός τε ἄπειρός εἰμι πραγμάτων καὶ δικῶν καὶ τὸν συνεροῦντα οὐκ ἔχω χρημάτων τε ἀπορῶν καὶ οὐδενί πω τοιοῦτον προεισενεγκών; 6. ἔτι δὲ ὃς μόνος εἰκότως ἂν καὶ συνεξητάζετό μοι καὶ συνικέτευεν ἀδελφὸς τὰ μὲν αἰσχυνόμενος, τὰ δὲ φοβούμενος οὐδὲ εἰσελθεῖν δεῦρο τετόλμηκεν ἐνθυμούμενος πρὸς τοῖς ἄλλοις, ὅτι μοι τηλικούτων αἰτία γέγονε κακῶν ἡ πρὸς αὐτὸν εὔνοια.

7. Ἐγὼ μὲν οὖν ἐβουλόμην σεσιγῆσθαι πάντα τὰ πεπραγμένα πρὸς ἀλλήλους ἡμῖν ἐν τῷ τελευταίῳ χρό-

6 cf. t. I 101, 16; VI 608, 5 16 Dem. Mid. p. 576, 11

1 ἑορτὴν ἡμᾶς ἄγειν *MaClPaVa* γρ ἡμᾶς ἄγειν ἑορτὴν in marg Mor 2 νῦν om *MaClPaVa* | τῷ τοῦτον *Ma* sed e τοσοῦτον corr m³ 8 ἑτέραν *PaVa* sed ν in σ corr m² | οἴκοις *Cl* 9 τὸ *Va* | αὐτοῦ *PMaClBVa* edd 10 ἐμοῦ *MaCl* ἐμαυτοῦ *Pa* | γεγενῆσθαι *Pa* 11 εἰπεῖν πάρεισι *MaClPaVa* 13 οἴκων *Va* | συναινοῦντα *MaCl* 15 ἂν εἰκότως *B* | εἰκότως om *MaCl* 16 συνεξητάζετό scripsi e *MaClPaBVa* ut coni Re συνεξήταζέ *PM* edd | ταμὲν *Pa* 19 γέγονε *M* sed o in ras *y* 21 οὖν om *MaClPa* | ἠβουλόμην *Va* 22 γεγραμμένα *Ma*

νῳ, καὶ γὰρ εἰ φιλοτιμίαν μοί τινα φέρει τὰ περὶ τὰς διαθήκας, ἐφ' αἷς ἐλαύνομαι τήμερον, ἀλλ' ἥ γε περὶ τὸν ἀδελφὸν δυσχέρεια καὶ τὸ χαλεπῶς πρὸς αὐτὸν διατεθῆναι τὸν πατέρα καὶ ὅσα τούτου τοῦ μέρους κέρδος ἂν ἦν ἡμῖν τοὺς πολλοὺς λανθάνοντα· τοῦ πατρὸς δὲ καὶ τῆς κατηγορίας οὐκ ἐώσης αὐτὰ | R IV 672 *σιγᾶσθαι πειράσομαι μὲν αὐτῶν μνησθῆναι διὰ βραχέων, ἔστω δέ μοι καὶ τούτων αὐτῶν τῶν βραχέων ἠναγκασμένῳ συγγνώμη.*

8. *'Εγενόμεθα τούτῳ δύο παῖδες, ἐγώ τε ὁ νῦν φεύγων, ὦ δικασταί, καὶ ὁ δυστυχὴς ἀδελφός, πρεσβύτερος μὲν ἐγώ, νεώτερος δὲ ἐκεῖνος. ἐνιαυτὸς ἐν μέσῳ τῆς γενέσεως ἀμφοτέρων, ὥσθ' ἡμῖν ὡσπερανεὶ διδύμοις κοινωνῆσαι συνέβη καὶ τροφῆς καὶ παιδείας καὶ σπουδαίων καὶ τερπνῶν καὶ τῶν ἔνδον καὶ τῶν ἔξω, πάντων ἁπλῶς καὶ μικρῶν καὶ μειζόνων.* 9. *φοιτῶντες δὲ εἰς τὰς παλαίστρας καὶ τὰ διδασκαλεῖα μετ' αἰδοῦς τε καὶ εὐταξίας ᾗ τοῖς εὖ γεγονόσι προσήκει ἐπῃνούμεθα μὲν αὐτοί, μακαρίζεσθαι δὲ τῷ πατρὶ παρὰ τῶν ἐν τῇ πόλει παρείχομεν, ὥσθ' ὑπῆρχεν αὐτῷ γεγηθέναι τε καὶ μετ' εὐθυμίας διάγειν.* 10. *καὶ ταῦτα οὐ ψεύδομαι, ὦ πάτερ. οἶσθα γὰρ ὡς ἡδόμενος ᾔεις, ὁπότε σε παραπέμποιμεν εἰς ἱερὰ ταῖς νουμηνίαις, ὁ μὲν ἔνθεν,*

---

1 *τινά μοι MaClPaBVa* | *γρ παρὰ* in marg Mor 4 *τὸν* om Re 5 *ἦν* om *PM* | *τοῖς πολλοῖς MaClVa* 6 *τῆς κατηγορίας δὲ καὶ τοῦ πατρὸς MaClPaVa* 7 *διὰ βραχέων* om *Ma ClVa* 8 *ἔστω* om *Pa* | *καὶ τούτων αὐτῶν δέ μοι Pa* | *αὐτῶν* om *MaCl* 10 *δύο τούτω Ma* | *γρ τ' οὖν ὁ φεύγων* in marg Mor | *ὦ ἄνδρες ὁ νῦν φεύγων MaCl* 11 *ἄνδρες MaClPaBVa*
13 *ὥσπερ ἂν εἰ PMMaClPa ὥσπερ ἂν ἐν BVa* 17 *τε* om *MaClPa* 18 *ἣ Cl ἦ Pa* 19 *περὶ Va* 21 *διάγειν Ma* sed *δια* in ras m[3] 22 *ᾔεις* scripsi e *MaClVa* cum Iacobsio App Pors 308 Lect *εἴης PMPaB* edd

ὁ δὲ ἔνθεν βαδίζων, ὅτε σοι καὶ τὸ πλεῖστον τῆς εὐχῆς ἦν τὼ παῖδέ σοι τῆς οὐσίας κληρονόμω γενέσθαι καὶ μηδένα δαίμονα μηδὲ φθόνον κινῆσαί τι τῶν παρόντων ἀγαθῶν. 11. ἀλλὰ σὺ μὲν ταῦτα ᾔτεις, χαλεπὸν δὲ ἄρα ἦν νικῆσαι τοὺς βασκάνους. οὕτω γὰρ τῶν πραγμάτων προϊόντων καὶ δοκούντων ἡμῶν εὖ πράττειν πλημμελεῖ μέν τι καὶ οὑμὸς ἀδελφός, δεῖ γάρ τά γε ἀληθῆ λέγειν, καὶ μικρόν τι τῆς ἔμπροσθεν ἐκφέρεται τάξεως. τοῦτο δὲ ἁρπάσας ἄνθρωπός τις φάσκων εὔνους εἶναι τῷ πατρὶ προσελθὼν καὶ στενάξας ὡς δὴ συναχθόμενος κατηγορῶν ἀπόντος τοῦ νέου μεγαλύνων τὸ σμικρὸν καὶ τοῦτο αἴρων τῷ λόγῳ φάσκων αἰσχύνεσθαι τοῖς ἡμετέροις κακοῖς ἄγριον ἐποίησεν ἄνθρωπον οὐ τοιοῦτον. 12. καὶ ἧκεν εὐθὺς ἐχθρὸς τοῦ παιδός. τῷ δὲ οὐκ ἦν οὐ στῆναι πλησίον, οὐκ εἰπεῖν τι
R IV 673 πρὸς τοῦτον, οὐκ ἀκοῦσαί τι λέγοντος, | οὐ κοινωνῆσαι τραπέζης. καὶ πολλή γε τῷ πατρὶ χάρις ὅτι μὴ καὶ τότε πρὸς ἀποκήρυξιν ὥρμησεν. οὕτως ὁ χρηστὸς ἄνθρωπος ἐκεῖνος οὐκ ἀνίει τὴν ὀργὴν ἀκονῶν. 13. καὶ ἔμελλε δὴ καὶ ἐπ' ἐμὲ πορεύεσθαι τὸ πρῶτον ἐξεργασάμενος, οὔπω δὲ διαβεβλημένος ἐγὼ πεσὼν εἰς τοὔδαφος ἐδεόμην τοῦ πατρὸς μὴ πονηρὸν οὕτω νομίζειν τὸν υἱὸν μηδὲ τὴν τῶν συκοφαντούντων κακοήθειαν πιστοτέραν ποιεῖσθαι τῆς ἀληθείας. αὐτὸς γοῦν ἔφην

---

2 κληρονόμω τῆς οὐσίας *Ma* | κληρονόμους *B* 3 μὴ δὲ *PMaClPaBVa* Ferr 5 ἆρα *Cl* 7 πλημελεῖ *PMMaVa* Ferr | οὑμὸς] ὁ *MaClPaBVa* | τά γε ἀληθῆ] τὰ τε ἀληθῆ *Va* τἀληθῆ *MaClPa* 8 φέρεται *PaVa* 9 ἄνθρωπος τίς *Ma* 11 κατηγοροῦντος *B* 12 μικρὸν *PaBVa* 15 τί *MMa* 16 τί *MaClB* 18 καὶ om Ferr | τότε scripsi e *Ma* τό τε reliqui libri edd | τὴν ante ἀποκήρυξιν *Pa* 19 ἐκεῖνος ἄνθρωπος *MaClPaBVa* 20 πρὸς *Ma* | τοπρῶτον Mor | ἐξειργασμένος *Pa* 23 μὴ δὲ *PMaClPaBVa* Ferr 24 ποιῆσαι *MaClPa*

ὁ συνὼν ἐγὼ καὶ συνεξευγμένος καὶ πάντα εἰδὼς ἐπιτιμᾶν μὲν αὐτῷ, τοσαύτην δὲ οὐ συνειδέναι κακίαν. καὶ ἅμα ἠξίουν τοὺς διαβάλλοντας εἰς μέσον ἐλθεῖν καὶ μὴ φεύγειν τὸν ἔλεγχον μηδὲ ἐξ ἀφανῶν βάλλειν. 14. τούτοις καὶ τοιούτοις λόγοις ἐμοῦ χρωμένου καὶ τοῦ πατρὸς ἴσως ἂν ἐνδόντος ἐμπίπτει ποθὲν ἐκεῖνο τὸ τῆς νῦν αἴτιον ἀποκηρύξεως νόσημα. καὶ ἦμεν ἐν δάκρυσιν ἅπαντες, ἡ μήτηρ, ὁ τότε ἐγὼ φιλούμενος, ὁ προσκεκρουκὼς ἀδελφός, ᾧ μέγιστον ἦν τῆς συμφορᾶς τὸ μὴ ἔχειν εἰσελθεῖν παρὰ τὸν κάμνοντα μηδὲ θιγεῖν ἐγγύθεν μηδὲ ταῖς χερσὶ θεραπεῦσαι τὸ σῶμα. 15. τῆς νόσου δὲ φοβούσης ἐδόκει γε δεῖν τῷ πατρὶ διαθήκας ποιεῖσθαι καὶ καλέσας με καὶ παρακαθισάμενος καὶ τοὺς ἄλλους ἀπελθεῖν κελεύσας ἐ γ ὼ σέ φησιν ἄ ξ ι ο ν ε ἶ ν α ι ν ο μ ί ζ ω μ ό ν ο ν τ ῶ ν ἐ μ ῶ ν κ λ η ρ ο ν ο μ ε ῖ ν. κ α ί τ ο ι π ρ ό τ ε ρ ό ν γ ε ο ὐ χ ο ὕ τ ω ς ἐ γ ν ώ κ ε ι ν, ἀ λ λ' ὥ σ π ε ρ ε ἶ ν α ί μ ο ι δ ύ ο π α ῖ δ α ς, ο ὕ τ ω δ ύ ο γ ε ν έ σ θ α ι κ α ὶ τ ὴ ν ο ὐ σ ί α ν μ έ ρ η, ν ῦ ν δ ὲ ὁ σ ὸ ς ἀ δ ε λ φ ὸ ς κ ω λ ύ ε ι τ α ῦ τ α ο ὕ τ ω γ ε ν έ σ θ α ι μ ὴ π ά ν τ α τ ὰ | σ ὰ μ ι μ ο ύ μ ε ν ο ς, ἀ λ λ ὰ δ ι δ ο ύ ς τ ι- R IV 674
σ ι ν ἀ φ ο ρ μ ὰ ς τ ῶ ν κ α θ' ἑ α υ τ ο ῦ λ ό γ ω ν· τ α ῦ τ α, ἔφη, δ έ δ ο κ τ α ι. τ α ῦ τ α γ ρ ά φ ε. 16. ἐγὼ δέ, ὦ δικασταί,

4 Il. η 242 sq. 13 cf. t. III 52, 11. Dem. Apatur. p. 897, 3

2 μὲν om *Ma* | τί post αὐτῷ *MaClPa*, τι *B* 3 τε post ἐλθεῖν *Va* 4 μὴ δὲ *PMaClPaBVa* Ferr 5 τοῖς ante τοιούτοις *MaClPa* 6 δ' ἂν *MaClPa* 7 ἐν Mor sed γρ ἔχων in marg 8 ὁ τότε] ὅτε *MaClBVa* 10 περὶ *Va* | μὴ δὲ *P MaClPaB* Ferr μὴ *Va* 11 θίγειν libri edd cf. t. I 127, 18; III 259, 3 | μὴ δὲ *PMaClPaBVa* Ferr | σῶμα νόσημα *Va* τὸν κάμνοντα *MaCl* 12 γε om *MaClPaBVa* | δὴ Ferr Mor 13 καὶ (2) om *Va* 14 καὶ om *Ma* | δέ *Ma* 16 ἐγνώκειν *Va* sed κ in ras m² 18 μοι post γενέσθαι *MaClPa* | καὶ] κατὰ coni Mor 19 ἀδελφὸς ὁ σὸς *MaClPaVa* | οὕτω ταῦτα *MaClPa* | voce μὴ inc *Cr* fol. 88r 22 ἄνδρες *CrMaClPaVa*

ταῦτα ἀκούσας καὶ δακρύων ἐμπλήσας τὸ γραμματεῖον, πῶς ἂν ὑμῖν εἴποιμι τὸ πεπραγμένον; οὐκ ἐδυνήθην πεισθῆναι μὴ εἶναί μου τὸν ἀδελφὸν ἀδελφόν, ἀλλ' εἰδὼς αὐτὸν ἐκ τῆς αὐτῆς ὄντα μοι μητρὸς καὶ ταὐτοῦ πατρὸς καὶ παντὸς τοῦ περὶ ταῦτα δικαίου κατασχόντος μου τήν τε γνώμην καὶ τὴν δεξιὰν ἐνέγραψα ταῦτα ἅπερ ἂν καὶ ὁ πατήρ, εἰ πρὸ τῆς ὀργῆς διαθήκας ἔγραφε. 17. *τούτων δὲ γεγενημένων ἔδραμον εὐθὺς ἐπὶ τοὺς νεώς, εἵπετο δὲ καὶ ὁ δυστυχὴς ἀδελφός, καὶ παρὰ τῶν θεῶν προσκείμενος τοῖς ἕδεσιν ᾔτουν ὑγιᾶναι τοῦτον ἡμῖν, ὅπως ἂν τῶν ἄλλων ἀγαθῶν ἐμέ τε ἐπαινέσῃ καὶ πρὸς τοῦτον διαλλαγῇ. καὶ τῆς ὑστεραίας ἠκούομεν τῶν ἰατρῶν τὰ βελτίω λεγόντων καὶ ὡς ὕπεισιν ἐλπίδες, εἶτα ὡς νενίκηται τοῦ κακοῦ τὸ πλέον, εἶτα ὡς ἅπαν.* 18. *καλεῖ δή με πάλιν καὶ τὰς διαθήκας κελεύει φέρειν, ἀναγνοὺς δὲ καὶ συγγενόμενος ἀνθρώποις οἷς διιστάναι τὰς συγγενείας ἡδὺ μιαρὸν καὶ πονηρὸν καὶ θεοῖς ἐχθρὸν καὶ τὰ τοιαῦτα ὠνόμαζε καὶ ἔγωγέ φησιν ἐξελῶ καὶ ἀποκηρύξω. καὶ ᾤμην εἶναι τὰ τοιαῦτα λόγον, μὴ γὰρ ἄν ποτε γράμμα οὕτω*

2 *πῶς* ante *οὐκ* *PMCrClPaBVa* edd om *Ma* delevi *πεπραγμένον; πῶς;* (scil. *εἴποιμι ταῦτα*) coni Re *ὡς* Iacobs Lect | *ἠδυνήθην* *MaClVa* 4 *μοι* om *Va* 5 *τοῦ* om *Ma* 6 *μοι* *CrMaClPaVa* | *ἐνέγραψα ταῦτα* inser *Cl*² | *ἐνέθηκα* *Va* | *ταῦτα* om *Va* 7 *ἅπερ* *Cl* sed *ἃ* inser m² 9 *καὶ* et *δυστυχὴς* om *MaClPaVa* | *ὁ* in ras inser *Ma*³ 10 *παρὰ* incertum *Cr* ut pleraque quae antecedunt et sequuntur usque ad p. 591, 15 *καὶ περὶ* *BVa* „*παρὰ videtur delendum esse aut potius loco huius παρὰ leg. esse πατέρα et loco pronominis τοῦτον paulo post adverbium πάλιν*" Re *πάλι* Iacobs Lect | *τοῖς* post *παρὰ* *PMB* edd delevi | *τοῖς* inserui e *MaPaVa* om *PMClB* edd | *ὑγιάναι* *MaClBVa* 11 *τε* om *Va* 12 *γρ ἐκεῖνον* in marg Mor 13 *ὡς*] *τὸ* Re 14 *ὕπεισι* *Pa* 15 *καλεῖ* — 16 *δὲ* om *MaCl* | *καὶ* ante *πάλιν* Mor Re delevi 17 *διεστάναι* *MaClBVa* 20 *τὰ τοιαῦτα*] *ταῦτα* *MaClPaVa* | *οὕτω γράμμα* *MaClPaBVa* | *πρᾶγμα* Cobet Coll 299 at cf. p. 592, 15; t. IV 393, 7

καλὸν ἄξιον νομίσαι δίκης. ὁ δὲ ἔμελλεν ἄρα τοῖς παροξύνουσι καὶ τοὖργον αὐτὸ χαριεῖσθαι. καὶ νῦν ἠκούετε κατηγοροῦντος αὐτοῦ.

19. *Νόμος γάρ μοι δέδωκεν ἀποκηρύττειν* φησίν. οἶδα καὶ ἐπαινῶ γε τὸν νόμον βοηθοῦντα πατράσιν ἀδικουμένοις οἳ δικαίως | ἂν μετὰ τοὺς R IV 675 θεοὺς ὑπὸ τῶν παίδων τιμῷντο. ἃ τοίνυν πεπόνηταί μοι περὶ αὐτὸν παρὰ πάντα τὸν χρόνον τί δεῖ καθ' ἕκαστον λέγοντα ἐνοχλεῖν ἀρκούσης εἰς μαρτυρίαν τοὐμοῦ τρόπου τῆς διαθήκης τοῦ πατρός; 20. οὐ γὰρ ἄν, εἰ μὴ καὶ φιλοπάτορα καὶ παιδείας ἐπιθυμητὴν καὶ κρείττονα ἡδονῶν καὶ πρεσβυτέρους αἰδούμενον καὶ πρᾷον καὶ φιλόπονον καὶ ἴσον ἀπέχοντα τοῦ τε ἀναλίσκειν καὶ τοῦ κερδαίνειν κακῶς, εἰ μὴ ταῦτά τε συνῄδει καὶ τἄλλα πάντα ἁπλῶς ἃ τῶν ἀγαθῶν ἐστιν, οὐκ ἂν ὅλης τῆς οὐσίας ἐποίει κύριον. 21. ἀλλ' ὅμως ὃν οὐδεπώποτε ἐμέμψατο νῦν ἀποκηρύττει λέγειν ἔχων οὐδὲν τοιοῦτον οἷά τινες ἤδη λέγοντες ἔδοξαν εἰκότως ἀγανακτεῖν. ἐγὼ γὰρ ἤδη τινὰ τοῦτο πεπονθότα ἰδὼν ἠρόμην τινὰ τῶν πλησίον ὅ τι ἁμάρτοι. ὁ δὲ *ἑταίραν* ἔφη *τρέφει τοῦ πατρὸς καταφρονῶν*. ἑτέρου ταὐτὸ

6 cf. t. IV 746, 17 R

2 τοὖργον *Va* τοὔργον *Cl* 5 τοῖς ante πατράσιν Mor Re delevi 6 μὰ *PM* Ferr cf. t. VI 527, 2 c. schol. 7 θεοὺς in lac 12—14 litt om *Va* | νόμων *B* | πεποίηταί *Pa* 8 παρὰ om *BVa* | καθέκαστον *PMMaClPa* 11 καὶ μὴ *B* et γρ in marg Mor 13 πρᾶον *Va* Ferr Mor | ἶσον *Cl* | καὶ post ἴσον repet *MaCl* | τε — 15 καὶ om *MaCl* 14 τε scripsi γε *PMMaClBVa* edd sed γρ τε in marg Mor μοι *Pa* 15 τ' ἄλλα *B* 16 ὅλως *MaClPa* | ἐποίει τῆς οὐσίας *CrMaCl PaBVa* 17 οὐδεπώποτε scripsi e *MaClPaBVa* οὐδέ ποτε *PM* edd 18 οἷον *Va* | ἔδοξεν *Va* 20 ὅτι *ClVa* 21 τρέφει scripsi e *MaPaBVa* ut coni Re τρέφειν *P* sed ν eras, *MCl* edd

πεπονθότος πάλιν ἠρόμην. καί τις εἶπεν οἶνον πολὺν εἶναι τὴν πρόφασιν. ὁ δέ τις εἰσελθὼν ἐβόησεν· ἄνδρες δικασταί, ἐν ὄρνισι καὶ κύβοις ὁ παῖς μοι διατρίβει τῶν σπουδαίων πράξεων ὀλιγωρῶν καὶ ἔστι χαλεπὸς τοῖς ἡλικιώταις καὶ παίει τοὺς ἐντυγχάνοντας. ἐγένετο καὶ πρὸς ἀδελφὸν μῖσος ἀποκηρύξεως αἴτιον, καί τις ἐξέβαλεν υἱὸν αἰσθόμενος ὡς ἥδιστα ἂν ἴδοι τεθνεῶτα τὸν ἀδελφόν.

22. *Τί οὖν ἀδικῶ τούτων ἢ τί τούτοις παραπλήσιον; τούτων μὲν οὐδέν φησιν, ἕτερα δὲ ἐμοῦ βουλομένου σὺ γέγραφας ἕτερα καὶ δύο ἐποίησας ἀνθ' ἑνὸς κληρονόμους, σαυτόν τε καὶ τὸν*
R IV 676 *ἀδελφόν. ἀδελφὸν | λέγεις; καὶ τί θαυμαστόν; τοὐναντίον γὰρ ἔδει θαυμάζειν, εἰ κύριος ἐγὼ τῶν γραμμάτων καταστὰς πονηρὸς εἰς ἐκεῖνον ἐν οἷς ἔγραφον ἐγιγνόμην.* 23. *εἰ μὲν οὖν ἔχεις, ὦ πάτερ, ἐπιδεῖξαί με τῇ πρὸς σὲ δυσμενείᾳ τοῦτο πεποιηκότα, λάμβανε δίκην, μὴ τὴν νυνὶ ταύτην, μικρὰ γάρ, ἀλλ' ἀπόκτεινον· εἰ δ' οὐκ ἂν ἔχοις κακίσαι τὴν γνώμην οὐδ' εἰπεῖν ὅτι ταῦτα πολεμῶν ἐμοὶ πεποίηκε, πῶς διαβάλλεις ἔργον οὗ μέμψασθαι τὴν αἰτίαν οὐκ ἔχεις;* 24. *καὶ ἐν τοῖς φονικοῖς νόμοις οὕτω κρίνεται τὰ πράγματα. οὐ δυοῖν ἀνδροφόνοιν ὁ μὲν φυγὼν*

---

1 Callim. epigr. 64, 4   3 cf. p. 97, 5. Dem. fals. leg. p. 417, 21

---

2 *ἐβόησε P*   3 *γρ ὄρεσι* in marg Mor   4 *μοι* reposui e libris *μου* edd sed *γρ μοι* in marg Mor   6 *τὸν* ante *ἀδελφὸν MaClPaVa*   8 *ἥδιστ' CrMaClPaBVa* | *ἴδοι* Mor sed *γρ ἤδη* in marg *ἴδη BVa*   9 *τοῦτον* Ferr | *τί* om *MaVa*   10 *ἕτερα* — 12 *ἑνὸς* in marg *Cl*^{2} 11 *δύο*] *σὺ MaCl*^{2}*Pa* | *ἐποίησας Ma* sed *σ* in ras m^2 12 *κληρονόμου Ma*   15 *πραγμάτων MaClPa* | *καταστὰς* — 16 *πάτερ* om *Va*   18 *ἀλλὰ PM* edd   19 *ἔχοι Cl*   20 *οὐδὲ PM* edd | *πεποίηκεν Ma*   22 *ἔργοις* Ferr et *γρ* in marg Mor | *τούτω MaClPaVa*

κατέρχεται, ὁ δὲ φεύγει καθάπαξ αὐτοῦ καταγνοὺς ἢ μὴ τοῦτο ποιήσας ἀποθνήσκει μένων; τί τούτων αἴτιον; ἆρ' ὅτι μᾶλλον οὗτος ἢ 'κεῖνος ἀπέκτονεν; οὔ, οὐκ ἔστι γὰρ ἧττον ἢ μᾶλλον ἀποθανεῖν, ἀλλ' ὅτι τῷ μὲν ἐκ προνοίας ἐτολμήθη τὸ ἔργον, τῷ δὲ οὐ βουλομένῳ ἀτυχῆσαι συνέβη. 25. *διὰ τοῦτο τὸν μὲν ὁ νόμος μισεῖ, τὸν δὲ ἐλεεῖ. κἂν ἀμύνηταί φησιν, ἐξέστω, κἂν ἐν μάχῃ νομίσας τὸν οἰκεῖον πολέμιον κτείνῃ, μὴ ἔστω δίκη. τοσοῦτον ἐν τοῖς ἔργοις ἡ γνώμη δύναται. καὶ πρὸς αὐτὴν εἰώθαμεν βλέποντες τὸ πεπραγμένον ἢ χρηστὸν ἢ πονηρὸν ἡγεῖσθαι.* 26. *κατὰ τοῦτο τοίνυν, ὦ πάτερ, τὸ δίκαιον καὶ νῦν ἐμοὶ δίκασον. ἐγὼ ταῦτα ἔγραφον ἐφ' ὕβρει τῶν σοὶ δοκούντων καὶ κρείττων εἶναι βουλόμενος τοῦ πατρός, σὲ δὲ ἀσθενέστερον τῶν ἀρεσκόντων ἐμοί; ταῦτ' ἔλεγες ἀεὶ περὶ ἐμοῦ πρὸς τοὺς δημότας, ταῦτα πρὸς τοὺς φυλέτας, ταῦτα πρὸς τοὺς πολίτας, ταῦτα πρὸς τοὺς ξένους, οὐ τὸν ἐπιεικῆ καὶ πρᾶον, οὐ τὸν αἰδοῦς γέμοντα, οὐ τὸν τῆς μητρὸς κατήκοον, οὐ τὸν τοῦ πατρός, οὐ τὸν τῶν παιδαγωγῶν; ἐξαίφνης οὖν ἐγὼ περὶ*

---

1 cf. p. 563, 15   7 Antiph. tetral. III 4 § 7 p. 128, 39

---

1 *καὶ* ante *κατέρχεται* *MaClPaVa* Mor sed in hoc *γρ* in marg om, Re | *αὐτοῦ* *MaCl* 2 *τὸ* ante *τούτων* *B* 3 *ἐκεῖνος* *MaClPaBVa* edd | *ἀπέκτεινεν* *MaPaBVa* 4 *ἔστιν* *Va* sed *ν* eras 5 *τὸν* et *βουλόμενον* *CrMaClPaVa* et *γρ* in marg Mor 6 *διατοῦτο* *MaPaBVa* | *μισεῖν* Re 7 *αἰδεῖται* *CrMaClPaBVa* et *γρ* in marg Mor 8 *νικήσας* *PMB* Ferr et *γρ* Mor 9 *τοῖς* om *Va* | *δείκνυται* *Cr* 11 *κατὰ*] *καὶ* *MaCl* *τοῦτο* inserui cum Sinteni, ut inseruit *M*ⁿ om reliqui libri edd 12 *νῦν*] *σὺ νῦν* *B* *σὺ* *Va* 15 *ταῦτα* *MaClPa* 16 *πρὸς*(1) om *M* | *τοὺς*(1) om *Cr* | — 20 commata posui, cola *Va*, signa interrogationis reliqui libri edd 17 *φιλέτας* *MaCl* *φιλτάτους* *PM* Ferr et *γρ* in marg Mor | *τοὺς* om *CrMaCl* | *τοὺς* om *CrMaClPaVa* 18 *πρᾶον* *Va* Ferr Mor 19 *κατήκοον τῆς μητρὸς* *MaCl* 20 *περὶ σὲ* om *MaClPaVa*

σὲ κακός; καὶ λυπεῖν ἡρούμην οὐ προλελυπημένος, ὅς R IV 677 οὐδὲ προλυπηθεὶς ἀντιλυπεῖν ἐβουλόμην; εἰ μὲν | μανείς, πῶς ἀπαιτοῦμαι δίκην; εἰ δὲ σωφρονῶν, οὐ σωφρονοῦντος τὰ τοιαῦτα.

27. Ἀλλὰ τί δὴ παθὼν οὐκ ἐν οἷς ἐκέλευες ἔμενον οὐδὲ μόνος ἠξίουν κληρονομεῖν; ᾤκτειρα, ὦ πάτερ, δυστυχοῦντα ἀδελφόν, οὐ γὰρ ὀκνήσω γε τἀληθῆ πολλάκις εἰπεῖν, καὶ οὐχ οἷός τε ἐγενόμην τῆς διαθήκης ἐκβαλεῖν, ἀλλ' ὥσπερ ἀκούειν ἡγούμην τῆς Φύσεως βοώσης· ἔγγραφε καὶ τὸν ἀπὸ τῶν αὐτῶν σοι γονέων, ὥσθ' ἡ μὲν χεὶρ ἐμή, πάτερ, ἡ δὲ ἀνάγκη τῆς δαίμονος, ἧς τοὺς νόμους οἱ μὲν χρηστοὶ τηροῦσιν, οἱ δὲ χείρονες παραβαίνουσιν. 28. ἐμοὶ δὲ ἡ τῶν νόμων ἐκείνων αἰδὼς συνηυξήθη, δι' οὕς, εἴ τις σοὶ τῶν πολεμίων ἐπίοι, δέξομαι ῥᾳδίως ὑπὲρ σοῦ τὴν πληγήν, τῶν αὐτῶν δ' ἂν καὶ ἡ μήτηρ τυγχάνοι. ἆρ' οὖν μοι δώσεις καὶ τρίτον εἰπεῖν ὡς καὶ τὸν ἀδελφὸν τοῦτον αὐτὸν ῥυόμενος πέσοιμ' ἂν ἡδέως; οὐ γὰρ ὀνόματα ἁπλῶς ἡγοῦμαι τὰς προσηγορίας ταύτας, τὸν

---

9 cf. ad p. 467, 19 12 cf. ad t. V 426, 8; VI 404, 19

---

1 ὅς om *PaBVa* 2 ἠβουλόμην *MaClPaVa* 3 ἀπαιτῶμαι *PM* Ferr | δ' αὖ *MaClPa* | σωφρονῶ *Cl* 5 οὐκ — 6 κληρονομεῖν om *M* 6 ἠξίου (σ supra) *Ma* sed σ suprascr m3 7 ἀδελφὸν δυστυχοῦντα *M* | τὸν ante ἀδελφὸν inser Mor Re delevi | γε om *BVa* | πολλάκις εἰπεῖν] λέγειν *MaClPaBVa* 9 Φύσεως scripsi φύσεως libri edd 11 ὥσθ' om *MaClPaBVa* | τύχη *MaClBVa* 13 χείρους *MaClPaBVa* Mor Re cf. t. III 198, 2 14 τι *MaCl* 15 ἐπίοι scripsi e *M* sed οι ex η corr *n*, *BVa* sed in hoc ίο in ras ἐπίῃ *PClPa* edd ἐπιῆ *Ma* sed ˜ del et ´ supra ι m3 16 τυγχάνῃ (οι supra) *B* | ἆρ' οὖν scripsi cum Iacobsio Lect ἆρ' ἄν *PM* edd ἆρά *MaClPaVa* ἄρά *B* 17 καὶ(2) om *MMaCl* 18 αὐτῶν *B* | πέσοιμι *Ma* 19 ἄλλως Iacobs Add 46 Lect coll t. V 543, 14

πατέρα καὶ τὴν μητέρα καὶ τὸν παῖδα καὶ τὸν ἀδελφόν, ἀλλ' ἐν ἑκάστῳ τούτων τοῦ στέργειν ἀλλήλους ἀνάγκην τινὰ ἐγκεῖσθαι. 29. ἠλέουν τὸν ἀδελφὸν καὶ πρὸ τῶν διαθηκῶν, ἠλέησα καὶ ἐν τῷ καιρῷ τῶν διαθηκῶν, εἰ μηδὲ αὐτῷ ἡ νόσος τὰς διαλλαγὰς ἔπραξεν. εἶδον ἀποστερούμενον οὐ τοῦ ἡμικληρίου μόνον, ἀλλὰ καὶ τῆς ἐπιτιμίας αὐτῆς. εἰ γὰρ σὺ μὲν ἐτεθνήκεις, ὁ δὲ μετεῖχε μηδενός, αἱ διαθῆκαι δὲ ἀνεγινώσκοντο, τὰ γράμματα δὲ οὐκ εἶχε τὸν ἀδελφόν, τίς ἂν ἦν ὁ λοιπὸς αὐτῷ βίος; πρὸς τίνα ἂν ἀντέβλεψεν ἢ νέων ἢ πρεσβυτέρων; ἐπὶ ποίου δ' ἂν ἐφάνη βήματος; τίνα δ' ἂν εἶπεν ἐν τῷ δήμῳ λόγον; πῶς δ' ἂν ἠξίου τῶν κοινῶν ἔχειν τὸ ἴσον ἐπὶ τῶν πατρῴων τοῦτο οὐκ ἐσχηκώς; πρεσβείαν δ' ἂν τίς ἐνεχείρισε; | στρατη- R IV 678
γὸν δ' ἂν τίς ἐχειροτόνησεν; ἐκ τίνων δ' ἂν ἔγημε; παισὶ δ' ἂν αὐτοῦ πῶς ἐπετίμησε; 30. ταῦτα πάντα, ὦ πάτερ, ἐξ ἑνὸς ἐκείνου τῶν διαθηκῶν ἐφύετο, καὶ οὐκ ἦν, ὡς ᾤου, στέρησις χρημάτων μόνον, ἀλλὰ καὶ τῆς παρρησίας. τοῦτο αὐτῷ τὴν γλῶτταν ἀπέτεμνε, τοῦτο τὸ στόμα ἐνέφραττε, τοῦτο τῆς πατρίδος ἐξέβαλλε. ταῦτα ὁμοῦ με πάντα εἰσῆλθε, ταῦτα τὸν ἔλεον

6 Dem. Olymp. p. 1173, 6 et 17; 1175, 14; 1178, 22
19 Dem. fals. leg. § 208 p. 406, 5

1 *καὶ τὸν παῖδα* om *MaClPaBVa* 4 *ἠλέησα — διαθηκῶν* in marg Ma^3 5 *εἰ μηδὲ* scripsi auctore Re *εἰ μήτε* libri sed *ἐπεὶ οὔτε* suprascr P^2, edd 8 *μετεῖχεν οὐδενός* *M* 9 *εἶχε* scripsi e *MaClPaBVa* *εἶχον* *PM* Ferr *εἶχεν* Mor Re 11 *γερόντων* *MaClPaBVa* 12 *ἠξιοῦτο* *Ma* et ex *ἠξίου* corr Cl^2 13 *κοινῶν* reposui e libris ut coni Re *κοινωνῶν* edd | *ἴσον* *MaClVa* 14 *στρατιώτην* *BVa* 15 *ἐνεχειροτόνησεν* *Ma* sed *ἐν* del et *ροτ* in ras m^2 16 *αὐτοῦ* libri sed ' in corr P^2, edd | *πῶς*] *τίς* *Va* 17 *καὶ* om *Ma* 19 *τοῦτ'* *B Va* | *αὐτῷ* reposui e libris sed ex *αὐτὸ* corr *Va* *αὐτὸ* edd 20 *ἐξέβαλε* *Pa* 21 *ὦ πάτερ* ante *εἰσῆλθε* *BVa*

ἤθροισεν. ὑπὸ τούτων ἡγοῦ σοι τὴν διαθήκην γεγράφθαι. 31. τοὺς δὲ τοιούτους ἀνθρώπους σώζοιτ' ἂν ὑμεῖς εἰκότως, ὦ δικασταί, μᾶλλον ἢ ἀπολλύοιτε νομίζοντες τὸν μὲν περὶ τοὺς αὑτοῦ χρηστὸν ἴσως ἂν καὶ περὶ τοὺς ἄλλους γενέσθαι, τὸν δὲ εἰς ἐκείνους ὠμὸν κοινὸν ἁπάντων ἐχθρὸν εἶναι. ἀλλ' ἐγὼ τὸν ἀδελφὸν οὐκ ἐλεήσας πολίτην ἂν ἠλέουν; εἰ δὲ μὴ πολίτην, μέτοικον; εἰ δὲ μὴ μέτοικον, ξένον; εἰ δὲ μὴ τοὺς παρ' ἡμῖν, τῶν ἄλλων τινὰς Ἑλλήνων; εἰ δὲ μὴ Ἕλληνα, βάρβαρον ἄν; ὁ δὲ μηδένα ἀνθρώπων ⟨ἐλεῶν⟩ δικαίως ἂν κατορύττοιτο ζῶν. 32. οὐχ ἑώρακας ἐν πολέμοις, ὦ πάτερ, τοὺς δι' ὅπλων ἐλθόντας ὑπὸ τῶν κεκρατηκότων θαπτομένους πολλάκις; διὰ τί; ὅτι μετὰ τὴν μάχην ὁ πράξας κακῶς ἐλεεῖται. πολεμίων οὖν ἐλεουμένων αὐτὸς ἂν ἦν εἰς ἀδελφὸν ἀνελέητος; 33. πατὴρ ἦν ὁ χαλεπαίνων, ἀλλ' ὁ τῆς ὀργῆς πειρώμενος ἀδελφός. ὁ μὲν ζημιῶν, οὗτος δὲ κολαζόμενος. ὁ τοίνυν οἶκτος ἐκεῖνος ἐμὲ καθεῖλκεν ἐπὶ τὸ πονοῦν. ὥσπερ γάρ, εἰ κίνδυνός τις ἀμφοῖν ἐπήρτητο καὶ βοηθεῖν ἀμφοτέροις μὲν οὐκ ἐνῆν, θατέρῳ δέ, τὸ τὸν πατέρα σώζειν ἐνίκα ἄν, οὕτω νῦν τοῦδε μὲν ἀγριαίνοντος, ἐκείνου δὲ ὄντος ἐν συμφοραῖς τὸ πιεζόμενον παρεκάλει τὴν ῥοπήν.

34. Ἀναμιμνήσκου δέ, ὦ πάτερ, ὡς παῖδες ὄντες κομιδῇ καὶ τὰ τῶν τηλικούτων ἁμαρτάνοντες, ὁπότε

---

15 [Arist.] physiogn. 29 ed. script. physiogn. t. I p. 38, 3

---

3 *εἰκότως ὑμεῖς Va* | *ἄνδρες MaClPaVa* cf. p. 584, 1 4 *αὑτοῦ MaClPaVa* *αὐτὸν M* 7 *ἂν* om *Ma* 9 „*malim τινα*" Re at cf. p. 600, 1 10 *ἐλεῶν* inserui om libri edd 11 *κηρύττοιτο ζῶν; Pa* | *ἑώρας Ma* 13 *διατί B* 17 *οὗτος* scripsi e *MaClPaBVa* et *γρ* in marg Mor *αὐτὸς PM* edd 18 *γάρ* om *B* 19 *μὲν ἀμφοτέροις Ma* 20 *τὸ* om Re

ἀπειλήσαις, κατεφεύγομεν ἐπὶ τὴν μητέρα, ἡ δὲ ἐδέχετό τε καὶ ἐπεκούρει καὶ ἐδεῖτο μὴ τύπτειν, καὶ συγγνώμην εἶχες. τοιοῦτο δή τι καὶ τὸ νῦν· σὺ μὲν ἠγανάκτεις, τῷ δ' ἦν ὁ | κίνδυνος μέγας, ἐγὼ δὲ R IV 679 *ἐβοήθουν ἀδελφὸς ὤν. σύγγνωθι δὴ καὶ νῦν.* 35. *εἰ μὲν γὰρ ἐνῆν ὁμοῦ καὶ μεταδοῦναι τοῦ κλήρου καὶ μὴ καὶ τὸν αὐτὸν γεγράφθαι τε καὶ μὴ γεγράφθαι κληρονόμον, ὥστ' ἐξεῖναί σοί τε χαρίζεσθαι κἀκεῖνον προσίεσθαι, πάντων ἐγὼ θρασύτατος τοῦ μὲν φροντίσας, τὸ δὲ παριδών· εἰ δ' αἵρεσις ἦν ἢ τοῖς σοῖς προσέχειν ῥήμασιν ἢ τὴν τοῦ διαβεβλημένου θεραπεῦσαι τύχην, εἰκός τί με νόμιζε πεπονθέναι πρὸς ἐκείνην ἀποκλίναντα καὶ τῇ φύσει τοῦ πράγματος, μὴ τῷ παιδὶ προστίθει τὴν αἰτίαν.*

36. *Οὐ τοίνυν ἔστιν εἰπεῖν ὡς ἓν τοῦτ' ἦν ἐν τῷ τότε γενομένῳ μόνον τὸ τὸν ἀδελφὸν ἐλέου τυχεῖν, ἄλλο δὲ οὐδέν, ἀλλ' ἦν ἕτερον, ὦ δικασταί, μέγα. τί τοῦτο; τὸ καὶ τὸν πατέρα μοι τὴν χείρω δόξαν διαφυγεῖν. ἐνενόουν γὰρ τοὺς ἐσομένους λόγους, ἑώρων τὰς αἰτίας ἃς ᾐτιῶντ' ἂν τῶν πατέρων οἱ ἐπιεικέστεροι· ἰοὺ ἰοὺ τῆς χαλεπότητος. οὐδ' ἡ τελευτὴ προσιέναι δοκοῦσα τὴν ὀργὴν ἐπράϋνεν, ἀλλ' ᾠήθη δεῖν αὐτὴν καὶ κάτω φέρων ἐλθεῖν.* 37. *ταῦ-*

23 cf. t. I 161, 6; IV 217, 17

1 *καταφεύγομεν MaCl* 2 *τε* om *MaClPaBVa* 3 *εἶχε Pa* | *τι Ma* sed *ι* in ras m[3] 5 *ἀδελφὸς ὤν*] *ἀδελφῷ B* sed *ὸς ὢν* supra *ῷ*, *Va* 8 *καὶ* ante *σοι Pa* | *τι Pa* | *γρ χαρίσασθαι* in marg Mor 9 *προσίεσθαι*] *προίεσθαι B* *μὴ προσίεσθαι Va* *μὴ προίεσθαι MaClPa* et *γρ* in marg Mor 10 *τὸ* scripsi e *PM* *τὸν MaClPa* Mor Re *τοῦ BVa* *το* Ferr et *γρ* in marg Mor | *προσέχει* Mor Re 12 *εἰκότως MaClPaBVa* | *ἐκεῖνον Pa* 16 *γινομένῳ MaClPaVa* | *τῶ Pa* 17 *ἄνδρες MaClPaB Va* cf. p. 584, 1 18 *μὴ MaCl* 22 voce *τὴν* inc *Cr* fol 33[v] sed pleraque posteriore scriptura obtecta 23 *ταῦτ' BVa*

R IV 680 τα ᾔδειν ἥξοντα καὶ ὡς κατηρᾶτ' ἂν ὁ παριὼν τὸν τάφον. ταῦθ' ὅπως μὴ γένοιτο προὐνοούμην. διὰ τοῦθ' ὅπερ ἐξῆν ὕστερον | δωρεὰν διδόναι τῶν διαθηκῶν ἐποίουν ἀμφοτέροις εὑρίσκων τουτὶ λυσιτελοῦν. τί οὖν ἠδίκουν ἐκ τῶν αὐτῶν ἀδελφῷ καὶ πατρὶ βοηθῶν;

38. Ἄξιος γὰρ ἦν φησι ταύτην δοῦναι τὴν δίκην. καὶ εἶπεν ἐν ὑμῖν τὸ ἁμάρτημα τοῦ νέου. ἐγὼ δὲ ὡς μὲν οὐκ ἠμελήθη τι τἀδελφῷ τῶν δεόντων, οὐκ ἂν ἀντείποιμι καὶ διελέχθην γε πρὸς αὐτὸν οὐκ ὀλιγάκις, ὡς οὐδαμοῦ ῥᾳθυμητέον, καὶ οἶμαί γε αὐτὸν καὶ πεποιηκέναι βελτίω, νέοι δέ, ὦ δικασταί, γεγενημένοι πάντες ὑμεῖς καὶ νέους τρέφοντες υἱεῖς ἴστε που τὴν τοιαύτην ἡλικίαν οὐ δυναμένην ἀναμάρτητον εἶναι, ἀλλ' ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον, πάντως δὲ ἕκαστος ἁλίσκεταί που καὶ μωραίνων. 39. καὶ τί θαυμαστόν, ὅπου γε καὶ τὸ γῆρας οὐ πανταχοῦ φυλάττει τὸν κόσμον, ἀλλ' ἤδη καὶ τούτων πολλοῖς ὧν ἔδρασαν

---

1 ἤδη *Va* | ἥξοντα scripsi ut coni Re coll t. V 72, 16 ἕξοντα *PMPaBVa* edd ἑξόντα *MaCl* | κατηρᾶτο *MaClPa* 2 διατοῦθ' *MaPaBVa* 3 ὁπεροῦν coni Iacobs Anth. Pal. III 741 | οὐκ ante ἐξῆν edd delevi, ut delendum coni Re | διδόναι διὰ τῶν coni Mor Not 4 ἀμφοτέροις om Re | ταυτὸ *MaPaBVa* 5 βοηθῶν ἀδελφῷ καὶ πατρὶ *Pa* 8 ὑμῖν scripsi e *CrMaVa* cum Sinteni ἡμῖν *PMClPaB* edd 9 ἠμελήθην Ferr Mor | τι om Ferr | τῷ ἀδελφῷ *MaClPaBVa* et γρ in marg Mor cf. ad p. 620, 22 et t III 288, 20 10 διελέχθην scripsi διηλέχθην *BVa* διειλέχθην *PMMaClPa* edd sed „*malim* διελέχθην" Re cf. p. 569, 9; 603, 2 | γε om *B* μὲν *MaClPa* 12 ἄνδρες *MaClPa* cf. p. 584, 1 | γενόμενοι *Pa* 13 ὑμεῖς *Ma* sed ὑ in ras m3 | ὑμεῖς *PMBVa* Ferr et γρ in marg Mor 14 οὐ om *B* | ἀμώμητον *MaCl* sed in hoc inter ἀ et μ ras 1—2 litt | μὴ ante εἶναι *BVa* 17 γε om *MaClPa* | καὶ — 599, 6 εἶναι praemissis verbis τῆς μελέτης ἐν ᾗ ὁ ἀποκηρυχθεὶς διὰ τὸ γράψαι τὸν ἀδελφὸν συγκληρονόμον ἀπολογεῖται laudavit Macarius Chrysocephalus fol. 80r | καὶ] ἔστιν ὅτε Macar 18 ἔδρασε *BVa*

μετεμέλησε καὶ τὸν αὐτὸν εὕροις ἂν γέροντά τε καὶ ἐπιτιμώμενον; ἔστι δὲ οἷς καὶ τούτων αὐτῶν ὑπῆρξε συγγνώμης τυχεῖν. ἡ συγγνώμη γάρ, ὦ δικασταί, τοῖς μὲν νέοις ὡς νέοις, πρεσβυτέρῳ δὲ ὡς ἀνθρώπῳ δίδοται. θεῶν γάρ, οἶμαι, μόνων τὸ κρείττους ἢ ἁμαρτάνειν εἶναι. 40. *οὐκ εἶδες πώλους, ὦ πάτερ, καὶ σκιρτῶντας καὶ θορυβοῦντας τὸν ἱππέα καὶ οὐ παρὰ τοῦτο δοκοῦντας ἀχρήστους τε εἶναι καὶ ἀπορριπτουμένους; ἀλλ' ἤδη τινὸς ἀκήκοα τῶν τὰ τοιαῦτα δεινῶν τούτους εἶναι τοὺς γενναίους τὴν φύσιν. τοιγαροῦν μικρὸν ἀνασχόμενοι τῶν σκιρτημάτων τῆς νεότητος παρελθούσης χρῶνται πρὸς τὰ ἔργα σωφρονοῦσί τε ἤδη καὶ πολὺ τοὺς ἄλλους νικῶσιν.* 41. *ἔφυγέ τι τῶν ἐπιπόνων ὁ παῖς, παῖς γὰρ ἦν καὶ δεῖ τῶν τηλικούτων τοὺς μὲν φιλοπόνους θαυμάζειν τε καὶ πρεσβυτέροις ἐοικέναι νομίζειν, τοὺς δὲ ῥαθυμοτέρους ἐπαινεῖν μὲν* | R IV 681 *μή, νομίζειν μέντοι τὰ τῆς ἡλικίας ποιεῖν. εἰ μὲν οὖν οὐδενὶ συγγνώσῃ τῶν πάντων, ὅρα εἴ τις ἀποδέξεται καὶ ταῦτα ζῶν ἐν δημοκρατίᾳ· εἰ δὲ εἰσὶν οἷς προσήκει*

19 Thuc. II 37, 2

1 *μετεμέλησε* scripsi e *MaClPaVa* Macar *μετημέλησε PMB* edd 3 *συγγνώμης ὑπῆρξε Pa* | *δὲ* Macar | *ἄνδρες MaClPa* cf. p. 584, 1 5 *θεοῦ M* | *τὸ κρείττους μόνων* (*μόνον MaCl*) *MaClPa* Macar | *μόνων* scripsi e *PPaB* Macar *μόνον MaClVa* edd sed „*malim μόνων*" Re *μόνον M* | *κρείττω M* 6 *καὶ* om *MaCl Pa* 7 *παρατοῦτο Ma* 8 *δοκοῦντας ἀχρήστους τε εἶναι* scripsi e *PM* *δοκοῦντας ἀχρήστους εἶναι BVa* Ferr *εἶναι δοκοῦντας ἀχρήστους τὲ MaClPa* Mor *εἶναι δοκοῦντας ἀχρήστους* Re | *ἀπορριπτομένους MaCl* 9 *τὰ* inserui e *PMPaBVa* om *MaCl* edd | *τούτους* reposui e libris *τοιούτους* edd 13 *νικῶσι BVa* 14 *καὶ* om *MaClPa* | *δεῖ* — 17 *ποιεῖν* laudavit Macarius fol. 80ʳ | *δεῖ* non post *καὶ*, sed post *θαυμάζειν* Macar | *τῶν* om *MaCl* | *τηλικούτων*] *παίδων* Macar 15 *τε* om Macar 16 *μὴ* ante *ἐπαινεῖν*, non post *μὲν Pa* 17 *οὔ* Macar | *δὲ Pa* 18 *καὶ* ante *ὅρα MaCl* | „*malim εἰ σοῦ τις vel εἰ σέ τις*" Re 19 *οἷς Ma* sed *ι* m³

τούτου τυγχάνειν, τίνας πρὸ ἡμῶν τῶν νέων ἄξιον; 42. *ἔδει δοῦναι δίκην τὸν υἱόν; ἐδεδώκει καὶ ταύτην, ὡς ἐγὼ φαίην ἄν, οὐ μικράν· ἀπεστερήθη τῶν παρὰ σοῦ λόγων χρόνον πολύν, ἤκουσεν ἀγγελλόντων ἀπειλάς, φόβῳ συνέζησεν, ὤφθη παρὰ τῶν οἰκετῶν τρέμων, οὐ μετέσχε τραπέζης, ἔδεισεν ὑπὲρ μειζόνων, ἤνεγκε διακόνων ὕβριν, ἐν νυξὶν ἠγρύπνησεν, ἐν ἡμέραις ἔκλαυσε, τοῦ σώματος αὐτοῦ ἀνάλωσεν ἡ λύπη.* 43. *τί τούτων ἔδει ζητῆσαι πλέον καὶ ταῦτα ἐπ' αἰτίαις οὐ πάνυ μεγάλαις, ὥς φησιν αὐτὸς ὁ πατὴρ ὁ χαλεπήνας μέν, οὐκ ἀποκηρύξας δέ; καίτοι εἴ τι τῶν δεινοτέρων ἐπέπρακτο, πάντως ἂν ἐπὶ τοῦτο ἧκεν. οὐ γὰρ δὴ φήσειεν ἂν ὡς οὐκ οἶδεν ἀποκηρύττειν. ὃς γὰρ ἀδελφοῦ φιλανθρωπίαν πρὸς ἀδελφὸν τούτου νενόμικεν ἀξίαν, τί ποτ' ἂν ἔδρασεν ἐν αἰσχίστοις ἐκεῖνον λαβών;* 44. *τοῦτό με μάλιστα, ὦ πάτερ, ἔπεισε τῶν ἴσων ἀξιῶσαι τὸν ἀδελφὸν τὸ καὶ παρὰ σοὶ μικρὰ κεκρίσθαι τὰ ἡμαρτημένα. σημεῖον γὰρ ἦν τοῦτο τοῦ προϊόντα τὸν χρόνον πάντως ἂν ποιῆσαι διαλλαγάς. ἃ οὖν ἡγούμην σε σωθέντα δώσειν, ταῦτα αὐτὸς ἔδωκα νομίζων, εἰ διαφύγοις τὴν νόσον, ἐπαίνου τεύξεσθαι παρὰ σοῦ τῇ προσθήκῃ. καὶ ὡς ταῦτα ἤλπιζον μάθοις ἂν ἐκεῖθεν.* 45. *τῶν μὲν γὰρ μάντεων οὐδεὶς προειρήκει τὴν τε-*

---

1 *τυγχάνειν Ma* sed *ν*(2) add m[3] | *τίνα MaCl* 2 *δέδωκε MaClPa* 3 *ἐγὼ φαίην ἄν* scripsi e *PMBVa* *ἂν ἐγὼ φαίην MaClPa* Mor Re *φαίη ἂν* Ferr 4 *γρ χρόνον οὐ πολύν* in marg Mor | *ἀγγελόντων Ma* sed *λ*(2) inser m[3], *ClBVa* 7 voce *διακόνων* inc *Cr* fol 33[r] 8 *ἔκλαυσεν MaCl* | *αὐτοῦ Va* sed *οῦ* ex *ὁ* corr m[2] 12 *ἂν* om *Pa* | *εἶκεν Cl* 14 *τοῦτον Cl* sed in *τούτου* corr m[2] 15 *ἐν* om *MaCl* 16 *με* inserui e *PMCrMaClPaVa* om *B* edd | *ἔπεισε* om *Cr* *ἔπεισεν MaPa* 17 *ἀξιῶσαι τὸν ἀδελφὸν τῶν ἴσων MaClPa* | *καὶ* om *B* | *περὶ Va* | *μικρὰ κεκρίσθαι μικρὰ MaCl* 21 *διαφύγης MaCl* 22 *μάθοις Ma* sed *οι* in *η* corr m[3] 23 *εἰρήκει MaCl*

λευτήν, οἱ δ' ἰατροὶ παρῄνουν εὔχεσθαι, τὸ δὲ μέλλον ἄδηλον ἦν. οὕτως οὖν ἐνέγραφον ὡς οὐ πάντως σε λήσων, ἀλλ' ὡς, εἰ τύχοι, τά τε γράμματα καὶ τὸ πεπραγμένον ὕστερον εἰσομένου. ὁ δὴ τοῦτο προσδοκῶν τὸ μὴ δόξειν ἀδικεῖν, εἰ γνωσθείη, | ταῦτα δή R IV 682 που ἔγραφεν.

46. Ἐβουλόμην μὲν γὰρ αὐτόν φησιν ὑπὸ πενίας γενέσθαι βελτίω. τί δ', εἰ χείρων ὑπ' αὐτῆς ταύτης ἐγένετο; καλὸν ἦν παρὰ σοῦ δεδόσθαι τῇ κακίᾳ τὴν ἀφορμήν; ἢ οἴει, πάτερ, τὸν μὲν πλοῦτον πανταχοῦ κακίαν ἐμποιεῖν, τὴν ἀρετὴν δὲ πανταχοῦ μετὰ τῆς πενίας εἶναι; οὐκ ἔστιν, ἀλλ' ἔνι καὶ πλούτῳ χρήσασθαι καλῶς καὶ πενίαν γενέσθαι τοῦ πλουτεῖν κακίας μᾶλλον αἴτιον, ὅσῳ πλοῦτος μὲν ἁμαρτάνειν βουλομένῳ χορηγεῖ, πενία δὲ καὶ τὸν οὐ βουλόμενον ἀναγκάζει. 47. εἰ γὰρ ἐθέλεις σκέψασθαι τοὺς ἱεροσύλους καὶ τοιχωρύχους καὶ ὅσοι κινοῦσι θήκας καὶ ὅσοι τὴν ὥραν πωλοῦσι καὶ κλέπτας καὶ λωποδύτας καὶ ὅλως τοὺς ἐπὶ κέρδεσιν ἀδικοῦντας, ἐκ τῶν ἀπόρων εὕροις ἂν πλείους ἢ ὅσοι ἐν ἀφθόνοις ζῶσι. καὶ γὰρ

---

3 cf. t. II 126, 4 20 cf. p. 625, 20. Dem. cor. p. 312, 17. Xen. anab. III 2, 25; IV 5, 29; VII 6, 31

---

1 δὲ Re 2 εὔδηλον *PM* Ferr et γρ in marg Mor | ἔγραφον *MaCl* 3 τε *Ma* sed ε add m[3] 4 εἰσόμενον *MaCl* 5 τὸ scripsi e *MaClPaVa* τῷ *PMCrB* edd 7 μὲν om *CrMaClPaBVa* | πλούσιον *MaCl* 9 καλὴν ἂν *MaClPa* 10 τὴν ἀφορμὴν τῇ κακίᾳ *MaClPa* | μὲν om *MaClPa* 11 κακίαν — πανταχοῦ in marg *Cl*[2] om *Cr* 13 τῷ *Pa* 14 μᾶλλον om *CrMaClPa* | ὅσον *Ma* | πλοῦτος — 602, 1 ἔνι citat Macarius fol. 80[r] 15 τὸν inser *Ma*[2] | μὴ *MaClPa* 17 καὶ (1) inserui e libris sed καὶ τοὺς *B* Macar om Ferr τοὺς Mor Re 19 εὐπόρων *Cr* 20 εὕρῃς *Va* | ἐν om *Ma* | ἀφθόνοις scripsi e *CrMaClPaBVa* et γρ in marg Mor Macar coll Dem. et Xen. ll. ll. ἀφθόνῳ *PM* edd

ἂν τὰ ἄλλα ἀνέχηταί τις, πεινῶντα φέρειν οὐκ ἔνι. 48. τίς οὖν ἦν σοι τῶν θεῶν ἐγγυητὴς τοῦ μηδὲν ἄν σοι ποιῆσαι τὸν υἱὸν αἰσχρὸν βιαζομένης πενίας; καὶ γὰρ οὐδ' ὁ μεμφόμενος ὡς καταισχύνει τὸ γένος ἐφάνη ποτὲ ἂν προδήλου πᾶσι τῆς ἀπολογίας οὔσης ὅτι ἐμὲ πατήρ τις εὐδαίμων θρέψας καὶ παιδεύσας τῶν προγόνων ἀξίως ἔπειτα εἰς ὀργὴν ἐμπεσὼν ἄμοιρον τῶν αὐτοῦ κατέστησε καὶ νῦν τὸ δεῖσθαι καὶ ζητεῖν τροφὴν ἐπὶ πράξεις ἀβουλήτους ἐξάγει. εἰ μὲν γάρ, ὦ πάτερ, ἅπαντες οἱ συγγενεῖς ἀπὸ τῶν ὄντων αὑτοῖς συμφέροντες ἐποίουν αὐτῷ τινὰ οὐσίαν, μάταιον ἦν ἄν σοι τὸ σόφισμα μὴ διδόντι τῶν σῶν τῷ παρ' ἑτέρων ληψομένῳ· εἰ δὲ πικρῶς καὶ ὡς ἄν τινες ἠδικημένοι τῇ πενίᾳ φθείρειν ἐξεδίδοσαν, χαλεπὸν ἂν ἦν, ὦ πάτερ, ἀμείνω σοι γενέσθαι τὸν υἱὸν ὑπὸ τῆς ἀχρηματίας. 49. μὴ χείρω μὲν οὖν γενέσθαι χαλεπὸν ἂν ἦν, μᾶλλον δέ, εἰ καὶ μηδεὶς τῶν ἄλλων, αὐτὸς ἂν αὐτὸν ὕστερον εἰς κοινωνίαν εἰσῆγον.
R IV 683 ὁμολογῶ γάρ, εἰ καὶ παροξύνω τῷ λόγῳ. | τί οὖν ἔδει πονηρὸν ἐπὶ τῆς διαθήκης γενόμενον φιλανθρωπεύεσθαι μετὰ τοσαύτης βλάβης;

2 cf. p. 573, 5

1 καὶ ante τὰ *MaClPa* | ἀνέχεταί *B* ἀνάσχηταί (εχη supra) *Pa* | στόμαχόν γε ante πεινῶντα inserendum coni Re cui oblocutus est Iacobsius Lect | φέρειν (ζῆν supra) Macar ζῆν *MaCl* θαρρεῖν Iacobs 2 οὖν inserui e *MaClPaBVa* om *PMCr* edd 4 καταισχύνοι *MaCl* 5 ποτ' *MaClPa* | πᾶσιν *Cr* 6 καὶ om *MaCl* 7 ἔπειτ' *Cl* 8 αὑτοῦ libri edd 11 αὑτοῖς *Cr* αὐτοῖς reliqui libri edd | συνεισφέροντες *Ma* et in marg *Cl*² | τινὰ αὐτῷ *ClPa* 12 ἂν ἦν *MaClPa* 13 τῷ om Mor | ὥσπερ *Va* 15 τὸν — 16 γενέσθαι om *MaCl* 16 οὖν] γὰρ *Pa* 18 εἰς κοινωνίαν εἰσῆγον ὕστερον *MaClPa* 20 γραφόμενον *MaClPa* 21 τοσαύτην βλάβην *MaCl*

50. *Αὐτὰ δὲ ταῦτά φησιν, ἡνίκα ἐκέλευόν σε γράφειν, τί μὴ πρὸς ἐμὲ διελέχθης; ἦν γάρ που βέλτιον λέγοντα πείθειν ἢ διὰ σιγῆς ἀδικεῖν. καὶ πῶς ἂν ἀσθενοῦντί τε καὶ φαύλως ἔχοντι καὶ τελευταῖα νομίζοντι περὶ τῶν αὐτοῦ βουλεύεσθαι λόγον ἀπέτεινον μακρόν; πῶς δ' ἂν παρὰ τοῖς σοφοῖς ὁρῶν τὸν καιρὸν ἐπαινούμενον αὐτὸς ἂν οὕτως ἄκαιρον πρᾶγμα ἐπεισῆγον τῇ νόσῳ καὶ τὸν ὀδυνώμενον τῷ πυρετῷ λόγοις ὀχληροῖς ἐβάρυνον;* 51. *οὐκ ἴστε, ὦ δικασταί, πηλίκης δεῖ τοῖς τοιούτοις ἡσυχίας; οὐκ ἴστε ὑπὸ τῶν ἰατρῶν παραγγελλόμενον δεῖν ἠρεμεῖν αὐτούς τε ἐκείνους καὶ τοὺς παρόντας αὐτοῖς; οὐ καὶ τὰ μὴ λυπηρὰ τῇ φύσει λυπεῖν τοὺς τοιούτους δύναται; κἂν φθέγξηταί τις κἂν μή, κἂν ἑστήκῃ, κἂν καθιζάνῃ, κἂν μειδιᾷ, κἂν σκυθρωπάζῃ, κἂν ἐξίῃ, κἂν μένῃ, τούτων ἕκαστον πλήττει τὸν ἀσθενοῦντα καὶ δυσκολαίνειν ποιεῖ καὶ τὸ κακὸν αὔξει. δεῖ δὲ πειρᾶσθαι τὸν κάμνοντα διὰ πάντων εὐφραίνειν, ἀνιᾶν δὲ μηδὲ καθ' ἕν.*

---

6 cf. ad t. VI 543, 15 7 Pittac. apud Stob. III 1 (Diels Vorsokratiker II 522, 11). inscr. herm. Tiburt. Vatic. (Visconti Mus. Pioclem. VI t. 22 a. Kaibel, Inscr. Sic. et Ital. 1195)
17 sq. cf. t. V 72, 4 sq. Plat. rep. III p. 389 B. Xen. comm. Socr. IV 2, 17

---

1 *ἀντίληψις B* cf. p. 424, 1 4 *λύσις B*

---

1 *σοι B* 2 *διειλέχθης PMaClPaBVa* sed in hoc *ει* in *η* corr cf. p. 569, 9; 598, 10 4 *φλαύρως PaVa* | *τελευταῖον MaClB* 5 *τῶν* inser *Ma*² om *BVa* | *αὐτοῦ Va* sed ' in ' corr *αὐτῶν MaClPa* 7 *ἐπαινούμενον τὸν καιρὸν BVa* 9 *δὲ* post *ἴστε MaClPa* 10 *ἄνδρες MaClPa* cf. p. 584, 1 | *ποιλίκης Ma* sed *λ* in ras et *κ* e *λ* corr m³ 11 *παρὰ Pa* 12 *καὶ*(2) — 13 *δύναται* citat Macarius fol. 80ʳ 13 *τοιούτους*] *νοσοῦντας* Macar 14 *φθέγγηταί* Mor Re | *ἑστήκη Cl* sed *η* ex *ὸς* corr *ἑστήκοι PaVa* *ἑστηκὼς Ma* | *καθίζων ἢ Ma* 15 *κἂν σκυθρωπάζῃ* om *BVa* 18 *μὴ δὲ PClPaBVa* Ferr *μὴ Ma*

διὰ τοῦτο πρὸς αὐτοὺς καὶ ψευδόμεθα καὶ πλάττομεν λόγους ἀφ' ὧν ἂν ἡσθεῖεν, κἂν δυσχερές τι συμβῇ, κρύπτομεν καὶ τὸ οὐκ ὂν ἀγαθὸν ὡς ὑπάρχον λέγομεν. 52. *τότ' οὖν ἔμελλον ἀγωνίζεσθαι πρὸς σέ, πάτερ, καὶ ταῦτα ἃ νῦν εἶπον τὰ πολλὰ διεξιέναι καὶ πειρᾶσθαι δεικνύειν ὡς οὐκ ὀρθῶς βουλεύῃ καὶ ψυχὴν ἕτοιμον εἰς ὀργὴν παροξύνειν καὶ πῦρ ἐπάγειν πυρί; καὶ τίς οὐκ ἂν καὶ τῶν ἰατρῶν καὶ τῶν ἄλλων, εἰ κρατῆσαι συνέβη τὴν νόσον, ἐπ' ἐμὲ τὴν αἰτίαν ἦγεν ἂν τοῦ θανάτου; οὗτός ἐστιν ὁ τὸν πατέρα ἀπεκτονώς, οὗτος ὁ μείζω ποιήσας τὴν ἀρρωστίαν, ὁ τὸν υἱὸν ὃν ἐμέμφετο πρὸς αὐτὸν ἐπαινέσας. σίδηρον μὲν οὐκ ἐπήνεγκε τῷ πατρί, διὰ θυμοῦ δὲ* R IV 684 *αὐτὸν ἀπολώλεκεν.* 53. | *εἰ γὰρ νῦν ὑγιαίνων οὐχ ἡδέως δέχῃ τοὺς λόγους καίτοι καὶ τῶν δικαζόντων καὶ τῶν περιεστηκότων συγχωρούντων με δίκαια λέγειν, τίς ἂν ἦσθα τότε χειμαζομένης ὑπὸ τοῦ νοσήματός σοι τῆς ψυχῆς; ἆρ' οὐκ ἂν ἐκεκράγεις ὠθεῖν, ἐξελαύνειν ὡς ἀπολλύντα σε τοῖς λόγοις καὶ τὸ κατ' ἐκείνου μὲν ἐτήρεις μῖσος, τὸ δὲ πρὸς ἐμὲ φίλτρον εἰς μῖσος μετέβαλες, ἀπῄειν δ' ἂν κακὸς ἰατρὸς τῆς ὀργῆς γεγενημένος, ἄλλος δ' ἂν ἀντ' ἀμφοῖν ἐπὶ τὸν κλῆρον ἐκαλεῖτο; καὶ οὐχὶ τοῦτο δεινότατον, τὸ δὲ σοὶ ⟨κακοῦ⟩ τινος αἴτιον γεγονέναι δοκεῖν τίνος οὐ μεῖζον κακοῦ;*

54. *Διαβέβλημαι γάρ φησιν ὑπὸ τῆς σῆς φιλ-*

1 *διατοῦτο MaPaBVa* | *καὶ πρὸς αὐτοὺς MaClPa* 2 *ἂν* om *BVa* 3 *ὑπάρχον* scripsi e *CrMaClPa* et *γρ* in marg Mor *ὂν PMBVa* edd 8 *γρ ἄλλων ἰατρῶν, εἰ* in marg Mor 9 *οὐκ* ante *ἐπ' MaCl* 12 *ἐμέμψατο Ma* 13 *ἐπήνεγκεν Ma* 16 *δίκαιά με Ma* | *μοι Pa* 18 *σου MaPa* 19 *ἐξωθεῖν B* 22 *δ' ἂν*] *δὲ CrMaClPaBVa* 23 *κακοῦ* inserui auctore Re om libri edd 24 *τινος* Mor sed *γρ τίνος* in marg | *ὀργῆς* post *τινὸς Pa*, *αἰδοῦς MaClB* Mor sed in hoc om *γρ* in marg, Re delevi

ανθρωπίας. ἐξῆν δέ γε, ὦ δικασταί, μὴ τοῦτο παθεῖν, εἴπερ ἐβούλετο σιωπᾶν. ἐγὼ μὲν γὰρ οὔτε ζῶντος οὔτε τεθνεῶτος ταῦτ' ἂν ἐξεῖπον πρὸς ἕτερον οὐδ' ἂν πρὸς αὐτόν γε τὸν ἀδελφόν, ὁ δὲ αὐτὸς ἑαυτόν, ὡς ὁρᾶτε, ἀδικεῖ. 55. *ἐχρῆν δέ γε ἢ σιγᾶν ἢ πρὸς ἐμὲ μόνον ἐπαινεῖν τὰς διαθήκας καὶ φάσκειν εὖ με βεβουλεῦσθαι καὶ χαίρειν μὲν ἐπὶ τοῖς πεπραγμένοις, ἀπαλλάττειν δὲ τὴν οἰκίαν τῆς ἐνούσης ταραχῆς. οὕτως ἂν ἡμῖν ἅπαντα εἶχε καλῶς, νῦν δὲ πολεμῶν τοῖς γράμμασι καὶ τοσαύτην ἐπάγων δίκην καὶ ποιῶν ὃν ἐγέννησας ἀλλότριον δίδως λαβήν τινα τοῖς πρᾴοις καὶ φιλοτέκνοις.*

56. *Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γε, πρὸς θεῶν, ὦ πάτερ, γνώρισον μὲν αὐτόν, γνώρισον δὲ ἡμᾶς. αἰδέσθητι δὲ θεοὺς οἷς ἔθυσας μὲν εὐχόμενος γενέσθαι πατήρ, ἔθυσας δὲ ἤδη γεγενημένος, ἔθυσας δὲ δεκάτην ποιῶν, οὐ ταῦτα αἰτῶν δήπου, μήτ' οἰκίαν μήτε κλῆρον παραδοῦναι τοῖς υἱέσιν, ἀλλὰ διαδόχους, κληρονόμους, χορηγούς, τριηράρχας, ῥήτορας, πρέσβεις, στρατιώτας ἀγαθούς, ἀριστέας, στρατηγούς.* 57. *ταῦτα, ὡς εἰκός, ἐδέου σοι γενέσθαι παρὰ τῶν θεῶν, αὗται γὰρ εὐχαὶ πατέρων. τούτων ἀναμνήσθητι, ταῦτα αἰσχύνθητι. καὶ μὴ σαυτὸν μὲν ἄπαιδα καταστήσῃς ὄντων υἱέων, ἡμᾶς* | R IV 685 *δὲ ὀρφανοὺς ὄντος πατρός. ἱκανῶς ἐδάκρυσεν ἡ μήτηρ, ἱκανῶς ὁ δυστυχὴς ἀδελφός, ἱκανῶς ὁ τέως μὲν εὐδαίμων νομιζόμενος ἐγώ, νῦν δὲ ἀθλιώτα-*

---

15 cf. p. 616, 11. Dem. Boeot. nom. p. 1001, 4 et 8; Boeot. dot. p. 1016, 29. Arist. av. 922

---

1 *ὦ δικασταί* om *MaCl* 5 *γε* om *MaClPa* | *σιωπᾶν BVa* 6 *ἀπαιτεῖν Va* 11 *πράοις Va* Ferr Mor 12 *καὶ* om *B* 13 *μὲν — δὲ* om Ferr | *ἑαυτὸν MaClPa* Mor Re 14 *μὲν* om *MaCl* 15 *γεγενημένων MaCl* 17 *δοῦναι M* 20 *τῶν* om *MaCl* | *αὐταὶ BVa* 24 *ὁ* om *Ma*

τος. ἱκανῶς ἐλυπήσαμεν τοὺς ἀληθῶς φίλους, ἱκανῶς εὐφράναμεν τούς τε φανερῶς μισοῦντας καὶ τοὺς οὐχ ὁμολογοῦντας. 58. ἐν μὲν ταῖς ἄλλαις ἁπάσαις οἰκίαις ὁμόνοια, φίλτρον, κοινοὶ λόγοι, κοιναὶ τράπεζαι, τέρψεις ἐμμελεῖς, ἐλπίδες ἀμείνους, παρὰ δὲ ἡμῖν ἐγκλήματα, κατηγορίαι, θυμός, ἀγανάκτησις, ὀδυρμός, κατήφεια, τὸ νομίζειν ὑπ' ἀλλήλων ἀδικεῖσθαι, πόλεμος εἴσω θυρῶν, σπονδαὶ δὲ οὐδαμόθεν. οὐκ ἔκαμες, ὦ πάτερ, μισῶν τοὺς οἰκείους; οὐκ ἀπείρηκας βοῶν καὶ διαρρηγνύμενος; 59. ἀλλὰ πόλεις μὲν πόλεσιν ὑπὲρ τῶν μεγίστων ἐγκαλοῦσαι πολλάκις μέλλουσαι μάχεσθαι συνιόντων ἤδη τῶν στρατοπέδων πρὸ τῶν τραυμάτων κατέθεντο τὴν ἔριν καὶ διελύθησαν ἀλλήλαις συνευχόμεναι, σὺ δὲ πατὴρ ὢν ἀθάνατα χαλεπαίνεις καὶ οὐ ποιήσεις τὴν προσηγορίαν αὐτὴν σύμβολον διαλλαγῶν, ἀλλὰ κακώσεις οὓς ἐγέννησας εἰδὼς ἃ ποιεῖ περὶ τὰ αὑτῶν τὰ θηρία; τίς Ἐριννὺς ἄρα συνεφήψατό σοι τῶν γάμων; περὶ τίνα θεῶν ἁμαρτόντες ταύτην ἀπαιτούμεθα ⟨τὴν⟩ δίκην; διὰ τί μὴ γενομένους ἡμᾶς,

---

12 cf. ad t. VI 213, 18   14 Arist. rhet. II 21

---

1 ὡς ante ἀληθῶς *Pa*   2 καὶ τοὺς] τούς τε *CrMaClPa* et γρ in marg Mor voce τε des *Cr* fol 34^{r} 5 ἐπιμελεῖς *B*   6 κατήφειαι Ferr   8 δὲ om *MaClPaB Va* | οὐδαμόσε *PM* Ferr et γρ in marg Mor   11 ἐγκαλοῦνται *Ma*   13 μάχην *MaPa* | ἀλλήλαις scripsi e *MaClPaB Va* ἀλλήλοις *PM* edd | συνευχόμεναι scripsi e *Cl Va* συνευωχούμεναι *MaPa* συνευχόμενοι *PM* edd   14 χαλεπαίνεις ἀθάνατα *B Va* | „*malim* χαλεπανεῖς" Re cui oblocutus est Iacobsius Anth. Pal. III 105   15 ποιήσῃς *Va* ποιεῖς *MaClPa* et γρ in marg Mor | σύμβουλον *MaCl*   16 κακώσας *Va* κακὸς εἶ εἰς *MaCl* et γρ in marg Mor | τὰ om *B* et γρ in marg Mor   17 αὐτῶν *MaClPaB Va* et γρ in marg Mor | συνεφήψατό σοι τῶν γάμων scripsi auctore Re συνεψηφίσατό σοι τὸν γάμον libri edd   18 ταύτην om *MaCl* τοιαύτην coni Iacobs Lect   99 τὴν inserui auctore Re om libri edd | διατί *MaCl PaB Va* Ferr | γεν$\overset{ω}{ο}$μένους *B* γεν$\overset{ο}{ω}$μένους *Va*

ὦ πάτερ, ἐξέθηκας μέλλων ἐπὶ τοιούτοις θρέψειν; 60. ἀλλὰ δεῖ με πάντως τῆς οἰκίας ἐκπεσεῖν καὶ οὐ περιέσται σου τῆς ὀργῆς ἡ φύσις; οὐκοῦν τοῦτο μὲν εἰ δοκεῖ, κρατείτω· τῷ δὲ ἀδελφῷ σπεῖσαι καὶ τὰς αἰτίας τῆς ψυχῆς ἐξάλειψον καὶ μάθε τοῖς διαβάλλουσιν ἀπιστεῖν. τρέφε τὸν υἱὸν κληρονόμον, μόνῳ πάντα παράδος. μόνος ἅπαντα ἐχέτω, οὐ μέμψομαι, οὐ φθονήσω, μόνον εἰς υἱὸν ὁ κλῆρος διαβαινέτω. καὶ μὴ τοῦθ' ὃ | κατασκευάζονταί τινες ἰσχυέτω τοῖς R IV 686 ἐπιβουλεύουσιν, ἐξελάσαι μέν σε τοὺς σαυτοῦ παῖδας, παῖδας δὲ ἐκείνους νομίσαι. 61. ταῦθ' ὑποσχέσθω παρ' ὑμῖν, ὦ δικασταί, καὶ τὴν ἀποκήρυξιν οἴσω πρᾳότερον. καὶ γὰρ οὐδὲ φόβος μὴ καὶ στέγης καὶ τῶν ὑποδεξομένων ἀπορία γένηται. πολλούς μοι πεποιήκασιν αἱ διαθῆκαι πατέρας. οἶδα ἐπαινούμενος, οἶδα θαυμαζόμενος, οἶδα ἀγαπώμενος. ἔσται τις ὁ κέρδος αὑτοῦ ποιούμενος, εἰ φαίνοιτό μοι τῶν ὄντων μεταδιδούς.

62. Ἓν αἰτῶ σε μόνον, ὦ πάτερ, καὶ μηδὲν δείσῃς, οὐ γὰρ λύσει τὴν ἀποκήρυξιν· ἐξέστω μοι προσιέναι τέ σοι καὶ λαλεῖν ἐπ' ἀγορᾶς καὶ παραπέμπειν μέχρι θυρῶν, εἰσιόντα δὲ ὁ θυρωρὸς εἰ λάβοι, σφαττέτω.

---

9 [Dem.] Steph. p. 1103, 3; 1107, 19

---

1 *τοιούτων P* Ferr et *γρ* in marg Mor 9 *κατασκευάζονταί* reposui e libris coll Dem. ll. ll. *παρασκευάζονταί* edd 10 *ἐξελάσαιμεν Cl* | *σε* om *MaClBVa* | *τοῦ M* 11 *δ' MaCl Pa* | *τοῦθ' MaCl* 12 *ἄνδρες MaClPa* cf. p. 584,1 | *πραότερον Va* Ferr Mor 13 *καὶ*(3) om *Va* 16 *τίς MaClPaVa* 17 *αὐτοῦ MaClBVa* *αὐτῷ Pa* | *μεταδιδούς Cl* sed *ετα* inser m² 21 *καλεῖν Ma* | *ἀπ' MaCl* 22 *λάβῃ MaCl*

63. *Καλείτω μοί τις τὸν ἀδελφόν. ἐλθέ, ὦ ταλαίπωρε, θάρρησον, ἅψαι τῶν γονάτων τοῦ πατρός, δάκρυσον, ἱκέτευσον. μεταβέβηκεν εἰς ἐμὲ τὸ μῖσος. φυλάξει δὲ σοὶ τὰς διαλλαγὰς βεβαίους τὸ πρὸς ἐμὲ πολεμεῖν. πολέμει τοίνυν καὶ λοιδόρει καὶ διαφέρου καὶ τῷ πολέμῳ τούτῳ τήρει τὴν πρὸς αὐτὸν εἰρήνην.*

---

1 *μοι τίς PMaClPaVa* Ferr 3 *τὸ* inser *Ma*[3] 4 *δέ σοι PMMaClPa* edd | *βεβαίας MaClPa* | *τῶ MaPa*

XLVIII.

Declamatio inscripta *Δύο τις ἔχων παῖδας τὸν ἕτερον ἀπεκήρυξεν. ὁ ἐπὶ τῆς οἰκίας ἀριστεύσας ᾔτησεν εἰς τὸ γέρας τὸν ἀδελφὸν ἀναληφθῆναι. ἀντειπόντος τοῦ πατρὸς οὐκ ἔπεισεν. ἀξιοῖ καὶ αὐτὸς ἀποκηρύττεσθαι*, qua adulescens postquam fratris a patre abdicati reditum praemii virtutis loco petens patre obloquente repulsam tulit, a civibus petit, ut et ipse abdicetur, et a patre, ut populi decretum sequatur (cf. p. 636, 9), non tantum tulit plausum quantum exspectes omnibus eam prosae numerosae legibus astrictam observans. Testimonia prorsus desunt et numerus codicum quibus ad hanc aetatem pervenit parvus est. Sunt enim, si etiam recentissimos codicumque nomine parum dignos includis, non plures 13.

Incipio a 'corporalibus'.

1. Laurentianus LVII 27 (= L) anno 1392 exaratus fol. 148ᵛ. Vide t. I p. 59 sq. Contuli.

Ex hoc descriptus est

2. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 161. Vide t. I p. 59 sq. Collatus est et a Reiskia in usum mariti, qui eum littera *W* insignivit, et a me ipso.

Ex hoc per editionem Ferrariensem fluxit

3. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide t. I p. 67.

4. Barberinus II 41 nunc Vaticanus Barberinus 220 (= B) saec. XV fol. 416. Vide t. I p. 24 sq. Contuli.

Transeo ad 'eclogarios'.

5. Parisinus gr. 3018 (= P) saec. XV fol. 111ᵛ. Correctus est manu secunda. Vide t. V p. 173 sq. Contuli.

6. Athous Laurae S. Athanasii Ω 123 (= Ath) saec. XIII fol. 86. Verba *ἀμνημονῆσαι* p. 636, 17 — *οὐδὲν*

ἀ[νιαρὸν] p. 637, 12, quibus codex in medio folio 90ᵛ desinit, altera manu exarata sunt. Finis declamationis deest spatio in folio 90ᵛ et 91ʳ ei relicto. Contulit meum in usum Otto Kern.

Prope ab eo stat

7. Laurentianus LVII 23 saec. XIV fol. 12 manu secunda satis antiqua e codice cum *B* cognato correctus. Vide t. V p. 176 sq. Initium contuli et nonnullas lectiones adnotavi.

Ex hoc descriptus est

8. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 13. Vide t. V p. 178.

9. Mosquensis bibliothecae synodalis 489 antea 317 (304 in catalogo Mattheiano) (= Mos) saec. XV fol. 166. Vide t. V p. 180 sq. Contulit meum in usum N. Popoff.

10. Neapolitanus II E 17 (CLII in catalogo Cyrilli) saec. XIV fol. 220. Vide t. I p. 211 sq.

11. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 40ᵛ. E Barberino vel eius fonte descriptus est. Vide t. V p. 7 sq.

12. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 306 saec. XVII/XVIII fol. 16 continet declamationem cum paraphrasi interlineari. Vide supra p. 113 sq.

13. Smyrnaeus bibliothecae scholae evangelicae B-9 saec. XVIII fol. 404. Descriptus est ex editione Morelliana. Vide t. V p. 415.

Ex his quos in censum vocandos esse duxi codices quinque *LPAthMosB* rursus in duas discedunt familias quarum prior codicibus *LP*, altera *AthMosB* continetur.

Necessitudinis vinculum quod inter singulos codices intercedit hoc tibi reddet stemma



Librorum memoriae in hac declamatione tradenda fides in universum maior est quam in plerisque aliis, neque tanta inter utramque familiam lectionis discrepantia quanta in illis, sed hic quoque prioris familiae paulo maius est pretium quam alterius, cum *Ath* nonnulla novaverit, *B* etiam plura omiserit.

Declamatio in lucem protracta est anno 1517 editione Ferrariensi (= Ferr) fol. 71ᵛ—80ᵛ quae e Wolfenbuttelano codice prioris familiae fluxit. Hanc paucissimis ex alio codice, qui *P* fuisse videtur, correctis repetivit[1]) anno 1616 Morellus Lib. opp. t. I p. 862—881 (= Mor). Huius editionis menda haud pauca immemor Ferrariensis cum ope codicis Wolfenbuttelani tum ex ingenio sanavit Reiskius (= Re), sed uxor eius quae editionem (t. IV p. 687—707) curavit non omnes mariti emendationes in textu reposuit.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum in 'Lectionibus'[2]), et Cobetus.

---

1) *φρήσιν* pro *φύσιν* e Ferr fol. 77ʳ, 8 in Mor p. 873, 34 et ex hac in Re p. 698, 24 transiit.

2) Cf. t. I p. 77 et V p. 198.

XLVIII.

Δύο τις ἔχων παῖδας τὸν ἕτερον ἀπεκήρυξεν. ὁ ἐπὶ τῆς οἰκίας ἀριστεύσας ᾔτησεν εἰς τὸ γέρας τὸν ἀδελφὸν ἀναληφθῆναι. ἀντειπόντος τοῦ πατρὸς οὐκ ἔπεισεν. ἀξιοῖ καὶ αὐτὸς ἀποκηρύττεσθαι.

R IV 687 1. Οὐχ ὑπὲρ τῶν πρῴην καὶ αὖθις ἀνέστην δεησόμενος ὑμῶν τε, ὦ πολῖται, καὶ τοῦ πατρὸς οὐδ' αἰτήσων ἐκείνην τὴν δωρεὰν ἣν πρὸ τῆς ὑμετέρας γνώσεως καλήν τε ἡγούμην εἶναι καὶ πρέπουσαν ὑμῖν τε δοῦναι καὶ ἐμοὶ λαβεῖν καὶ συγχωρῆσαι τῷ πατρί. καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ ἃ τοῖς πρώτοις λόγοις οὐκ ἠδυνήθην ὑμᾶς ὡς ἐστὶ δίκαια διδάξαι, περὶ τούτων εἶχόν τινας ἐλπίδας ὡς, εἰ πάλιν ἀκροάσαισθε, τάχ' ἂν ἐνδοίητε. 2. ἀλλ' ἐπεὶ τὰ πάντων εἴρηταί μοι δει-

---

L = Codex Laurentianus LVII 27
P = Parisinus gr. 3018
Ath = Athous Laurae Athanasii Ω 123
Mos = Mosquensis bibliothecae synodalis 489
B = Barberinus II 41 (Vaticanus Barber. 220)

---

6 *πραγματική P*

---

1 *Προθεωρία* ante *Δύο* Ferr, *Μελέτη πραγματική.* Mor Re delevi | *τίς* libri edd 6 *ἡ μελέτη* ante *Οὐχ L*[rubr] | *Ἡ μελέτη πραγματική.* Ferr, *Φιλάδελφος ἀξιοῖ ἀποκηρύττεσθαι* Mor Re delevi | *πρώην* libri edd 11 *ἄτοπον εἴη Ath* Ferr et *γρ* in marg Mor 12 *ἔστι LP* Ferr 13 *ἀκροάσαισθε* scripsi coll p. 613, 19 *ἀκροάσοισθε* libri edd

νότατα καὶ τόλμημα τετόλμηκα πάμμεγα τῶν πρὸς τὸν παῖδα διαλλαγῶν τῷ πατρὶ μνησθείς, συγγνώμης μὲν οὐκ ἂν ἀξιώσαιμι τυχεῖν οὐχ ὡς προσῆκον ὂν ἀπαραιτήτους εἶναι πανταχοῦ καὶ πικρούς, ἀλλ᾽ ἐμοῦ πρὸς τὸ τιμωρεῖσθαι μᾶλλον ἢ τὸ συγγινώσκειν δρῶντος. διόπερ ἀνέστην ἐν χάριτος αἰτήσων μέρει τὸ δοῦναι δίκην ὧν πρότερον ᾔτηκα. τὸν γὰρ ἐν τῷ βουληθῆναι λῦσαι τἀδελφῷ τὴν συμφορὰν πατέρα λυπήσαντα δίκαιον ἐκείνῳ κοινωνῆσαι τῆς συμφορᾶς.

3. Ἔστι μὲν οὖν δῆλον ὡς καὶ μηδὲν ἐμοῦ τοιοῦτον | παρ᾽ ὑμῶν αἰτοῦντος, ἀλλὰ τῶν καινῶν R IV 688 μὲν τούτων ἀφισταμένου, τῶν δὲ ἐν ἔθει δωρεῶν μεμνημένου ταχέως ἂν ὁ πατὴρ ἔδωκε τὴν χάριν ἐκβαλών με τῆς οἰκίας. οἱ γὰρ εὔνοιαν μὲν ὑποκρινάμενοι πρὸς τοῦτον, τὰ δὲ τῶν ἐχθίστων ἐπιδεδειγμένοι καὶ προφάσεσιν οὐ μεγάλαις ἐκπολεμώσαντες τὸν ἄνθρωπον τοῖς ἀναγκαίοις τίνες ἔσονται τοιαύτην ἔχοντες ἀφορμήν, εἰ οὓς ὁ πατὴρ ἐλαύνει, τούτους αὐτὸς ἀγάγοι καὶ πάλιν οἴκαδε; 4. οὐ μὴν ἀλλ᾽ εἰ καὶ παρὰ τῶν ἐχθρῶν ἡμῖν ῥᾴδιον ἀποκηρύξεως τυχεῖν, παρ᾽ ὑμῶν βέλτιόν πως τοῦτο γενέσθαι. ἐκείνως μὲν γὰρ ὁ πατὴρ ἕξει τὴν αἰτίαν ἀντὶ τῶν παροξυνάντων, τὰ γὰρ

---

2 *μνησθεὶς τῷ πατρὶ Ath* 3 ὂν] ἂν *Ath* 5 *συγγιγνώσκειν L* 15 *ἐχθρῶν B* sed *ρῶν* in ras m² 18 *εἰ* inserui e *B* et Laur. LVII 23 sed in hoc in marg manu correctoris antiqui om *LPAthMos* edd sed „*locum hunc non intelligo. Sine dubio deest aliquid. Sententia haec ferme postulat. ποία τις αὕτη ἡ ἀφορμή; πατὴρ οὓς ἔδει ἐλαύνειν, τούτους αὐτὸς*" Re | *αὐτὸς* Ferr in lac 5 fere litt om *B* *αὐτοὺς LPAthMos* et *γρ* in marg Mor 19 *ἀγάγοι* scripsi e Laur. LVII 23 sed *οι* in ras, in lac 8 fere litt om *B* *ἀγαγὼν LPAthMos* edd *ἀνάγει* coni Mor Not. f. VII | *καὶ πάλιν* inserui ex *AthMosB* om *LP* edd 21 *πως* in lac 5 litt om *B* *πω AthMos* *πολλῷ* Laur. LVII 23 sed *ολλ* in ras

ἐν ἀπορρήτῳ κατασκευάσματα τοῖς πολλοῖς ἄδηλα, οὕτω δέ, ὡς νῦν ἀξιῶ, τῆς οἰκίας ἐκπεσὼν τὸν μὲν ἐλευθερῶ μέμψεως, αὐτὸς δὲ τὴν αἰτίαν οἴσομαι. εἰ δ' ἀναγκαῖον ἢ τούτῳ τι γενέσθαι δυσχερὲς ἢ ἐμοί, μετριώτερον ἐπ' ἐμὲ τοῦτο ἐλθεῖν ἢ τὸν πατέρα ἐν αἰσχύνῃ ποιῆσαι. 5. *ἕνεκα μὲν οὖν τοῦ δικαίαν τε καὶ εὔλογον εἶναι τὴν παροῦσαν αἴτησιν θαρρῶ μὴ ἀτυχῆσαι, δύο δὲ ἐλαττώματα δέδοικα, τὴν ἡλικίαν τὴν ἐμαυτοῦ καὶ τὴν τοῦ λέγειν ἀπειρίαν. τοῖς μὲν γὰρ ἢ εἰς γῆρας ἥκουσιν ἢ τὸν περὶ τὸ βῆμα βίον εὐθὺς ἐξ ἀρχῆς ᾑρημένοις, τοῖς μὲν ὁ χρόνος δίδωσι πολλὰ εἰδέναι, τοῖς δὲ ἡ μελέτη τὰς περὶ τὸ λέγειν τέχνας· ἐγὼ δέ εἰμι μὲν τηλικοῦτος ἡλίκον ὁρᾶτε, βεβίωκα δὲ ἐν ὅπλοις, ὥστε ὅσον μοι τοῦ σώζειν τὴν πατρίδα δύνασθαι περίεστι, τοσοῦτον τοῦ λέγειν ἱκανῶς ἀπολέλειμμαι.* 6. *ἀλλ' εἰ μὲν τῶν οὐχ ἡδέων τι τῷ πατρὶ καὶ νῦν ἐπήγγελλον καὶ τὸ λυπηρότατον τοῦτο ῥῆμα ἐκείνῳ ἐφθεγγόμην τὸ τῶν διαλλαγῶν, εἰκότως ἂν εὐθὺς ἀναστὰς ἐπεστόμιζέ με πολλῶν πλεονεκτημάτων εἰς τὸ κρατεῖν εὐπορῶν· ἐπεὶ δὲ οἷς ἤδη πεποίηκε προστίθημι παραπλήσια καὶ ταῖς ἐπιθυμίαις συναγωνί-*
R IV 689 *ζομαι | τοῦ πατρός, οὐκ οἶδα ἀνθ' ὅτου μοι δικαίως ἀντείποι καὶ φιλονεικίᾳ χρήσαιτο πρὸς τὸν αὑτοῦ ζηλωτήν.*

7. *Ἵνα δέ, ὦ δικασταί, μή με οἴησθε τὰ μὲν πρὸς*

1 *ἀπορήτῳ L* | *οὕτως Ath* 4 *τι* post *δυσχερὲς* repet *Ath* 5 *ἐμοὶ Mos* 8 *δὲ*] *γὰρ B* 9 *ἢ* om *Ath* 15 *ἀπολέλυμαι Mos* 16 *τί B* 17 *ἐπήγγελλον* scripsi e *PAthB* *ἐπήγγελον LMos* edd 18 *ἐκεῖνο B* | *διαλλαγῶν* om *Mos* 19 *εὐθὺς* scripsi auctore Re *αὖθις* libri edd 23 *αὐτοῦ L PAthMos* edd 25 *τὸ ὦ* (δ supra) *Ath* | *οἴησθε* scripsi ut coni Re *οἴεσθε PAthMosB* edd *οἴεσθαι* (ε supra) *L*

τοὺς πολεμίους ἀγαθὸν γεγενημένον, τὰ δὲ πρὸς τὸν πατέρα οὐ τοιοῦτον μηδὲ τοὺς λόγους τοὺς ἄρτι ῥηθέντας εἰς ἀναίδειαν ἤ τινα ἄλλην κακίαν ἀναφέρητε, μικρὸν ἀκούσατέ μου, πρὸς θεῶν, ἀπολογουμένου. πιστεύω γὰρ ὑμῖν δόξειν ἢ μηδὲν ἠδικηκέναι ἢ ἄκων ἡμαρτηκέναι. 8. ὡς γὰρ ἐγενόμεθα, ὦ δικασταί, τῷ πατρὶ καὶ ἤδη ἦμεν οἷοι δέχεσθαι παιδεύματα, ἄμφω μὲν ἔπεμπεν εἰς παιδοτρίβου, ἄμφω δὲ εἰς διδασκάλου τῶν τακτικῶν ἠσπάζετό τε ὁμοίως ἀναστρέφοντας καὶ ὅλως ἴσον ἔνεμε φιλίας ἑκατέρῳ. παρὰ πάντα δὴ τὸν χρόνον, εἴπω τι τῶν χρηστῶν, ὦ πάτερ, εἰς τὸν ἀδελφὸν καὶ οὐ ποιήσῃ τὸν ἔπαινον ἔγκλημα; πάντα δὴ τὸν χρόνον τοῦτον οὐδὲ ἓν εἶδον ἐν ἐκείνῳ, μὰ τοὺς θεούς, τῶν αἰσχύνῃ περιβαλλόντων νέον, οὐκ ἔρωτας μανικούς, οὐ πληγὰς ὑπὲρ ἑταίρας, ἀλλ' ἴσα ἐβαδίζομεν, ταὐτὰ ἐφρονοῦμεν, τοῖς αὐτοῖς ἐχαίρομεν, ἀπὸ τῶν αὐτῶν ἐφεύγομεν. 9. οὕτω δὲ ἡμῖν ⟨τῶν⟩ τοῦ οἴκου φερομένων καὶ παράδειγμα ὄντων εὐδαιμονίας Φθόνος ἐμβαλὼν ἀνέτρεψε πάντα ἐξ ὧν ἐζηλούμεθα. ἀναφαίνονται γὰρ ἄνθρωποί τινες ἄμεινον ἐμοῦ τοῦ

8 Plat. Alc. I p. 109 D; Prot. p. 326 C. Chor. p. 109, 5 B

2 *μὴ δὲ LPAth* Ferr 6 *ἐγεννώμεθα B* | *ὦ* (πρ superscr.) *Ath* 7 *οἷον* Mor 10 punctum posui colon Laur. LVII 23 comma *Ath* om reliqui libri edd 11 comma posui e *LP* punctum *Ath MosB* edd | *τί AthMosB* edd 12 signum interrogationis posui comma *L* Ferr punctum *PAthMosB* colon Mor Re 13 *εἶδον* scripsi e *B* cum Iacobsio Anth. Pal. III 595 *εἶδεν LP* Re *οἶδεν AthMos* Ferr Mor qui *ἴσ. οἶδ'* in marg | *ἐν* om *B* 14 *ἐν* ante *αἰσχύνῃ Mos* | *νέον Mos* sed o corr *νέων Ath* Ferr Mor 15 *ἶσα Ath* 17 *αὐτῶν* reposui e libris cum Iacobsio Lect 136 *αἰσχρῶν* edd sed *γρ αὐτῶν* in marg Mor | *τῶν τοῦ οἴκου φερομένων* scripsi cum Iacobsio Lect *τοῦ οἴκου φερομένου* libri edd sed „*malim τῶν οἴκοι φερομένων*“ Re 19 *Φθόνος* scripsi *φθόνος* libri edd cf. p. 623, 17

συζῶντος τὸν ἀδελφὸν εἰδότες, οἳ τὰς τοῦ πρεσβύτου παρατηροῦντες ὀργάς, ὡς εἰώθατε πρὸς ἀλλήλους ἐν ταῖς συνουσίαις αἰτιᾶσθαι τοὺς υἱεῖς, κἂν εἰς μικρότατα ἁμαρτάνωσιν ἃ οἱ βέλτιστοι τῶν ὁμιλούντων κουφότητα ἀποφαίνουσι καὶ κοινὰ τῆς ἡλικίας καὶ τοῖς οὐ
R IV 690 λίαν δυσκόλοις | εὔφορα, ἀλλ' οὐχ οἱ τοῦτον φιλεῖν λέγοντες, ἀλλὰ μεγαλύνοντες ἀεὶ τὸ παραπῖπτον καὶ τὸν σπινθῆρα ἐγείροντες τοσούτου πολέμου τὴν οἰκίαν ἐπλήρωσαν καὶ οὕτω σφόδρα τὸν πατέρα ἐξώργισαν ὥστε ἐπιλαβόμενος εἷλκε τὸν υἱὸν ὃν ἐγέννησεν, ὃν ἔθρεψεν, ᾧ τὴν δεκάτην ἐποίησε, καὶ εἰσῆγεν εἰς τὸ δικαστήριον καὶ ἐκάλει πονηρόν. 10. ὁ δὲ ἐκπεπληγμένος τῷ τε ἀπροσδοκήτῳ καὶ ταῖς αἰτίαις καὶ τῇ τοῦ πατρὸς βοῇ καὶ τοῖς περιεστηκόσιν ἐσίγα μέχρι τοῦ μηδὲν εἰπεῖν ὑπὲρ αὐτοῦ τὸν πατέρα αἰδούμενος καὶ μᾶλλον εἵλετο προδοῦναι τὰ τοῦ ἀγῶνος δίκαια ἢ ὡς συκοφαντοῖτο φθέγξασθαι. μετὰ ταῦτα οὑτοσὶ μὲν ἀπῄει τὴν καλὴν νίκην νενικηκώς, ὁ δὲ ἀδελφὸς εἰς τὰ τῆς πενίας κακά. ἐγὼ δὲ ἀμφοτέρους ὀδυρόμενος, τὸν μὲν ὧν ἐπεπόνθει, τὸν δὲ ὧν ἐξηπάτητο, ἐποιούμην, ὦ δικασταί, τοὺς ὀδυρμοὺς λανθάνων, ἐφοβούμην γὰρ μὴ τὰ δάκρυα γένηται εἰς ἀποκήρυξιν ἀφορμή. 11. τοῦτο μὲν οὖν ἡ τῆς πόλεως ἐκώλυεν Ἀγαθὴ Τύχη παρασκευάζουσα δι' ἐμοῦ τοῖς ἐναντίοις τὴν ἧτταν καὶ ταῦτα ἐν οἷς νῦν εἰσιν, ἐγὼ δὲ τῆς μὲν τῶν πολι-

10 cf. ad p. 605,15

1 οἳ delendum censet Re sed anacoluthia apparet 3 εἰς] „*malim* ὡς" Re 6 εὔφωρα *B* | ἀλλ' οὐχ οἱ τοῦτον in lac 8 litt om *B* | οὐχ οἱ scripsi e *PAth* ut coni Re οὐχὶ *LMos* edd | φιλεῖν λέγοντες] φιλοῦντες *Ath* 9 τὸν πατέρα om *Ath* 11 ἀνέθρεψεν *B* 13 ταῖς om *B* 15 αὐτοῦ *Ath* 17 μεταταῦτα *LP* | οὑτουσὶ *L* 23 ἡ om *Ath*

τικῶν μελέτης οὐκ ἠμέλουν, πενθῶν δέ, ὦ ἄνδρες, διετέλουν καὶ τοὺς ἡλικιώτας ἐν τοῖς γυμνασίοις αἰσχυνόμενος, οἳ τῆς συμφορᾶς τὸν ἀδελφὸν ἐλεοῦντες οὐκ ἔστιν ὅτε οὐ καθήπτοντό μου περιιστάμενοι κύκλῳ· σὺ δὲ οὐδὲ εἰσιὼν οἴκαδε καὶ συνεστιώμενος τῷ πατρὶ καὶ λόγου μεταλαμβάνων οὐκ ἔπαυσας τὴν ὀργήν; οὐκ ἐπράϋνας τὸν θυμόν; οὐκ ἀνεῖλες τὰς ὑποψίας; οὐχ ἱκέτευσας; οὐκ ἐδάκρυσας; ὅρα μὴ δόξῃς ἐπαινεῖν τὰ πεπραγμένα τὸν κλῆρον πρὸ τῆς φύσεως ἄγων, μᾶλλον δὲ ἤδη τι καὶ συνεξεργάσασθαι. 12. *καίτοι μέμνησαι, ὦ πάτερ, ὁσάκις σοι πρὸς τὰ γόνατα πεσόντα με καὶ δεόμενον λῆξαι τῆς ὀργῆς ἀπεκρούσω καὶ ἀπειλησάμενος ἐκβάλλειν τοὺς οἰκέτας ἐκέλευσας. οἱ γὰρ διαβάλλοντες ἐξ αὐτῶν τῶν ἀτυχημάτων | τἀδελφοῦ πιθανώτεροι* R IV 691 *καὶ τὰ μηδαμοῦ λεχθέντα πλάττοντες ἔφερον εἰς ὦτα τούτῳ καταστῆναι τὴν ψυχὴν οὐκ ἐῶντες. τί οὖν ἦν λοιπόν; ἀλγεῖν μὲν τοῖς πεπραγμένοις, ἡσυχάζειν δὲ ἀνάγκη, καλεῖν δὲ τοὺς θεοὺς διαλλακτάς.* 13. *ἐν τούτῳ δὲ ἡμῶν ὄντων ἀγγέλλεται πολεμίων εἰσβολή. καὶ οἱ δῆμοι διηρπάζοντο καὶ τὸ δεινὸν προσῄει τῷ τείχει καὶ δρόμος καὶ φόβος καὶ ταραχὴ πάντα κατεῖχεν, ἁρπάσαντας δὲ τὰ ὅπλα θέειν ἔδει καὶ τὰ σώματα ὑπὲρ τῆς πατρίδος εἰσφέρειν.* 14. *ἐγὼ μὲν οὖν τήν τε τῶν στρατηγῶν ἐπιστήμην καὶ τὰς κοινὰς προθυμίας καὶ πρὸ τούτων γε τὴν τῆς Τύχης ῥοπὴν τῶν τε ἡμῖν ὑπαρξάντων ἀγαθῶν καὶ τῆς τῶν ἐναντίων αἰτιῶμαι*

---

1 *παθῶν L* *παθὼν* Ferr 2 *γυμνασί Ath* 4 *προιστάμενοι Ath* 5 *οὐδὲ* om *Ath* 9 *ἐπαινεῖν τὰ πεπραγμένα* om *Ath*
10 *ἄγων*] *ἄγειν ὅρα μὴ δόξῃς ἐπαινεῖν τὰ πεπραγμένα Ath*
11 *συνεξεργάσασθαι P* sed *συν* in ras m[2] 16 *μηδαμοῦ λεχθέντα* reposui e libris *λεχθέντα μηδαμοῦ* edd | *πράττοντες Ath*
21 *προῄει Ath* 26 *τῆς* om *Ath* | *ἡμῖν* scripsi *ὑμῖν* libri edd

πληγῆς, οἱ δέ, ὡς ὁρᾶτε, πάντες ἐμοὶ λογίζονται τὴν τροπὴν καὶ πρὸς τοὺς οἰκείους ἕκαστος οἴκοι τἀμὰ διηγεῖται καὶ τὴν ἀγορὰν ἐμπεπλήκασι τῶν ὑπὲρ ἐμοῦ λόγων καὶ νῦν ἥκουσι συνησθησόμενοι τῇ τιμῇ. 15. ἐμοὶ δ', ἕως μὲν ἤλπιζον ῥύσεσθαι τὸν ἀδελφὸν τῶν κακῶν, καλὸν ἦν ἴσως ἡ τῶν τετολμημένων διήγησις, ὡς ἔτι μὲν ἐξιὼν ἔγεμον θυμοῦ καὶ τῷ μέλλειν ἠχθόμην, ἰδὼν δὲ τοὺς ἐναντίους δίκην σκηπτοῦ ἐνέπιπτον τὴν μὲν τοῦ πείσεσθαί τι φροντίδα ἀφείς, τὴν δὲ ἀπὸ τοῦ δρᾶσαι δόξαν ἰδών, καὶ ὡς ἔρρηξα τὴν φάλαγγα, καὶ τὸ ξίφος συνεχῶς ἐνεργόν, καὶ τὸ μὲν ἠλαύνετο, τὸ δὲ ἐξωγρεῖτο, μεστὸν δὲ τὸ πεδίον νεκρῶν καὶ φυγῆς, τοῖς δὲ στρατιώταις ἀντὶ λόγων ἐκ τῶν ἐμῶν ἔργων ἡ παράκλησις. 16. ταῦτα, ὦ δικασταί, καὶ δρῶν ἔχαιρον καὶ διηγούμενος εὐφραινόμην, ἕως ἡγούμην αὐτὰ R IV 692 σεμνά τε εἶναι καὶ οὐχ ἡττᾶσθαι λόγων, νῦν | δὲ τοσοῦτον ἂν εἴποιμι μόνον ὡς ἐμοὶ μάλιστα οἱ πολέμιοι τῶν πολιτῶν καταρῶνται.

17. *Σκοπεῖτε τοίνυν τίς ποτε ἐγενόμην ἐπὶ τῇ νίκῃ καί μου δοκιμάσατε τῇ δωρεᾷ τὸν τρόπον. ὡς γὰρ ἀπέδομεν ὑποσπόνδους τοὺς νεκροὺς καὶ τὸ τρόπαιον εἱστήκει καὶ περίβλεπτος ἦν καὶ ἐπῃνούμην καὶ ἐκροτούμην, προσιόντες μοι δημόται καὶ φυλέται καὶ συμφοιτηταὶ καὶ πάντες ὅσοι συνῄδεσάν μοι τὴν λύπην ἣν εἰς τὸν ἀτυχοῦντα εἶχον ἀδελφὸν νῦν, ἔλεγον, ἃ πάλαι ἐπόθεις ἥκει. νῦν καιρὸς ἀμῦναι τἀδελφῷ τὴν συμφορὰν καὶ τῷ μὲν ἀποδοῦναι τὴν

---

5 δὲ ὡς *Ath* | ῥύσεσθαι scripsi auctore Cobeto Coll 299 coll t. VI 100, 21; t. IV 887, 8 R λύσεσθαι libri edd 10 δράσαι libri edd 12 τὸ om *Ath* 15 εὐφραινόμενος *Mos* 16 „*malim τῶν λόγων*" Re 26 ἀμύναι *LPMosB* edd

οἰκίαν, τὸν πατέρα δὲ τῆς ἐπὶ τῇ πικρᾷ κρίσει δόξης ἀπαλλάξαι. 18. εἰκὸς δὲ αὐτὸν αἰσχυνθέντα σου τὴν ἀρετὴν ἡμερώτερόν πως κἀκείνῳ γενέσθαι. σὺ δὲ καὶ πρὸς τὸν δῆμον εἰπεῖν καὶ δι' ἐκείνου πρᾶξαι τὰς σπονδὰς καὶ μετὰ τῶν ἄλλων ἃ λαμβάνειν νόμος καὶ τοῦτο ἐπαγγεῖλαι. πάντως δὲ πολλοῦ πᾶσιν ἄξιος εἶ καὶ τὸ δικαίως αἰτεῖν ἀπὸ τῆς ἀνδραγαθίας ἔστι σοι. 19. ἐκκλησία τοίνυν μετὰ ταῦτα καὶ καλούμενος παρῄειν ἄνθρωπος ἐπ' ἀριστείᾳ κατηφής, ἀφῃρεῖτο γὰρ τὴν ἐπὶ τοῖς κατορθώμασι φαιδρότητα τὸ τῆς οἰκίας ἀτύχημα, μνησθεὶς δὲ τῆς μάχης καὶ φήσας οὐχ ὑμᾶς ἐμοὶ δεῖν ἔχειν χάριν, ἀλλ' ἐμαυτὸν τοῖς παραταξαμένοις θεοῖς ὅμως, ἔφην, ἐπειδήπερ αἰτεῖν κελεύετε, τὰ συνήθη μέν, ὦ πάτερ, καὶ δι' ὧν τοῖς λαμβάνουσιν εὐπορία τε καὶ τὸ λαμπροὺς εἶναι περιγίγνεται, οἷον πλέθρα γῆς πεφυτευμένης ἢ τάλαντα ἀργυρίου ἢ σίτησιν ἐν πρυτανείῳ ἢ χαλκῆν εἰκόνα, τούτων μέν, ἔφην, τῶν λαμπρῶν οὔπω πράττομεν ἀξίως, ἀλλά μοι δότε δωρεάν. 20. καὶ κρατηθεὶς δάκρυσιν ἐσίγησα, κελευόντων δὲ ὑμῶν λέγειν καὶ θαρρεῖν, ὡς οὐδὲν ⟨ὂν⟩ ὅ τι οὐ δώσετε εἶπον τὴν | Ἐριννὺν τῆς οἰκίας ἢ τὰ συμ- R IV 693
πεφυκότα διέσπασε, τὴν συμφορὰν τἀδελφοῦ, τὴν ὀργὴν τοῦ πατρός, ὡς ἀκούομεν κακῶς, ὡς τραγῳδού-

17 cf. ad p. 449, 13

4 *σὲ B* 5 *πράξαι LPMosB* edd 7 *πάντων* Mor 8 *ἐστί AthMosB* Mor Re 11 *τὴν* om *L* Ferr 14 *ἐπειδὴ περὶ Ath* 16 *περιγίνεται Mos* edd 22 ὂν inserui om libri edd | *δώσεται L* 23 *Ἐριννῦν LPMosB* edd 25 *ὡς ἀκούομεν κακῶς* om Mor Re qui adnotat: „*quae vocabula nescio an scholium sint verbi τραγῳδούμεθα*"

μεθα πανταχοῦ, καὶ τελευτῶν ἀντ' εἰκόνος ἐπήγγελλον τοσοῦτον, ἰδεῖν οἴκοι τὸν ἀδελφόν. ἐν ᾧ πάντες ἀνεθορυβήσατε τὸ τῆς αἰτήσεως ἦθος ἄμεινον τῆς ἀριστείας ἡγούμενοι. 21. καὶ ἦν ἔνθεν μὲν ἀκούειν ἀποκαλούντων τὸν χρηστόν, ἑτέρωθεν δὲ τὸν βέλτιστον, πανταχόθεν δὲ ἁπλῶς ἕν γέ τι ῥῆμα πρὸς εὐφημίαν φέρον. ἀλλά τοι, ὦ δικασταί, τὸ θαῦμα μέχρι τῆς σιγῆς τοῦ πατρός, ὡς δὲ διῆρε τὸ στόμα καὶ ἐφθέγξατό τι καὶ συνήγαγε τὸ πρόσωπον, πάντα διέφθαρτο, καὶ τὰ καλὰ τέως φαῦλα ἐπεφήνει καὶ ὑμεῖς μετεβέβλησθε καὶ αὐτὸς παραπαίειν ἐδόκουν καὶ δι' ὧν εὐδοκίμουν, ἐπὶ τούτοις αἰτίας εἶχον. 22. τοσοῦτον, ὦ δικασταί, προσηγορία πατρὸς εἰς ἀγῶνα πλεονέκτημα. πάντα φροῦδα ἐκεῖνα τὰ μεγάλα καὶ θαυμαστά, ὁ κηδεμὼν τῆς οἰκίας, ὁ φοβερὸς τοῖς ἐχθροῖς, ὁ τῆς πόλεως σωτήρ, ὁ φύλαξ τῶν γενῶν, ὁ τοῦ τείχους χρησιμώτερος, ὁ δοὺς ἀντὶ τοῦ πεφρικέναι εὐθυμεῖν, τὰ δ' ἐπινίκια καταγέλαστα καὶ μικρὰ καὶ φλήναφος. 23. ἐπειδὴ τοίνυν ὑμῖν τε ἠνώχληκα καὶ τὸν πατέρα λελύπηκα καὶ λόγους ἀφεῖκα σιγῆς ἀξίους, εὕρηκα, ὦ δικασταί, ἑτέραν δωρεὰν δι' ἧς ἐλπίζω τὸν πρεσβύτην εὐφρανεῖν. ἣν γὰρ οὐκ ἠδυνήθην λῦσαι τἀδελφῷ συμφοράν, ταύτης κοινωνεῖν ἀξιῶ καὶ τῆς οἰκίας μετ' ἐκείνου στέρεσθαι.

R IV 694 24. *Τιμωρία* | *τοῦτ', οὐ δωρεά*, φήσει τις καὶ τὰς τιμὰς αἷς ἀμείβεσθε τῶν ἀριστέων τοὺς κινδύ-

8 Dem. fals. leg. § 112 p. 375, 14

2 ἂν ἐθορυβήσατε *MosB* 6 ἁπλῶς om *Ath* 13 πανταχοῦ Ferr Mor | φροῦδα scripsi γοῦν libri edd sed γοῦν φροῦδα coni Re 17 πεφριγμένον Ferr | τά τ' *B* 19 ἀφεῖκα scripsi cum Cobeto Coll 299 ἀφῆκα libri edd 21 τὸν πρεσβύτην in ras *P*² 22 λύσαι *LPAthMos* edd | τἀδελφῷ scripsi coll p. 613, 8; 618, 26; 624, 11; 632, 23; 633, 11 et ad p. 598, 9 τῷ ἀδελφῷ libri edd 24 τίς *AthB* edd

νους ἐξαριθμήσει μανίας εἶναι λέγων φυγόντα ταῦτα ἑκόντα ἐμβαίνειν εἰς τοσοῦτον κακόν. ἐγὼ δέ, εἰ μὲν ἡ σφοδρὰ λύπη τὸν λογισμὸν ἐξίστησιν, ὁμολογῶ μαίνεσθαι πρὸς τοσοῦτον ἐπιθυμίας ἥκων. τίς γὰρ ἢ γέγονεν ἢ νῦν ἐστιν ἀθλιώτερος ἐμοῦ; 25. καὶ τὰ μὲν ἄλλα ἐῶ, τουτὶ δὲ αὐτὸ τὸ παρὸν πόσης δυστυχίας; ὁ μὲν δῆμος ἐν θυσίαις καὶ χαραῖς καὶ γυναῖκες καὶ παῖδες καὶ δοῦλοι τῆς ἀδείας εἰς ἡδονὴν ἀπολαύουσι, μόνος δὲ ὁ τούτων αἴτιος ἐν οἰμωγαῖς, ἐν θρήνοις τῷ φεύγειν τὴν πατρῴαν ἑστίαν. καὶ τῶν μὲν νενικηκότων εἰμὶ πολίτης, στένω δὲ μετὰ τῶν ἡττημένων. καὶ τοῖς μὲν ἄλλοις τὸ στεφανηφορεῖν ἀπὸ τῆς ἐμῆς προθυμίας, ἐμοὶ δὲ ἀντὶ τούτου παρὰ τοῦ δήμου τὸ δακρύειν. καὶ τῇ μὲν πόλει λῦσαι τοὺς φόβους ἴσχυσα, τῷ δὲ ἀδελφῷ λῦσαι τὴν ἀποκήρυξιν οὐκ ἔσχον, ἀλλ' ὧν ἐν προσθήκῃ τεύξεσθαι προσεδόκων οὐδ' αὐτὰ καθ' αὑτὰ λαβεῖν δεδύνημαι. καὶ τὸ δεινότατον, κατῄσχυνα τὴν νίκην αἰτήσει πονηρᾷ καὶ σεσωκὼς τοὺς νόμους εἰς ὠμὴν καὶ παράνομον ὑπήχθην δωρεάν. 26. μὴ τοίνυν θαυμάσῃς εἰ τοσαύτῃ συνόδῳ κακῶν ἐκβέβλημαι τῶν λογισμῶν καὶ τοῖς μὲν ἀλγῶν, τοῖς δὲ αἰσχυνόμενος οὐ πάνυ σωφρονῶ. ἀλλ' εἰ καὶ λίαν τις οὐκ ἐπ' ἐμαυτοῦ με εἶναι νομίζει, τοσοῦτόν γε ἔχω καθορᾶν ὡς τὰ μὲν λαμπρύνοντα ἄνθρωπον οἱ μὲν εὖ πράττοντες δέχονται καὶ τὸ μὲν πρόσφορον οἷς καιρὸς

16 cf. ad p. 501, 14

1 ταῦτα om *Ath* 2 εἰ] ἢ *L* εἰ ἢ Ferr 4 ἀθυμίας *Ath* 5 καὶ om *Ath* 14 λύσαι *Ath* 15 λύσαι *PAthMosB* edd 19 δωρεᾶν *Ath* 21 τὸν λογισμὸν *Mos* | αἰσχυνόμενον *Ath* 22 τίς *PAth* edd 23 ἐν Cobet Misc. 146 at cf. ad p. 271, 16

κομίζονται καὶ μέμψις ἄπεστιν, εἰ δέ τις δυσκολίᾳ κεχρημένος καὶ τοὺς οἰκείους ὁρῶν ἐν τοῖς χαλεπωτάτοις βοηθεῖν ἀδυνατῶν μέμνηται τιμῆς καὶ λαμπρότητος ἀντιποιεῖται, τοῦτον καὶ μισοῦμεν καὶ μεμφόμεθα καὶ θεοῖς ἐχθρὸν ἡγούμεθα. τὸ γὰρ ἄκαιρον ἐν αἰτίᾳ πανταχοῦ. 27. καὶ νῦν οὐκ ἐᾷ τούτων εἶναι καιρὸν ὁ δυστυχῶν ἀδελφός, ὁ ἀντειρηκὼς πατήρ, ὁ πεισθεὶς ἐκείνῳ δῆμος. ἀλλ' ἐπ' ἀγορᾶς με βούλει στῆναι χαλκοῦν οὐδὲ φανῆναι τἀδελφοῦ τολμῶντος ἐπ' ἀγορᾶς; ἀλλ' ἐν πρυτανείῳ σιτεῖσθαι τῆς οἴκοι τραπέζης ἐστε-
R IV 695 ρημένου τούτου; ἀλλὰ τάλαντα | λαβεῖν προσαιτοῦντος ἐκείνου; ἀλλὰ κηρύγματος τυχεῖν ἀποκεκηρυγμένου τούτου; μή, πρὸς Διός, μή με ποιήσῃς περὶ τὴν φύσιν πονηρὸν μηδ' ἐπιδείξῃς ὀλίγωρον τῶν ἐκείνης νόμων οἳ τοῖς οἰκείοις ταὐτά τε χαίρειν καὶ ταὐτὰ λυπεῖσθαι διώρισαν. συγγενείας δὲ ἁπάσης ἀδελφὸς ἐντιμότατον. 28. φέρε, εἰ δὲ ἐτεθνήκει νεωστὶ καὶ κατειλήφει τὴν τελευτὴν ἡ νίκη καὶ περὶ δωρεᾶς ὁ δῆμος καθῆστο, ἆρ' ἄν με δοκεῖς δέξασθαι ταυτὶ τὰ σεμνά, τὸν στέφανον, τὴν εἰκόνα, τἄλλα, ἀλλ' οὐκ ἂν ἐν χάριτος μέρει τὸ λαβεῖν τινα χρόνον εἰς τὸ πένθος αἰτῆσαι; νῦν τοίνυν οὐ τέθνηκε μέν, ὃ δὲ πολλῷ θανάτου βαρύτερον, ἄτιμος περιέρχεται, μᾶλλον δὲ κρύπτεται. τί οὖν ὁ καιρὸς ἐπαγγέλλειν παραινεῖ; μετέχειν αὐτῷ τῆς ἀτιμίας καὶ μὴ τρυφᾶν ἐν ἀκαιρίαις ἀδελφῶν. 29. δωρεὰ δὲ πᾶσα τῇ τοῦ λαμβάνοντος ἡδονῇ κρίνεται, τὸ δὲ λυπηρόν, κἂν ἄλλως ᾖ τῶν καλῶν, εἰς τιμωρίαν τελεῖ. αὐτίκα τίς οὐκ ἂν εὔξαιτο στεφάνου

16 Her. III 119. Soph. Ant. 911 sq.

14 *μὴ δ'* libri edd 15 *τε* om *Ath* 16 *διώρισε B*
17 *τεθνήκει Mos* 19 *δοκεῖς* scripsi *δοκῇς* libri edd
22 *τοίνυν* om Re | ὃ] *οὐ Mos* 27 *ἂν* Ferr

τυχεῖν ἐπ' εὐνοίᾳ τῇ πρὸς τὸν δῆμον; ἀλλ' ἐὰν τὸν ἐν πένθει καθήμενον ἀναστήσας ἄγῃς εἰς ἐκκλησίαν ὡς ἀναρρήσει κοσμήσων, ἐκόλασας τῇ τιμῇ. καὶ τοὺς τυράννους διὰ τοῦτο δυσχεραίνομεν ὅτι πολλάκις τὸν περὶ ταῦτα συνταράττουσι θεσμόν. 30. πενθῶ δὴ καὶ αὐτὸς ἀδελφὸν ἐξεληλαμένον καὶ τὸν στέφανον ἀπάγει τῆς κεφαλῆς ἡ Τύχη. εἰ γὰρ τῶν ἑταίρων τις, οὓς ἡ κοινωνία τῶν ἀσκημάτων εἰς εὔνοιαν συνδεῖ, τοιούτῳ περιπεπτώκει κακῷ, μετρίως ἂν ὑμῖν ἐνέγκαι δοκῶ τὴν τοῦ γνωρίμου συμφορὰν ἢ προσελθεῖν τοῖς ἀριστείας καρποῖς ἐν ταῖς τῶν συνήθων κακοπραγίαις; ὑπὲρ οὗ δὲ νῦν ἱκέτευον, ἀδελφός ἐστιν, ὦ πάτερ. τοῦτο δίκαιον ἕν. συμφοιτητής. τουτὶ δεύτερον. αἰδούμενός με διὰ τέλους. τουτὶ τρίτον. οὐ γὰρ ἐρῶ θρασύν, ὦ πάτερ, ὃν ἔγνων ἐπιεικῆ. 31. τὸ μὲν οὖν ἄμεινον ἦν τοῦτον τῆς ἐμῆς μεταλαμβάνειν εὐπραξίας· ἐπεὶ δὲ ἀντέκρουσεν ὁ Φθόνος, δεύτερόν μοι κέρδος αὐτὸ τὸ τῶν τούτου μετασχεῖν | κακῶν. ἄλλα R IV 696
ἄλλος, ὦ δικασταί, τῶν ἠριστευκότων θαυμάζει τε καὶ λαβεῖν ἐπιθυμεῖ, ὁ μὲν αἰχμάλωτον ἐν ὥρᾳ οὖσαν, ὁ δὲ ἐξ αὐτῶν τῶν λαφύρων χρυσόν, ὁ δὲ κτήματα καὶ γεωργίας, ὁ δ' ἀφ' ὧν δόξα μᾶλλον ἢ κέρδος. ἐπεθύμουν καὶ αὐτὸς ἰδεῖν δι' ὑμῶν ἐν εἰρήνῃ τὸ γένος. ἔδοξα ληρεῖν, ἥττημαι λόγων. ἐπ' ἄλλην εἶμι δωρεὰν πρέπουσαν τῷ ἐκείνης ἡμαρτηκότι.

20 Il. α 111 sq.

4 διατοῦτο L 7 ἑτέρων (αι supra ε) L | τίς PAthMosB edd 9 ἡμῖν Mor 10 τῆς ante ἀριστείας Ath 13 συμφοιτητὰς L | αἰδού Mos 14 μοι B 15 οὖν om Mos 17 Φθόνος scripsi φθόνος libri edd cf. p. 615, 19 18 αὐτὸ τὸ om Ath | τοιούτων Ferr Mor sed in hoc γρ τούτου in marg 21 τῶν om Ath 22 ὅδ' libri edd 24 λέγων Ath | εἰμὶ LPMos

32. *Καὶ μηδεὶς οἰέσθω με τὴν ταλαιπωρίαν ἀγνοεῖν, ἣ τὸν ἐκπεσόντα τῆς οἰκίας δέχεται, τὸν λιμόν, τὴν ἀλουσίαν, τὴν ἀγρυπνίαν, ταπεινότητα, κατήφειαν, ἐσθημάτων ἀπορίαν, θρῆνον συνεχῆ. τούτων γὰρ ἐγγὺς ὁ διδάσκαλος καὶ πάντα ἀκριβῶς οἶδα τὰ τῶν εἰς ταῦτα ἡκόντων καὶ οὐδὲν δεῖ με παρὰ σοῦ μαθεῖν ὡς εἰς τὸ βάραθρον μετριώτερον ἐμπεσεῖν ἢ ταύτην ὑπομεῖναι τὴν τύχην. οἴκοθεν ἔχω τὸν παιδευτήν. εἰ δὲ ἠγνόουν τὰ τῆς ἐκβολῆς δεινὰ καὶ οὐ μᾶλλον ἑτέρου τὸ πρᾶγμα ἐξηπιστάμην, οὐκ ἂν πάντων τὸ μέγιστον ἐποιούμην ἀποδοῦναι τἀδελφῷ τὴν οἰκίαν.* 33. *σὺ δέ με ὡς ἐπ' ἀγαθόν τι τὴν ἀποκήρυξιν ἐπείγεσθαι νομίζεις, τὸ δὲ οὐχ οὕτως ἔχει. πόθεν; ἀλλ' οἶδα μὲν ἅπαν τὸ δεινόν, ἐπιθυμῶ δὲ ὅμως τῆς συμφορᾶς. καί μοι δότε τὴν χάριν ταύτην, ἐπειδὴ τὴν προτέραν ἐκωλύθητε. ὁρᾶτε, ὦ δικασταί, τοὺς ἐπὶ τοῖς μεγίστοις ἀτυχήμασι ζῆν οὐκ ἀξιοῦντας. οὗτοι μὲν τὸν θάνατον ὡς ἐστὶ δεινὸν οὐκ ἀγνοοῦσιν, εἰσὶ γὰρ τῶν ὑπὲρ σωτηρίας εὐξαμένων πολλάκις, ὅμως δὲ ὀρέγονται τελευτᾶν καὶ τὸν μὲν ἐναντιούμενον ἐχθρόν, τὸν δὲ ἐντιθέντα τὸ ξίφος εὐεργέτην ἡγοῦνται. ταῖς γὰρ τῶν δεομένων ὁτουοῦν ἐπιθυμίαις ὁ συμπράττων φίλος.* 34. *καὶ νῦν ἐγὼ τῇ μὲν λύπῃ πρὸς τὴν τῶν ἀτόπων ἐπιθυμίαν ἥκω, τοῖς δὲ ἐνταῦθα βοηθοῦσιν ἀείμνηστον εἴσομαι τὴν χάριν. εἰ δέ τις ὕστερον ἐπὶ τὸ γέρας ἀφίκοιτο μέμψις, ἐμὸν τοῦτο ἔστω τοῦ βουληθέντος λαβεῖν, ἀλλ'*
R IV 697 *οὐ τῶν δεδωκότων, οἳ τὴν ἡδονὴν τοῦ τὴν | δωρεὰν αἰτοῦντος ἐθεράπευσαν πλέον ἢ τὴν ζημίαν ἐσκό-*

---

1 *με* scripsi ex *AthMosB* ut coni Re *μοι LP* edd | *τὴν* inserui auctore Re om libri edd 10 *τὸ* om *B* 11 *οὐ B* 17 *ἔστι* libri edd

πησαν. 35. ἤδη τινὰς εἶδον ἐπ' ἀρρωστήμασιν ἀδελφῶν ἑκόντας ἑαυτοὺς ἀποκλείσαντας σιτίων καὶ καθ' ὅσον ἐξῆν κοινωνήσαντας τῶν δυσχερῶν καὶ δόξαν ἀπὸ τούτου τὴν βελτίστην λαβόντας, μᾶλλον δέ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὴν χείρω διαφυγόντας. ὁ γὰρ εἰς τὸ γένος μὴ χρηστὸς τίς ἂν εἴη περὶ τὸν δῆμον καὶ τὴν πόλιν; τοῦτό μοι καὶ νῦν ἡ δωρεὰ βούλεται δεῖξαι πᾶσιν ἀνθρώποις ὡς οὐκ ἀμελῶ χρηστὸς ὢν οὐδὲ φοβεῖν ἔμαθον πολεμίους μόνον, ἀλλὰ καὶ συναλγεῖν ἀδελφοῖς ἠτυχηκόσιν. 36. εἰ τοίνυν καὶ λῃσταὶ κεκρατηκότες ἡμῶν τὸν μὲν ἐν πέδαις εἶχον, ἐμὲ δὲ ἐποιοῦντο σύσσιτον, καὶ τὸν μὲν ἐπίεζον, ἐμοὶ δὲ παρεῖχον τρυφᾶν, καὶ τῷ μὲν πᾶσαν ἀηδίαν προσῆγον, ἐμοὶ δὲ ἅπασαν ἡδονὴν ἐπόριζον, ἐδεήθην ἂν αὐτῶν μή με τιμωρεῖσθαι τοῖς τερπνοῖς μηδὲ ἐν τῷ θεραπεύειν ἀνιᾶν, ἀλλ' εἰ κἀκεῖνον λυποῦσι, καὶ ἐμὲ δῆσαι καὶ δοῦναι δωρεὰν τὴν κοινωνίαν τῶν ἀλγεινῶν. 37. καὶ νῦν, ὦ πάτερ, τὰς αὐτὰς ἀφίημι πρὸς σὲ φωνάς· ἐκβέβληκας τὸν ἀδελφόν, ἐμὲ δὲ οὔπω. δέδωκας ἐκεῖνον πενίᾳ, διάγω δὲ ἐγὼ ἐν ἀφθόνοις. εἴ σοι τὰ πρὸς ἐκεῖνον ἄσπονδα, ἐπάφες κἀμὲ τῷ πολέμῳ. μὴ κωλύσῃς τὸν δῆμον δοῦναι δωρεὰν δι' ἧς ἐπιδειχθήσομαι τιμῶν τὴν φύσιν.

38. Ἀλλὰ πονηρός φησιν ἐκεῖνος ἐγένετο καὶ ταῦτα παθεῖν ἄξιος. ἐγὼ δέ, εἰ μὲν ἐπιληψόμενος τῆς ἐκβολῆς ἀνέστην καὶ τοιούτοις ἐχρώμην λόγοις· ἄνδρες πολῖται, συκοφαντία μοι τὸν ἀδελφὸν

20 cf. p. 601, 20

2 *καθόσον Ath* 6 *μοι B* 10 *εἴ τοι Ath* 14 *μή με P* sed *με* in ras m² *μήτε L* Ferr 15 *μὴ δὲ LP* Ferr 16 *λυποῦντα Ath* 17 *κοινωνίαν P* sed *αν* in ras m² 25 *εἰ*] *οὐ Ath* 27 *πολίται* libri edd

ἀπολώλεκε. δίκην δέδωκεν ὧν οὐκ ἠδίκηκεν. ὀξύθυμός ἐστιν ὁ πατήρ. ἀναμαρτήτους ἀξιοῖ τοὺς υἱεῖς εἶναι, πρᾶγμα ἀμήχανον. καὶ κραυγὴ καὶ θόρυβος ἐπεσκότισε τοῖς δικαίοις. δυστυχὴς μὲν ὁ νεανίσκος, πονηρὸς δὲ οὐδαμῶς, ὅλως εἰ πρὸς ἀπολογίαν ἔτεινεν ἡ παροῦσά μοι σπουδή, καὶ τότε τὸ κατηγορεῖν οὐκ ἂν ἦν ἔξω καιροῦ· εἰ δὲ τὰς μὲν αἰτίας ἐῶ μένειν, τὸ δὲ μετ' ἐκείνου πράττειν κακῶς ἥδιον τίθεμαι τοῦ μὴ μόνος ἀπολαύειν τῶν ἀγαθῶν, τίς ἔτι χρεία τῶν ἐγκλημάτων; 39. ἔδειξας, ὦ πάτερ, τὴν πονηρίαν. ἔπεισας δῆμον φιλάνθρωπον R IV 698 ἀτιμάσαι τὸν Ἔλεον. οὐχ οὕτως | ἐγὼ ἀνόητος ὡς ἀπολογίαν ἔτι ζητεῖν τῆς τοσαύτης ἀρτίως κατεγνωσμένης. τί γὰρ οὐκ εἶπον ὧν ἐνῆν; οὐχ ὡς ἡ νεότης ῥᾷστον ὑπαχθῆναι καὶ ἁμαρτεῖν τοὺς τῷ χρόνῳ μὴ κτωμένους τὴν σύνεσιν; οὐχ ὡς τὸ μηδὲν πλημμελεῖν ἐν τοῖς θεοῖς ὥρισται; οὐκ εἶπον ἃ παρ' ὑμῶν ἀκήκοα πολλάκις, ὅτι τοῦ νόμου φόβος ἐστὶ τὸ βούλημα καὶ τοὺς νέους δεδοικέναι μὲν ἀξιοῖ τὴν ἐκβολὴν ἐπὶ τῷ σωφρονεῖν, ἀπελαύνεσθαι δὲ οὐκ ἔστι καὶ περινοστεῖν ἀοίκους οὔσης οἰκίας ἐφ' ἁμαρτήμασι φαύλοις; εἰ γὰρ δὴ μεγάλα, τί οὐκ ἀπέκτεινε; 40. καὶ μὴν καὶ τὸν πατέρα ἠρόμην εἰ τὴν νεότητα ἀναμαρτήτως πεπόρευται, οὐκ ἔχοντος δὲ εἰπεῖν ἠξίουν τὸν αὐτοῦ

4 *ἐπεσκότησε Ath* *ἐπεσκότιξε* (σ suprascr) *L* 6 comma post *σπουδή* posui, post *κατηγορεῖν* quod habent libri edd delevi 7 *καὶ* om *B* | *τὸ* om *Mos* 9 *μὴ* om *B* 12 *Ἔλεον* scripsi *ἔλεον* libri edd cf. p. 631, 23 13 „*fort. τῆς τοσούτοις*" Re 14 *οὐχ ὡς* scripsi coll l. 16 ut coni Re *ὡς οὐχ* (*οὐχὶ Ath*) libri edd | *ἡ* om *Ath* 16 *πλημελεῖν LP* Ferr 20 *οὐκ ἔστι* scripsi *οὐκ ἔτι LPB* Ferr *οὐκέτι AthMos* Mor Re 22 *εἰ*] „*malim ἐπὶ*" Re | *μεγάλα* scripsi *μεγάλης LP* Ferr et *γρ* in marg Mor *μεγάλοις AthMosB* Mor Re 23 *εἰς L* Ferr | *ἀναμάρτητος Ath Mos* sed in hoc *τήτως* suprascr 24 *αὑτοῦ* libri edd

πατέρα εἰς ἡμᾶς μιμεῖσθαι, λέγων δὲ ταῦτα ἐρραψῴδουν ὀνόματι πατρὸς κατακλυζόμενος. 41. *τί οὖν φημι; δεῖν μήτ' ἐμοὶ συγχωρεῖν ἀπολογίας μεμνῆσθαι τῷ γε ἡττημένῳ μήτε τούτῳ βλασφημίας τῷ νενικηκότι. πέπαυται γὰρ ἀμφοῖν ἡ χρεία τῇ χειροτονίᾳ καὶ τῷ βούλεσθαί με νῦν ἐκπεσεῖν τὸ πεπονηρεῦσθαι τὸν ἀδελφὸν οὐδὲν κοινωνεῖ.*

42. *Καὶ μὴν ὅσῳπερ ἂν ἐκεῖνον τῷ λόγῳ κατασκευάζῃ μιαρόν, τοσούτῳ προνοητέον αὐτῷ τῆς ἐμῆς ἀρετῆς, ὅπως μὴ παντελῶς δυστυχὴς ᾖ πατήρ, ἀλλὰ τὸν μὲν πονηρόν, τὸν δὲ οὐ τοιοῦτον ἔχῃ. ἂν μὲν τοίνυν ἐκπέσω καὶ λάβῃ με κοινωνὸν ἑκόντα τῆς ταλαιπωρίας ἀδελφός, χρηστός, δίκαιος, τὴν φύσιν αἰδούμενος, πάνθ' ὅσα κάλλιστα ἀκούσομαι καὶ δι' ἐμοῦ σὺ ζηλωτὸς ὁ γονεύς· ἂν δέ, ὃ μὴ γένοιτο μηδὲ ἔστω, τὸ κατ' ἐμαυτὸν προελόμενος ὑπερβῶ τὸ ἐκείνου, πονηρός, ὠμός, ἀσεβής, οὐ θεοὺς εἰδώς, οὐ νέμεσιν, πάντα τὰ χείριστα ἀκούσομαι καὶ δι' ἐμοῦ πάλιν ἐν ὀνείδεσιν ὁ πατήρ.* 43. *μὴ τοίνυν ἀνάσχῃ | διπλῆν ὀδύνην* R IV 699 *ἐπὶ σὲ βαδίζουσαν, ἀλλὰ ἀποκήρυξιν ἀποκηρύξει παραμύθησαι τῇ παρούσῃ τὴν προτέραν, τῇ παρ' ἐμοῦ τὴν παρὰ σοῦ. ἡ μὲν γὰρ σημεῖον ἦν πονηρίας σοῦ παιδός, ἡ δὲ καλοκαγαθίας σοῦ παιδός.* 44. *μετριώτερον*

1 cf. ad t. II 113, 2

5 *ἀμφοῖν* om *B* 8 *κατασκευάζῃ* reposui e libris *κατασκευάζει* Ferr Mor *κατασκευάζειν* Re 9 *τοσοῦτον Ath*

15 *ζηλωτὴσ Ath* | *μὴ δὲ LP* Ferr *μὴ* (supra: *οὐ*) *δὲ Ath* | *ἔσται Ath*
16 *προελόμενος* scripsi auctore Iacobsio Lect *προειδόμενος* libri edd sed „*malim προϊδόμενος*" Re | *τὸ 'κείνου Ath* 17 *τὰ* om *Ath* 20 *ἐπὶ σὲ* scripsi auctore Re *ἐπὶ σοὶ LPMosB* edd *ἐπιπεσεῖν Ath*

δεῖ σε νομίσαι τὰ περὶ τοὺς υἱεῖς ἐξ ἡμισείας ἀσχημονεῖν ἢ τελέως ὄψει μεστὴν αὐτίκα τὴν πόλιν τοιούτων ῥημάτων· πάνυ γε. οὐ γὰρ πάντα ἀγαθὸς ἀριστεύς, ὃς τοὺς μὲν πολεμίους τῆς χώρας ἐξέβαλε, τὸν δὲ ἀδελφὸν οὐκ ἐπανήγαγεν οἴκαδε. εὐτυχίαν ἥρπασεν ἐν τοῖς ὅπλοις, οὐκ ἀρετὴν ἐπεδείξατο. εἰ δὲ ἀρετὴν ἤσκει, πάντως ἂν ἐπέθηκε τῷ τροπαίῳ τὴν περὶ τὸ γένος ἐπανόρθωσιν.

45. Ἡ δὲ αἴτησις, ὦ πάτερ, καὶ τὸ ἡττᾶσθαι δοκεῖν μικρὸν ἔχει τὸν ψόγον; ῥάδιον γὰρ εὑρεῖν καὶ κατ' ἐκείνης λόγον· πλάσμα ἦν ἡ δωρεὰ καὶ τέχνη, ῥήματα φιλάνθρωπα, γνώμη δὲ οὐ τοιαύτη. σχῆμα εὐπρεπές, οὐκ ἀληθείας ἔργον. ἐξεχλεύασε τὸν ταλαίπωρον ἀδελφόν, ἀλλ' οὐκ ἐξείλετο τῶν κακῶν. ἤνεγκεν αὐτῷ τὴν δυστυχίαν εἰς μέσον, ἀνελεῖν δὲ οὐκ ἐζήτησεν. ἀφωσιώσατο πρὸς τοὺς πολλούς, εἰρωνεύσατο, πράττει δὲ ὅπως ἀθάνατον ἑστήξει τὸ μῖσος. οὐ γὰρ αὐτὸς καὶ τὰ πρῶτα συνεσκεύασεν; οὐ γὰρ ἐκ τῆς τούτου κακοηθείας ὁ ἀδελφὸς ἐλήλαται καὶ διαβολαῖς ἡ φύσις ἠδίκηται; 46. εἰ δὲ ἄλλοθέν ποθεν ταῦτα προσεπεπτώκει καὶ οὐκ ἠρέσκετο τῇ συμφορᾷ, ταχέως ἂν ἔλυσε τὸ δεινὸν ἱκε-

1 cf. p. 535, 5; t. VI 477, 13. Aristid. in reg. I p. 108, 3. Dind. (t. II 260, 12 Keil.); Chor. tyrann. p. 69, 19 Boiss. 14 Poll. VI 199. Hesych. s. v. ἐκγελιώσαιμι 17 cf. t. IV 239, 21

1 νομίσαι om *Ath* 5 οἴκαδε οὐκ ἐπανήγαγεν *Ath* 6 γὰρ post εὐτυχίαν *L* edd delevi 11 ῥάδιον γὰρ *Mor* sed γρ ἢ ῥάδιον in marg 16 τὴν] τε *L* Ferr 19 ὅπερ^{ως} *L* 23 συνεπεπτώκει *B* | ἤρεσκε *Ath*

τείαις, ἀντιβολίαις, δεήσεσεν, ὀδυρμοῖς, δάκρυσιν, ἀεὶ παρών, συνών, συνδιαιτώμενος. μέγα δ' ἂν ἴσχυσε πρὸς διαλλαγὰς καὶ τὸ παρὰ πότον στενάξαντα ἀνακαλέσαι τὸν ἀδελφόν. ἀλλ' οὐκ ἐποίησε τούτων οὐδὲν ἢ πάντως ἂν μετεστήσατο τὸν γονέα τῆς ὀργῆς. οὐ γὰρ δὴ τῶν θηρίων ἀγριώτερος ἂν ἦν οὐδὲ πλέον τὸν υἱὸν ἢ τοὺς πολεμίους μισῶν, οἷς πολλάκις μεθ' ἡμῶν ἐσπείσατο σὺν ὅπλοις ἐπελθοῦσιν, Ἦλιε, καὶ πολὺ τῶν πολιτῶν ἀναλωκόσι καὶ σπεύδουσι κατασκάψαι τὴν | πόλιν. 47. *τοῦτο* R IV 700 *γὰρ ἀνθρώπινον καὶ ἀσφαλὲς τὸ μηδαμοῦ τὸ μέτρον ἐκβαίνειν. κεκράτηκας πολεμίων. σπεῖσαι. παῖδα ἐσωφρόνισας ἐκβαλών. ἀναλάμβανε. ὁ δὲ σεμνὸς ἀριστεὺς τῇ μὲν αἰτήσει χρηστὸς ὤφθη, τῷ δ' ἀτυχήσας μὴ χαλεπῆναι φαῦλος καὶ τὸν ἐφ' οἷς ἐπήγγειλεν ἔπαινον οἷς οὐ πείσας πρᾴως ἤνεγκεν ἐξήλειψεν.* 48. *ἀλλὰ τί ἐχρῆν ποιεῖν; φυγεῖν οὕτως ἀνελεῆ πατέρα, μισῆσαι πικρίαν ἄπαυστον, μετατάξασθαι πρὸς τὸν ἀτυχοῦντα ἀδελφόν, ἡδίω νομίσαι τὴν μετὰ τούτου πενίαν τῆς τοῦ πατρὸς περιουσίας.*

49. *Ἵνα δὴ μὴ τοιαύταις ὑποψίαις ἐνέχωμαι, κατ' ἐμαυτοῦ γράφω τὴν ἐκβολήν. κερδανεῖς δὲ καὶ αὐτός, ὦ πάτερ, ἐν τῷ τὸν γράφοντα ἐμὲ ταῦτα εἶναι. τίνα*

---

1 *ἀντιβολαῖς Ath* 9 *ἡμῶν* scripsi e libris *ὑμῶν* edd | *ἤδη* coni Mor *νὴ Δία* Iacobs Add 119 Lect at cf. ad p. 693, 7 *ἡμετέραν* praetulerim 10 *πολλοὺς B* | *ἀνηλωκόσι AthB* 12 *τὸ*(2) del *P*[2] 16 *ἀτυχήσας* scripsi e *B* *ἀτυχήσαντι LP AthMos* edd sed „*fort. ἀτυχήσαντα*" Re 17 *ἐπήγγελλεν LP Mos* Ferr | *οὐ* om *Ath* 20 *ἄψαυστον B* 21 *ἡδίων B* 24 *δὲ* om *B*

τρόπον ἐγώ σε λελύπηκα μὴ μισῶν τὸν ἀδελφὸν καὶ δίκην ὀφείλων σοι τῆς πρὸς ἐκεῖνον εὐνοίας; 50. ἤδη καὶ τοὺς ἐκπολεμώσαντάς σε πρὸς ἐκεῖνον ἔτι καὶ νῦν ὁρῶ παρὰ σοὶ δυναμένους. οἶδα τοίνυν ὡς οὗτοι τὴν αὐτὴν προσοίσουσι μηχανὴν καὶ τοσούτῳ ῥᾷον παράξουσιν, ὅσῳ συνείθικας εὐχερῶς ἀποκηρύττειν καὶ τολμᾶν ἐν δικαστηρίῳ βοᾶν· ἀλλότριον ὃν γεγέννηκα ποιοῦμαι. οὐκ ἀνθέξεις τοῖς σοφισταῖς τούτοις, ὦ πάτερ, οὐδ' ἂν σφόδρα ἐθέλῃς τὴν ἀριστείαν αἰδεῖσθαι. 51. βούλει σοι προείπω καὶ τὰ ῥήματα τῶν γοήτων; ἐχθρὸν ἔνδον ἔχων οὐκ ᾔδεις. ἐπὶ σαυτῷ τὸν παῖδα ἔτρεφες. πατραλοίας ἡμῖν ὁ γενναῖος. ταῖν χεροῖν οὐχ ἥψατο, ῥήμασι δὲ ἐρείδων οὐκ ἀνῆκε. πρᾳότερος ἐθέλει τῶν γερόντων εἶναι δοκεῖν. πορευέσθω παρ' ἐκεῖνον ὃν περὶ πλείονος ποιεῖται. δότω δίκην τῆς ὕβρεως. δεῖξον ὡς χαλεπαίνεις, ὡς οὐκ εἰκότα ἀκήκοας. 52. τοιούτοις οἰχήσονται εὐθύς <σε>, οἶδα, λαβόντες τοῖς ψεύδεσι καὶ οὐδὲν ἐμποδιεῖ τὸ τρόπαιον, ὁ κρότος, τὸ τῆς
R IV 701 ἀριστείας ἀξίωμα τὸ ἐκ τῶν | τοιούτων ἔργων κρείττω αὐτῆς τῆς ἀποκηρύξεως τοῖς νόμοις εἶναι, καὶ

2 *ὀφείλειν με σοὶ Ath* | *ἤδη* om *Ath* „*malim οὐχὶ nonne?*" Re 3 *σε* om *Ath* *σοι B* 5 *ταράξουσιν* Ferr et *γρ* in marg Mor 7 *ἀλλότριος* Mor Re 13 *τοῖν Ath* Mor | *ἐρείδων* scripsi e *P* sed *ι* supra *εί*, *B* coll Arist. eq. 627 cum Iacobsio Anth. Pal. III 54 Lect *ἐρίδων LAthMos* edd sed „*num ἐρεθίζων an ἐρεσχελῶν?*" Re 14 *πραότερος L* Ferr 17 *χαλεπαίνεις, ὡς* om Ferr | *εἰκότα* scripsi ut coni Mor *εἰδότα* (*ἠδότα L*) libri edd | *τοιούτοις P* sed *γρ τούτοις* suprascr, *Mos* Mor sed *γρ τούτοις* in utroque in marg *τούτοις B* 18 *οἰχήσονται* scripsi e *PAthB* *ἠχήσονται LMos* edd sed *σε κατηχήσονται* coni Re | *σε* inserui om libri edd | *ψευδέσι L* 19 *κρότος* scripsi coll p 638,6; 618,22 *φόνος* libri edd sed <*τῶν πολεμίων*> *ὁ φόνος* coni Re 20 *τῶν* ante *ἐκ Ath* 21 *αὐτῆς τῆς* scripsi *τῆς αὐτῆς* libri edd sed *τῆς σεμνῆς* (aut *καλῆς*) coni Re

γὰρ τοιοῦτόν τι πέπυσμαι, ὀργὴ γάρ, ἡνίκα ἂν ὑπερζέσῃ, τὸν λογισμὸν παρώσασα φέρεται ᾗ ἂν τύχῃ.

53. Σκόπει τοίνυν ὅπως σε φιλῶ καὶ ταῦτα λυποῦντα. παρέχω σοι τιμωρίαν πράξασθαι διαφεύγοντα τὴν αἰσχύνην. τὸ γὰρ ἐκπεσεῖν με τῆς οἰκίας τοῖς ἐμαυτοῦ λόγοις ἐν μὲν τῷ μὴ μετέχειν τῶν πατρῴων κολάζει, ἐν δὲ τῷ σοῦ σιγῶντος τυχεῖν ἄνευ αἰτίας ὧν ἐπιθυμεῖς δίδωσι. 54. φέρε, εἴ με ἐβούλου καταποντίσαι, φθάσας δὲ αὐτὸς ἐμαυτὸν ἐνέβαλον εἰς τὴν θάλασσαν, οὐκ ἄν σε εὐηργέτουν ἀποπνιγείς τε καὶ σὲ τοῦ μύσους ἀπαλλάξας; εἰ δὲ ἥδιστ' ἂν ἀπέκτεινας ξίφει, τοῦτο δὲ αὐτὸς αἰσθόμενος εἰς ἐμαυτὸν ὦσα τὸ σιδήριον σοῦ διαμέλλοντος, οὐκ ἂν ἦν σοι κεχαρισμένος τεθνεώς τε καὶ σὲ διατηρήσας καθαρὸν τοῦ φόνου; 55. ἀπὸ τῆς αὐτῆς καὶ νῦν γνώμης ἀποκηρύττεσθαι βούλομαι. ἐλθέτω μανίας ἐπ' ἐμὲ μᾶλλον ἔγκλημα ἢ τὸν πατέρα ἀσεβείας· εἰπάτω τις ὡς ὁ νεανίσκος παραπαίει μᾶλλον ἢ ὁ πρεσβύτης παραφρονεῖ. λάβε δίκην, ὦ πάτερ, λάβε μεγάλων ἁμαρτημάτων. ἐμνημόνευσα πρὸς σὲ φιλανθρωπίας, ἐμνημόνευσα προσηγορίας ἀδελφοῦ, ἐμεμψάμην ὀργήν, ἐπῄνεσα συγγνώμην. ἦν που τῆς δημηγορίας καὶ τὸ τῶν διαλλαγῶν ὄνομα καὶ τὸν Ἔλεον προσεῖπον. ὀφείλω δίκην ἐπιεικῶν ῥημάτων. ἀποκήρυξον, ἔκβαλε, μὴ μεταβάλῃς τοὺς τρόπους.

1 cf. t. II 129, 9

2 ᾗ *LP* | τύχοι *Ath* 4 διαφεύγουσαν *B* 6 μὲν om *Ath* 7 σοῦ scripsi auctore Re τοῦ libri edd 10 ἀποπνιγείς τε in marg *Ath* 15 νῦν om Ferr 23 Ἔλεον scripsi ἔλεον libri edd cf. p. 626, 12 24 μεταβάλῃ Ferr

56. *Ἀλλ' ἀσύμφορον, νὴ Δία, τὸν ἀριστέα διάγειν ἐν λύπῃ καὶ διὰ τοῦτο τῆς περὶ τὸν πόλεμον ἀμελεῖν μελέτης καὶ τοῖς ἐχθροῖς παρασκευάζειν ἡδονήν. δῆλον γὰρ ὡς τὰ τούτου δυσχερῆ τοῖς ἐναντίοις ἑορτή. τί φῄς; δέδοικας μὴ πεσὼν εἰς λύπην ἀμελήσω τῶν ὅπλων; νῦν γὰρ ἐν εὐφροσύνῃ μοι τὰ πράγματα καὶ ᾠδαῖς καὶ γέλωτι; τεκμαίρου τὴν ἀθυμίαν, ἄνθρωπε, τῷ προσώπῳ. ταύτῃ συζῶ, διὰ ταύτην ἀπόλωλα. λύπη μοι σύμπας ὁ βίος.* R IV 702 57. *ἂν εἰς τὴν ἀγορὰν | ἐμβάλω, τοῖς γνωρίμοις ὑπὲρ τούτου λαλῶν δακρύω. ἂν οἴκαδε εἰσέλθω, τὸ πλήρωμα ὁρῶν ἠκρωτηριασμένον πενθῶ. ἂν εἰς παλαίστραν ἀφίκωμαι, τὸν ἀδελφὸν ὁρῶν ἀπερριμμένον ὀδύρομαι. ἅπας καιρὸς καὶ τόπος ἀφορμὴ δακρύων, οἰκία, στενωποί, γυμνάσια, σύλλογοι, τράπεζα, ὕπνος. ἤδη γὰρ κἀν τοῖς ὀνείρασιν ἔνδον μὲν ἔχειν αὐτὸν δοκῶν ὑφ' ἡδονῆς ἐκπηδῶ, μανθάνων δὲ τὴν ἀπάτην ἐν ὀδυρμοῖς ἀναμένω τὴν ἡμέραν. μάρτυρα δὲ ἔχω τῶν πολλῶν δακρύων τὸν ἐπ' αὐτοῖς πολλάκις ἀγανακτήσαντα τοῦτον αὐτὸν τὸν πατέρα.* 58. *ὥσθ' ὑπὲρ οὗ τὴν ἀποκήρυξιν δέδοικας μή με εἰς ἀθυμίαν καταστήσας χείρω ποιήσῃς, τοῦτο καὶ νῦν ἐνοχλεῖ. καὶ γὰρ ἐφ' αἷς μόναις εἶχον ἐλπίσιν ὡς λύσων τἀδελφῷ τὴν συμφορὰν μάταιοι πεφήνασι καὶ οὐκ ἴσχυσεν ἀριστεία νικῆσαι τὴν ἀποκήρυξιν.* 59. *εἶτ' ἐμοὶ τοῦ λοιποῦ τί τερπνόν; οἴει γὰρ ἐν πλήθει σιτίων καὶ μαλακῇ στρω-*

2 *διατοῦτο LP* 5 *φής* libri edd 7 signum interrogationis posui e *L* punctum reliqui libri edd 10 *τὴν* in marg P^2 17 *μανθάνων* scripsi ex *AthB* *μανθάνω LPMos* edd 19 *ἐπαυτοῖς L* 20 *τὸν* om *Ath* 23 *ἀναλύσων Ath* 24 *πεφήνασι* libri edd 25 *τί τοῦ λοιποῦ Ath* | *τουλοιποῦ LP*

μνῇ καὶ σκεύεσι λαμπροῖς εἶναι τὴν εὐθυμίαν; τὸ δὲ οὐχὶ τοιούτως ἔχει. πόθεν; ἀλλ' ἐκείνης μὲν ἡγουμένης ἔν τισι καὶ τούτων χάρις, λύπην δὲ ἰσχυρὰν οὐ κουφίζει τράπεζα πολυτελής, ἀλλ' αὐτὸ τοὐναντίον, τοῖς φαυλοτέροις οἱ πενθοῦντες χαίρουσι, κἂν εἰς τρυφὴν ἄγῃς, προσεπέτριψας. 60. μὴ οὖν οἴου μοι τὸν οἶκον τοῦ πατρὸς ἱκανὴν παράκλησιν εἰς ἄσκησιν ἔσεσθαι τοσαύτην βεβλημένῳ καὶ ἐπίρρωσιν τῆς ῥώμης ἐκείνης, ⟨ἀλλὰ⟩ κατάλυσιν. ἆρ' ἂν πείσαιμί λέγων ὡς ῥᾴων ἔσομαι τῆς οἰκίας ἐκπεσὼν ἢ μένων; νῦν μέν γε κίνδυνον ἔχει μοι τὸ συγγενέσθαι τἀδελφῷ καὶ δεξιὰν ἐμβαλεῖν καὶ ἐλθεῖν εἰς λόγους. καὶ ὥσπερ οἱ τὰ δεινότατα δρῶντες | ἐν τῷ λαθεῖν ἔχουσι τὴν ἀσφάλειαν R IV 703
οὕτω καὶ ἡμεῖς μόλις καὶ λάθρα τοῦτο τολμῶμεν. 61. πολλοὶ δὲ οἱ κατάσκοποι, συμπόται, κόλακες, οἰκέται καὶ θέουσιν εὐθὺς παρὰ τοῦτον καὶ παροξύνουσιν ἐν οἷς ζημιοῦσι χαριζόμενοι. καὶ τὸ δεῖπνον ἡμῖν ἐντεῦθεν ἐγκλήματα καὶ γραφαὶ καὶ μετὰ ἀπειλῶν ἡ θοίνη. πάλιν ἕτερος ἐκείνους εὐδοκιμοῦντας ἰδὼν φυλάττει καὶ πονεῖ περὶ τὴν θήραν καὶ πολλάκις ἅ τ' εἶδεν ἅ τ' οὐκ εἶδεν ἀπήγγειλεν. ὁ δὲ πατὴρ ἄλ-

---

1 *ἀθυμίαν Ath* 2 *οὐχὶ τοιούτως* scripsi auctore Iacobsio App Pors Adv 284 *οὐχ ἧττον οὕτως LPAthMos* edd *οὐχ οὕτως B* 3 *τούτω Ath* 6 *οἶνον AthMosB* Mor sed in hoc *γρ οἶκον* in marg et „*non omnino improbo alteram lect. οἶκον*" Not f. VII 3 7 *ἄσκησιν P* sed *γρ ἄκεσιν* in marg *ἄκεσιν* Mor sed *ἴσ. οἴκησιν* in marg 8 „*fort. τοσαύτῃ λύπῃ βεβλημένῳ* (vel *συμφορᾷ*) *οὐκ ἐπίρρωσις τῆς ῥώμης ἐκεῖνος, ἀλλὰ κατάλυσις*" Re | *καὶ ἐπίρρωσιν* scripsi *ἐπίρρωσιν LPAthMos* edd *καὶ* praevia lac 9 litt *B* | *τῆς ῥώμης ἐκείνης P* sed *τὴν ῥώμην ἐκείνη* in marg | *ῥώμης* Mor sed *γρ ῥύμης* in marg 9 *ἀλλὰ* inserui om libri edd 12 *ἐς B* 21 *ἄλλο^ω^ς L*

λως μὲν ἡμῖν οὐ πονηρός, ἀπιστεῖν δὲ οὐκ οἶδεν. ὅστις οὖν δέδοικε τὴν ἐσομένην λύπην ὡς βλάβην ἐσομένην εἰς τὸν πόλεμον τῇ πόλει, σκοπείτω καὶ τὴν παροῦσαν καὶ τάχα εὑρήσει μείζω. 62. ἀλλὰ δεινὸν εὐφρᾶναι τοὺς πολεμίους. τὸ γὰρ νῦν πεπραγμένον οὐχ ἱκανὸν εὐφρᾶναι; ἐκκλησίας ἀναστάσης οἱ πολλοὶ δραμοῦνται παρ' ἐκείνους ἀγγέλλοντες τὴν ἐμὴν ἀτιμίαν. οὐ γὰρ οἴεσθε τὰ ἱερὰ ἀνοίξειν αὐτοὺς καὶ θύσειν ὡς ἐπὶ τροπαίοις καὶ τὴν ἐπὶ τοῖς πεπτωκόσι λύπην κουφιεῖν οἷς περὶ τὴν αἴτησιν ὕβρισμαι; 63. τί γὰρ ἂν καὶ μεῖζον ζητοῖεν; ἄνθρωπος τὸ θράσος ἐκείνοις μεταστήσας εἰς φόβον καὶ πεπονθότας δείξας ἃ δράσειν ἠπείλουν καὶ τοὺς μὲν ἀποσφάξας, τοὺς δὲ δειλοὺς ἀποφήνας καὶ τὴν τῶν ἀλλοτρίων ἐπιθυμίαν εἰς τὴν ὑπὲρ τῶν οἰκείων εὐλάβειαν μεταθεὶς καὶ τοὺς μὲν παίδων, τοὺς δὲ γονέων, πολλὰς δὲ ἀνδρῶν στερήσας, ἄνθρωπος τοῖς ἀπ' ἐκείνων λαφύροις κοσμήσας τὸ ἄστυ καὶ τοὺς προσιόντας κινδύνους ἀπωσάμενος καὶ διατηρήσας ἱερά, ὅσια, χρήματα, σώματα, τοὺς τάφους, τὴν πόλιν, τὴν χώραν, καὶ δοὺς ἀντὶ τοῦ τρέμειν παιανίζειν καὶ στεφανοῦσθαι καὶ πρῶτος ἐμπεσὼν εἰς μέσους ὁπλίτας καὶ τῆς σωτηρίας ὀλιγωρήσας καὶ τῆς τιμωρίας ἐπιθυμήσας οὗτος ὁ τοσούτων ἀγαθῶν αἴτιος εἰς δωρεὰν ὑπὸ τοῦ δήμου κεκλημένος αἰτήσας

---

1 *οἶδεν* scripsi e *LPAthB* *εἶδεν Mos* edd 2 *δέδωκε* (οι supra ω) *L* 4 *μεῖζον Ath* 5 et 6 *εὐφράναι* libri edd 6 *ἀναστάσης* scripsi e *PAthB* ut coni Re *ἀναστάσις L* sed *η* supra *ι*, *Mos* Mor sed *ἀνάστασις* Not f. VII 3, Re *ἀναστὰς*; Ferr 17 *ἀπεκείνων L* 19 *τοὺς* inserui ex *AthMosB* om *LP* edd 21 *πρῶτος ἐμπεσὼν* scripsi auctore Iacobsio Add 268 App Pors 329 Lect *προσεμπεσὼν* libri edd sed *προεμπεσὼν* coni Re 22 *τῆς* om *B*

οὐχ αὐτῷ περιουσίαν οὐδ' ἃ πολλάκις | τοὺς μὲν R IV 704 *λαβόντας ὤνησε, τοὺς δὲ δόντας ἐλύπησεν, ἀλλ' ἀξιώσας εἰς τὸ γέρας υἱεῖ πατέρα συναλλάξαι αἰσχρῶς καὶ ἀτίμως ἐπεστομίσθη καὶ μονονοὺ πατραλοίας ἔδοξε καὶ δίκην ὀφείλειν τοῖς νόμοις.* 64. *μικρά γε, οὐ γάρ; εἰς ἡδονὴν ταῦτα τοῖς ἐναντίοις ἢ πάλιν ἐλπίδας οὐκ ἂν ἐμποιήσοντα; μὴ τοίνυν ἃ δεδώκατε ἐκείνοις ἤδη, ταῦτα ὅπως μὴ δώσετε ζητεῖτε μηδ' οὓς ἐψηφίσασθε παραμυθήσασθαι, τούτοις φθονεῖτε τῆς ἐσομένης ἡδονῆς, ἀλλὰ δότε, ὦ ἄνδρες, δότε μοι τὴν δευτέραν χάριν, ἐπειδὴ τὴν προτέραν μείζω τῆς ἀριστείας εὑρήκατε. ἐκβάλετε τῆς πατρῴας οἰκίας, ἐπειδὴ τὸν ἀδελφὸν ἐπανάγειν οὐκ ἔσχετε.* 65. *τί κατοκνεῖτε; μὴ γὰρ λαβεῖν τι βούλομαι; στέρησις τῶν ὄντων ἐστὶν ἡ χάρις. ἀρτίως μέν γε τῷ πατρὶ χαριζόμενοι τὸν ἠριστευκότα ἠδικεῖτε, νῦν δὲ ἀμφοτέροις ἀρέσκοντα ψηφιεῖσθε. ποιήσατέ με ἀνέστιον, πρᾶγμα ἥδιστον ἐμοί, τοῦτον ἀπαλλάξατε παιδός, πρᾶγμα σύνηθες τῷ πατρί.* 66. *ἂν δὲ φειδόμενοί μου μὴ δῶτε τοῦτο, διαβεβλήκατε τὴν προτέραν γνῶσιν. ὑβρικέναι γὰρ ὃν ἴστε χρήσιμον ὁμολογήσετε. ὅσοι πρεσβῦται δι' ἡμᾶς ἄπαιδες οὐ γεγένησθε, ὅσοι παῖδας νέους ὀρφανοὺς οὐ καταλελοίπατε, ὅσοι γυναῖκας οὐκ εἴδετε πρὸς ὕβρεις ἑλκομένας,*

---

23 cf. p. 446, 2 sq.

---

2 *δόντας* scripsi *διδόντας* libri edd 4 *μόνον οὐ πατραλλοίας Ath* 5 *τε Ath* | *οὐ γάρ;* scripsi auctore Re *οὐ γὰρ* libri edd 8 *μὴ δ'* libri edd | *οὓς* scripsi ex *Ath* ut coni Re *οἷς LPMosB* edd 9 *τοῖς ἐσομένοις L* 10 *δικασταὶ Ath* 11 *ἐπεὶ δὴ Ath* | *δευτέραν B* 12 *ἐκβάλλετε B* et maluit Re | *πατρώας L* 14 *ἔστιν LPB* 19 *μου* om *Ath* 20 *τὸ* ante *χρήσιμον Ath* | *ὑμῖν γεγενημένον* post *χρήσιμον* inserenda coni Re 21 *ὡμολογήσατε Ath* 23 *εἴδατε Mos* | *ὕβριν B*

ὅσοι πλουτεῖτε βεβαίως, ὅσοις ἐφύλαξα κτήματα καὶ οἴκους, ταύτην ἀντίδοτε τὴν χάριν. ἐκβάλετέ με τῆς πατρῴας οἰκίας.

67. Μηδὲν ἐνταῦθα ἀντείπῃς, ὦ πάτερ, μηδὲ κινήσῃς τὴν σαυτοῦ δεινότητα πάλιν. οὐκέτ' ἐκεῖνα τὰ πρότερον, λόγοι ὑπὲρ φύσεως καὶ συγγενείας καὶ θεῶν R IV 705 | γενεθλίων καὶ κουροτρόφων καὶ φιλανθρωπίας καὶ συγγνώμης καὶ νεότητος ὀλισθημάτων. ἀλλά μοι παρελθὼν ἀκολούθησον τῷ ψηφίσματι, τήρησον ὃν ἔθου νόμον, φθέγξαι πάλιν τὰ αὐτὰ ῥήματα. νῦν μὲν οὐδενός σοι δεῖ γραμματέως ἀναγνωσομένου τὸν νόμον, ἀλλ' ἐπίστασαι τῆς ἀποκηρύξεως τὰς συλλαβάς. 68. μή μου τὴν ἀριστείαν αἰσχυνθῇς μηδὲ τοὺς αἰχμαλώτους οὓς εἷλον μηδὲ τὸ πλῆθος τῶν νεκρῶν. ἔπεισας καὶ τὸν δῆμον ἃ τέως ἐθαύμαζεν ἀποφαυλίσαι. μόνος οἴκει τὴν οἰκίαν, ἀπαλλάγηθι τῶν ἐμῶν δακρύων. οὐ δύναμαί σοι συνὼν ἀμνημονῆσαι τοῦ κακοδαίμονος ἀδελφοῦ. χρηστόν με, ὦ πάτερ, ἐγέννησας, ἐλεήμονα, φιλοικτίρμονα, πάσχοντά τι πρὸς τὰς τῶν οἰκείων τύχας. ἐγκάλεσον τῇ φύσει. ὁ δεῖνα βίαιος, ἄλλος ὠμός, ἄλλος στερεός, ἐγὼ φιλάνθρωπος. οὐκ ἔστι μάχεσθαι τῇ φύσει. 69. πολλῶν ὀφείλω σοι χάριτας, γονῆς, τρο-

---

2 ἐκβάλλετε *B* 3 πατρώας *L* 4 ἀντείποις *AthMos* Ferr Mor | μὴ δὲ *LP* Ferr 6 λόγους *Ath* 9 διηγήματι *Ath* 10 γὰρ post μὲν *B* 13 et 14 μὴ δὲ *LP* Ferr 15 καὶ] „*malim* γὰρ" Re 16 οἴκοι *LPB* ᾤκει Ferr 17 δύνασθαί *L* δύνασαί Ferr 19 τι om Ferr | τῶν om Re 20 ὁ — 22 φύσει om *B* 21 στερεός scripsi ἑτέρως libri edd sed „*num* ἄνερως *amore carens? aut deest aliquid. num* ἔχων ἑτέρως." Re στερρός coni Iacobs Add 292 Anth. Pal. III 734 22 πολλῶν — 637, 1 οἰκίαν omissa voce παιδείας ad versus comoediae Atticae πολλῶν ὀφείλω σοι χάριτας, γονῆς, τροφῆς | ἀμείβομαί σε τῷ φυγεῖν τὴν οἰκίαν revocavit Kockius Com. Att. fr. III p. 478, 371

φῆς, παιδείας. ἀμείβομαί σε τῷ φυγεῖν τὴν οἰκίαν. οἶδα οἷς χαίρεις, ὦ πάτερ. ἐδίδαξάς με τῇ πρῴην ἀποκηρύξει τὴν νῦν ἀπολογίαν. ταῦτ' οὖν αἰτῶ καὶ ταῦθ' ἡγοῦμαι καλὴν καὶ προσήκουσάν μοι δωρεάν. δεινὸν δὲ οὐδὲν μή σε λαβόντες ἔρημον οἱ συκοφάνται καταθέωσι. τῆς μὲν γὰρ οἰκίας ἀφέξομαι, τῆς δὲ εὐνοίας οὐκ ἀποστήσομαι, ἐπειδὴ καὶ ταῦτα ἀπ' εὐνοίας τῆς πρὸς σὲ λαβεῖν ἀξιῶ.

70. Ὄψει καὶ τοῦτον τὸν πονηρὸν ἀδελφὸν μετ' ἐμοῦ τῆς σῆς ἀσφαλείας προβεβλημένον. τεκμαίρομαι δὲ τῷ μετὰ τὴν ἀποκήρυξιν χρόνῳ, ᾧ τοσούτῳ πιεζόμενος οὐδὲν ἀνιαρὸν εἰς τὸν πατέρα ἐφθέγξατο, ἀλλὰ διατελεῖ τὰς | αἰτίας δεχόμενος καὶ μᾶλλον ἑαυ- R IV 706
τὸν συκοφαντῶν καὶ κατηγόρων μεμφόμενος. θαυμάζει δὲ τὸν πατέρα καὶ τῶν προσηκόντων οὐκ ἀποστερεῖ, τὴν δ' ἑαυτοῦ τύχην κακίζει καὶ σπεύδει γενναίοις ἔργοις ἀνελεῖν τὴν ἀτιμίαν. 71. ἐγώ σοι τοῦτον ἐπιδείξω στρατιώτην ἀγαθὸν ταχέως καὶ κληθήσῃ δυοῖν ἀριστέοιν πατήρ. πολλοὶ πολλάκις ἐκ νεότητος ὑπαιτίου πρὸς τὴν προσήκουσαν ἐκβάντες ἡλικίαν ἐθαυμάσθησαν εἰς ἀρετὰς καὶ καθάπερ ἐν δράματι σκευὴν μεταβαλόντες τοὺς τρόπους οἱ μὲν ἐκ δειλῶν ἐφάνησαν ἀνδρεῖοι, οἱ δὲ ἐξ ἀκολάστων σώφρονες, οἱ δὲ ἐκ θρασέων ἐπιεικεῖς, οἱ δὲ ἐκ ῥαθύμων φιλεργοί, οἱ δὲ ἐξ

---

1 *οἰκείαν Ath* 2 *χαίροις LP* | *τῇ πρῴην ἀποκηρύξει τὴν νῦν ἀπολογίαν* scripsi auctore Re *τὴν πρώτην ἀποκήρυξιν τῇ νῦν ἀπολογίᾳ* libri edd 6 *ἀφέξονται Mos* 7 *ταὐτὰ?* | *ἐπ' Ath* 12 vocibus *οὐδὲν ἀ[νιαρὸν]* des *Ath* | *εἰς* inserui e libris om edd 13 *ἑαυτὸν ἢ τῶν τινα συκοφαντῶν* coni Re *ἑαυτοῦ ἢ συκοφαντῶν* Iacobs Lect 15 *τὸν LP* 16 *δὲ αὑτοῦ LP* 22 *δειλῶν* scripsi *δειλίας* libri edd

ἀσελγῶν μέτριοι καὶ ἐφ' οἷς πρότερον ἐκακίζοντο, ταῦτα ἀποβαλόντες εἰς ἀγαθοὺς ἐτέλεσαν καὶ τῆς πόλεως εὐεργέτας μεγίστους οἷς ὑπὲρ αὐτῆς ἐπεδείξαντο. τὸ γὰρ τῆς ἀριστείας, κἂν παραχρῆμα φαῦλον νομισθῇ, μικρὸν ὕστερον ὁπόσον ἐστὶν ἐγνώσθη. 72. *παραμυθήσεται τὴν σπάνιν ὁ κρότος, τὴν ἔνδειαν ἡ μνήμη τῆς μάχης, τὴν ἀπορίαν· ἡ δόξα. οὐχ ἕξομεν οἰκίαν, ἀλλ' ἐγγὺς τοῦ τροπαίου σκηνώσομεν. τοῦθ' ἑστία μοι, τοῦτο καταφυγή, τοῦτο παράκλησις πρὸς τὸ μέλλον. στέρξουσι μὲν οἱ πολέμιοι τὴν ἡσυχίαν, οἶδα ἐγὼ τὴν ἐκείνων πληγήν, εἰ δ' οὖν, οἷα τὰ ἀνθρώπινα, τὴν ἀρχαίαν ἀναλάβοιεν ἰσχύν, πολλοὺς εὑρήσετε τοὺς ἐμὲ μιμησομένους.* 73. *οἷς ἐναντίον ὑμῶν διαλέξομαι· ἄνδρες οἷς εὐψυχία μὲν εἰς τοὺς κινδύνους, εὔνοια δὲ πρὸς τὴν οἰκείαν, καὶ σώματος μὲν ὀλιγωρία, φιλοτιμίας δὲ ἔρως, μηδεὶς ὑμῶν καταγνοὺς ἀχαριστίαν τοῦ δήμου ἄκων μαλακιζέσθω μηδὲ εἰς τὴν ἐμὴν ἀφορῶν ἀτιμίαν κατοκνείτω. ταῦτα ἐπ' ἐμαυτὸν γράφω. εἰς δωρεὰν ἡγοῦμαι τὴν συμφοράν. ἐγὼ πενίας ἐπιθυ-*
R IV 707 *μῶ. ἐμὴν τοῦτο | ἡγεῖσθε μανίαν, μὴ τῆς πόλεως ἀγνωμοσύνην. φεύγω τὴν οἰκίαν ἐφ' ἧς οὐκ ἔσχον δεῖξαι τὸν ἀδελφόν. ὑμεῖς δὲ ἄνδρες τε γίγνεσθε καὶ μὴ ταράττεσθε τῷ παραδείγματι.*

74. *Πάντα ἐπαινῶ τῆς ἀποκηρύξεως πλὴν ἑνός·*

---

2 *ἀποβαλλόντες L* 3 post *ἐπεδείξαντο* ras 5 fere litt *P* 4 *παρὰ χρῆμα L* 13 *μιμησομένους* scripsi auctore Re *μιμησαμένους* libri edd 14 *ἔννοια LPB* Ferr 15 *οἰκείαν* scripsi auctore Re coll t. V 380, 13; VI 320, 2; 357, 16 *οἰκίαν* libri edd 18 *μὴ δὲ L* Ferr 23 *δὲ* scripsi ut coni Re et Iacobs Lect *τὲ LP τε MosB* edd

ἡδίους ποιήσει τοὺς πολεμίους. σὺ δέ, εἰ καὶ τοῖς πολίταις ὕστερον, πάτερ, ἀπεχθήσῃ, παρὰ τοῖς ἐναντίοις εὐδοκιμήσεις. εὐωχοῦ δὴ καὶ πῖνε μεθ' ἡδονῆς καὶ τρέφε κληρονόμους ἀντὶ τῶν υἱέων τοὺς κόλακας.

---

1 cf. t. IV 41, 22; 73, 3

---

1 *ποιήσει* scripsi auctore Re *ποιήσεις* libri edd 2 *περὶ* *L* Ferr 3 *πίνε* libri Mor Re cf. t. VI 652, 14

XLIX.

Declamatio inscripta *Διέσωσέ τις ἐμπρησμοῦ γενομένου τὸν ἑαυτοῦ πατέρα. πειρώμενος σώζειν καὶ τὴν μητέρα καὶ τοῦ σῶσαι διήμαρτε καὶ τοὺς ὀφθαλμοὺς προσαπώλεσεν. ἐπεισήγαγεν αὐτῷ μητρυιὰν ὁ πατήρ. αὕτη δεδεμένον φάρμακον ἐν τοῖς ἱματίοις τοῦ παιδὸς ἔδειξε τῷ πατρί. καὶ πυνθανομένου τοῦ πατρὸς πόθεν εἴη τὸ φάρμακον οὐδὲν ἀπεκρίνατο. μετὰ ταῦτα γράφων διαθήκην τῇ μὲν γυναικὶ τὸν κλῆρον εἴασεν, ἀποκληρονόμον δὲ τὸν παῖδα κατέλιπε. καὶ νυκτὸς θορύβου γενομένου κατὰ τὴν οἰκίαν καὶ πολλῶν συνελθόντων εὕρηται ὁ μὲν πατὴρ νεοσφαγής, τὸ δὲ ξίφος τοῦ παιδὸς παρακείμενον, ἡ δὲ μητρυιὰ παρακαθεύδουσα, ὁ δὲ τυφλὸς ἑστὼς ἐπὶ τοῦ οὐδοῦ τῆς οἰκίας ἐν ᾗ καθ' ἑαυτὸν ἔμενεν. ἀντεγκαλοῦσιν ἀλλήλοις ὁ τυφλὸς καὶ ἡ μητρυιά*, qua filius qui olim in incendio domus patrem quidem extulerat, in conatu vero etiam matris servandae infelix oculos amiserat a crimine parricidii se defendit novercam maritum occidisse asseverans[1]), facundiae Libanianae admiratoribus valde accepta fuit. Quod sane est cur mireris. Nam loco gratiae illius atque simplicitatis Libanianae regnat in ea verbositas quae repetitionibus paene non sibi satisfacere posse videtur. Accedit copia formarum ut *ἦς* pro *ἦσθα* p. 694, 16[2]), vocabulorum ut *ἀποκληρονόμος* p. 648, 2; *ἀλυσιτελής* p. 692, 16;

1) Idem est argumentum declamationum quae feruntur Quintiliani secundae, sed non filius ipse partes suas agit, sed ab alio defenditur. Locos exstare similes facile intelleges; immo vero quod non plures sunt miraberis. Simile argumentum affertur in scholiis ad Hermog. stat. Rhet. gr. t. VII 251, 17 ed. Walz.

2) Eadem forma supra p. 124, 4 et t. VI 259, 8 reperitur, sed in declamationibus quae Libanii nomen iniuria prae se ferunt.

ἀπανθρωπία p. 653, 10; 674, 8; *μιαιφόνος* p. 663, 11; 667, 12 et 15; 670,3; 690, 3; 694, 3; 697, 1; 698, 8 *μιαιφονία* p. 652, 16; 654, 8; 655, 4; 669, 12; 674, 5; 692, 8; 693, 7; *μετάγνωσις* p. 678, 7 et 13; *συναμφότερος* p. 650, 16; 693,3; *γηρωκομεῖν* vide ad p. 657, 16; *ἐπαληθεύειν* p. 657, 12; *προδιαλύειν* p. 650, 9; *δυσμεναίνειν* p. 675, 10; 692, 4 ut in declamatione subdita XL p. 340, 19; locutionum ut *περίεστί μοι τοῦ πράγματος* p. 667, 13; *προσδοκίας ἐπέκεινα* p. 669, 1 ab usu Libanii abhorrentium, vix ut declamationem genuinam habere possim.[1])

Itaque declamatio non 'corporis' finibus coercita mansit, sed etiam in plures eclogas transiit.

Numerus codicum quibus ad hanc aetatem pervenit permagnus est. Sunt enim hi 34:

---

1) Eadem, opinor, fuit sententia Hermanni de Rohden, De mundi miraculis p. 40 sq., qui eam scholae Gazaeae tribuere voluit. At hiatus fuga quam in ea repperit ad hoc statuendum non magis sufficit quam legis Meyerianae observatio qua Paulus Maas (Hebdom. philol. class. 1911 col. 1255) nititur, quamquam is eandem observationem et in declamatione *δυσκόλου ἀποκηρύττοντος* t. VI 546 sq., quam a Libanio abiudicare ipse non audet, et in Orestis, Archidami, Laidis declamationibus t. V 362 sq., quas genuinas esse omnibus praeter ipsum Rohdenumque constat, agnovit. At multiplex illa atque in diversis scriptis diversa cum universa rhythmopoeia tum in clausulis pangendis ars qua splendet Libanius peculiarem postulat disquisitionem, in qua et Curtius Mosel et Ehrhardtus Hildebrand me auctore vires suas exercere coeperunt. De hiatus fuga Libaniana interim scripsit Georgius Pietsch, De Choricio Patrocli declamationis auctore, Vratisl. 1910 p. 48 sq., cuius commentationem paene superfluam fuisse quomodo Paulus ille Maas iudicare potuerit ego omnino non comprehenderem, nisi e censura Nonni Ludwichiani Aequitatis contemptorem eum cognovissem. Sed et haec dea est. Verum autem dereliquit cum codicem Athoum Laurae Ω 123, etsi unus ex antiquissimis sit, a me in crisi declamationum non adhibitum esse dixit. Si t. V p. 6 et t. VI p. 187 evolvisset, eum et in apologia Socratis et in invectiva in Aeschinem collatum repperisset. Sed etiam plurimas declamationes a Libanio non esse scriptas contendentes Rohdenus (p. 39) Maasiusque iustum principium in falsum exaggeraverunt. Plura de eo in praefatione huius voluminis.

Initium facio a 'corporalibus'.

1. Hierosolymitanus bibliothecae patriarchalis S. Sepulcri 107 (= H) saec. XIV fol. 75. Vide t. V p. 150 sq. Contuli.

2. Vaticanus gr. 940 (= V) saec. XIII/XIV fol. 62ᵛ. Correctus est ex altero codice manu secunda. Vide t. V p. 152 sq. Contuli.

Si minus ex hoc ipso, certe ex eius fratre gemello originem traxerunt duo codices:

3. Monacensis gr. 96 saec. XVI fol. 75ᵛ. Contulit Reiskia in usum mariti qui eum Bavaricum secundum appellatum littera *B* insignivit. Vide t. V p. 364 sq. et supra p. 38.

et

4. Matritensis N-130 saec. XVI fol. 82ᵛ. Vide t. I p. 428 sq. et t. V p. 364.

Cum *HV* arte cohaeret

5. Laurentianus LVII 27 anno 1392 exaratus fol. 93. Vide t. I p. 59 sq.

Ex hoc vero descriptus est

6. Wolfenbuttelanus 511 Gudianus gr. 77 saec. XV fol. 103. Contulit Reiskia in usum mariti qui eum littera *W* insignivit. Vide t. I p. 59 sq.

7. Laurentianus LVII 21 saec. XIV/XV fol. 127ᵛ. Vide t. V p. 158 sq.

8. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 384ᵛ. Scholia adiecta sunt manu librarii et rubricatoris. Vide t. I p. 24 sq. Meum in usum contulit Pius Franchi de Cavaleriis.

Transeo ad 'eclogarios'.

9. Vindobonensis philos. et philol. IV 82 (= Vi) saec. XIV fol. 38. Textus praebet recensionis mixtae vestigia sed etiam manus secundam et tertiam, quae eadem protheoriam e codice prioris familiae inseruit, correctrices expertus est. Vide t. V p. 169 sq. Contuli.

10. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 4. Correctus est manu secunda et ex alio codice, ut

videtur, *M* (cf. p. 690, 17), manu tertia quae eadem scholia adiecit, denique sed raro quarta. Vide t. I p. 362 sq.; IV p. 410; V p. 170. Contuli.

Ex eodem exemplari descriptus est

11. Bodleianus Miscellaneus 208 olim Claromontanus (= Cl) saec. XIV fol. 73 (194). Correctus est manibus secunda et tertia. Vide supra p. 261. Meum in usum contulit Th. Thalheim.

12. Athous Laurae S. Athanasii *Ω* 123 (= Ath) saec. XIII fol. 128. Vide t. I p. 323 sq. Ectypum photographicum per Henricum Jantsch nactus sum.

13. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 40. Correctus est manibus secunda e codice alterius familiae et tertia quae fuit recentissima. Vide t. I p. 48 sq. Contuli.

14. Marcianus gr. 439 (= M) saec. XII/XIII fol. 32ᵛ. Correctus est manu librarii (*m*) et recenti (*y*). Scholia in margine exarata sunt manibus librarii (*m*) et rubricatoris. Vide t. V p. 168 sq. Contuli.

15. Vaticanus Palatinus gr. 275 saec. XV fol. 60. Vide t. II p. 192 sq.

Ex eodem quo hic exemplari fluxit

16. Escurialensis *Σ*-I-14 (70 in catalogo Milleriano) saec. XV fol. 56. Vide t. II p. 187 sq.

17. Mutinensis II D 7 (CVI) saec. XV fol. 58ᵛ. Vide t. II p. 53 sq.

18. Chalcenus bibliothecae scholae emporicae, olim monasterii *τῆς Θεοτόκου*, 158 saec. XV fol. 248ᵛ. Vide t. V p. 222 sq.

19. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) saec. XIV fol. 3. Vide t. I p. 426 sq.

20. Escurialensis T-II-11 (147 in catalogo Milleriano) saec. XVI fol. 156. Vide t. V p. 366 sq.

21. Vaticanus gr. 84 anno 1425 exaratus fol. 62. Vide t. I p. 415 sq.

22. Ambrosianus I 49 sup. (460 in catalogo Martinii et Bassii) anno 1488 exaratus fol. 148. Vide t. I p. 363 sq.

Ex eodem quo hic fluxit exemplari

23. Parisinus gr. 3017 saec. XV fol. 149. Contulit Bastius. Vide t. II p. 4 sq.

E communi fonte fluxerunt tres codices:

24. Parisinus gr. 3015 saec. XIV fol. 50ᵛ. Vide t. V p. 175 sq.

25. Parisinus gr. 3018 saec. XV fol. 50. Vide t. V p. 173 sq.

26. Laurentianus LVII 23 saec. XIV fol. 54. Vide t. V p. 176 sq.

Ex hoc descriptus est

27. Ambrosianus E 92 sup. (301 in catalogo Martinii et Bassii) saec. XIV/XV fol. 25. Titulo et initio privatus continet declamationem inde a verbo *θεραπεύειν* p. 657, 1 usque ad finem. Vide t. V p. 178 sq.

28. Mosquensis bibliothecae synodalis 489 saec. XV fol. 70ᵛ. Vide t. V p. 180 sq.

29. Parisinus gr. 854 (= Par) saec. XIV foliis 259, 320—327, 312 declamationem continet. Scriptura in folio 259 perforato multis locis labem contraxit. Vide t. V p. 171 sq. Contuli.

30. Vaticanus gr. 1392 saec. XV/XVI fol. 72. Vide t. V p. 296 sq.

31. Vindobonensis iuridicus gr. VIII saec. XV fol. 129ᵛ. Vide t. V p. 186 sq.

32. Vaticanus gr. 939 saec. XV fol. 32. Vide t. I p. 44 sq.

33. Mutinensis III F 3 (CLXXXI) saec. XV continet declamationem foliis 145ᵛ—147ᵛ et 25—34. Vide t. II p. 48 sq.

34. Vaticanus gr. 1429 saec. XVI fol. 90. Vide t. VI p. 613 sq.

Ex his quos in censum vocandos esse duxi codices novem *HVViMaClAthBVaM* rursus in duas discedunt familias quarum prior codicibus *HVViMaClAth*, altera *BVaM* continetur, ita tamen ut *Vi* etiam vim codicis alterius familiae expertus sit.

Rationem vero quae inter singulos codices intercedit hoc tibi reddet stemma



Athous interpolationibus non prorsus liber est, ut p. 691, 12 *λέλεκται* pro *δεδήλωται*. Praeter hos quem contuli codicis Parisini gr. 854 (*Par*) lectiones in apparatum criticum recipere non e re visum est. Nam praeterquam quod aeque atque *Vi* e genere codicum mixtorum est, quae propria habet fere nihil nisi neglegentiae vel temeritatis testimonia sunt, velut p. 648, 16 *διδασκαλίαν* pro *δυσκολίαν*, p. 649, 16 *τὴν ἀρετὴν* pro *τὸ σαφές*, p. 689, 10 *κατασκευάζουσα* pro *σπουδάζουσα*, p. 658, 18 *ἀγαθὴν* pro *ἱκανὴν*.

In universum quidem etiam hic prioris familiae in archetypo reddendo fides maior fuit quam alterius.

Numero codicum respondet copia testimoniorum. Ioannes enim Doxapatri in commentario ad Hermogenis *περὶ εὑρέσεων* libellum conscripto, quem e codice Barocciano gr. 175 descripsi et cum ectypo photographico codicis Vaticani gr. 2228 a Rabio mihi misso contuli[1]), usus ille codice prioris familiae praeter titulum duos locos laudavit, Andreas Lopadiota auctor lexici Vindobonensis[2]), qui et ipse codice prioris familiae simillimo codicis *Vi* usus est, novem, auctor florilegii Neapolitani[3]) duos, Thomas Magister unum.

Declamatio in lucem protracta est anno 1606 a Fed

1) Cf. supra p. 478.
2) Cf. t. I p. 238.
3) Cf. t. V p. 368 sq.

Morello Lib. opp. t. I p. 912—938 (= Mor), cui textus fundamentum codex alterius familiae praebuit. Quem si non ipsum *M*[1]), certe codicem proxime ab hoc stantem fuisse singularis lectionum imprimisque vitiorum consensus documento est. Sed etiam alium codicem qui prioris familiae fuit ab eo in subsidium vocatum esse e quibusdam lectionibus quas vel in textu vel praemisso γρ in margine posuit[2]) elucet. Permulta huius editionis vitia cum ex ingenio tum ope duorum codicum prioris familiae, Bavarici id est Monacensis gr. 96 et Wolfenbuttelani, sanavit Reiskius (= Re) t. IV p. 739—770.

Pauca ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum 'Lectionum'[3]) libro et Cobetus. Ego etiam magis quam Reiskius lectionibus prioris familiae ius suum reddendum curavi.

---

1) Cf. supra p. 78. 184. 206. 239. 264. 294. 399.
2) Ut uno exemplo defungar, vide p. 678, 11.
3) Cf. t. I p. 77 et V p. 198.

XLIX.

Διέσωσέ τις ἐμπρησμοῦ γενομένου τὸν ἑαυτοῦ πατέρα. πειρώμενος σώζειν καὶ τὴν μητέρα καὶ τοῦ σῶσαι διήμαρτε καὶ τοὺς ὀφθαλμοὺς προσαπώλεσεν. ἐπεισήγαγεν αὐτῷ μητρυιὰν ὁ πατήρ. αὕτη δεδεμένον φάρμακον ἐν τοῖς ἱματίοις τοῦ παιδὸς ἔδειξε τῷ πατρί. καὶ πυνθανομένου τοῦ πατρὸς πόθεν εἴη τὸ φάρμακον R IV 739

H = Codex Hierosolymitanus S. Sepulcri 107
V = Vaticanus gr. 940
Vi = Vindobonensis philos. et philol. IV 82
Ma = Matritensis 4679 (N-49)
Cl = Bodleianus Miscellaneus 208, olim Claromontanus
Ath = Athous Laurae S. Athanasii Ω 123
B = Barberinus II 41 (Vatic. Barb. 220)
Va = Vaticanus gr. 82
M = Marcianus gr. 439

---

1 *ἀντεγκληματικὸς στοχασμός Ma*^rubr^ *στοχασμὸς ἀντεγκληματικός B*^rubr^

---

1 *ὑπόθεσις. ὅρος.* ante *Διέσωσέ Ath* *Ἄλλη μελέτη. ὑπόθεσις.* Mor Re delevi *Διέσωσέ* — 648, 10 *μητρυιά* praemissis verbis *ὅμοιον τῷ παρόντι προοιμίῳ καὶ παρὰ τῷ λιβανίῳ ἐν* (om *Vat*) *ἐκείνῳ τῷ διπλῷ τελείῳ στοχασμῷ* citat Io. Doxapat. in commentario ad Hermog. de inv. I 1 Rhet. gr. t. III 70, 22—71, 3 ed. Walz. = t. II 181, 16 sq. ed. Spengel. cod. Vat. gr. 2228 fol. 209^v^. Bar. gr. 175 fol. 29^v^ | *αὐτοῦ* Doxap 2 *σώσειν* Mor 3 *σῶσαι* in ras *V*² *σώζειν H* Doxap 4 *ὁ πατὴρ μητρυιὰν* Doxap | *μητρυὰν HB* 5 *δεδεμένον*] *δὲ μόνον Vi* 7 *παιδὸς HVi* | *ἂν* ante *εἴη H*

οὐδὲν ἀπεκρίνατο. μετὰ ταῦτα γράφων διαθήκην τῇ μὲν γυναικὶ τὸν κλῆρον εἴασεν, ἀποκληρονόμον δὲ τὸν παῖδα κατέλιπε. καὶ νυκτὸς θορύβου γενομένου κατὰ τὴν οἰκίαν καὶ πολλῶν συνελθόντων εὕρηται ὁ μὲν πατὴρ νεοσφαγής, τὸ δὲ ξίφος τοῦ παιδὸς παρακείμενον, ἡ δὲ μητρυιὰ παρακαθεύδουσα, ὁ δὲ τυφλὸς ἑστὼς ἐπὶ τοῦ οὐδοῦ τῆς οἰκίας ἐν ᾗ καθ' ἑαυτὸν ἔμενεν. ἀντεγκαλοῦσιν ἀλλήλοις ὁ τυφλὸς καὶ ἡ μητρυιά.

R IV 740 *Προθεωρία.*

1. Τὸ δυσχερὲς τοῦ ζητήματος καὶ αὐτόθεν μὲν τοῖς ἀκούουσι πρόδηλον, πολλῷ δὲ φανερώτερον καταφαίνεται τοῖς ἀκριβέστερον αὐτὸ καθορᾶν δυναμένοις. φύσει μὲν γὰρ καὶ πάντες οἱ ἀντεγκληματικοὶ στοχασμοὶ πολλὴν ἔχουσι τὴν δυσκολίαν καὶ διαιρέσεως

5 Schol. ad Hermog. stat. Rhet. gr. t. VII 251, 17 ed. Walz. 8 cf. t. IV 184, 3

10 *ἡ στάσις στοχασμὸς ἀντεγκληματικός M* *ἡ στάσις Ma*[3]

1 *μεταταῦτα VMaClBVaM* 2 *ἀποκληρ(ον)ονόμον M* *ἀπόκληρον ViMaCl* sed in hoc *κληρον* in ras fere 8 litt, *BVa* et γρ in marg Mor | post *ἀπόκληροὶ* ras 3—4 litt *Va* 3 *τὸν* om *Vi* | *κατέλιπεν Vi* | *καὶ νυκτὸς* om Doxap 4 *δὲ* post *θορύβου* Doxap | *κατὰ* — 5 *μὲν* in marg *Ma*[3] 5 *εὕρηται ὁ μὲν πατὴρ* scripsi ex *HVViMa*[2]*ClBVa* Doxap *ὁ μὲν πατὴρ εὕρηται AthM* edd 7 *μητρυὰ H* | *τῆς οὐδοῦ* ante *παρακαθεύδουσα Vi* 8 *τῆς Vi* | *ὁδοῦ Ath* | *ἔμεινεν Ath* 9 *ὁ τυφλὸς*] *ὅ τε παῖς* Doxap 10 *μητρυά HB* | *αὐτοῦ* post *μητρυιὰ Vi*, *στοχασμὸς ἀντεγκληματικός* in marg *Va*[3] edd delevi 11 *Προθεωρία* om *ClVa* inser *Vi*[3] 12 *Τὸ* — 651, 12 *πιστεύωσιν* inser *Vi*[3] 13 *καὶ φαίνεται Ath* 14 *ἀκριβεστέρως MaCl* *ἀκριβεστέροις Ath* 16 *καὶ* — 649, 1 *οἰκονομίας* in marg *Ma*[3]

ἕνεκα καὶ τάξεως καὶ τῆς ἄλλης οἰκονομίας, ἐξαιρέτως δὲ οὗτος διὰ τὴν ἐνοῦσαν πλοκὴν καὶ περιπέτειαν τῷ πλάσματι. 2. *ζητοῦσι μὲν οὖν οἱ τὰς διαιρετικὰς τέχνας συγγράψαντες πότερον κατὰ κεφάλαιον ἕκαστον δεῖ προθεῖναι τὴν ἀντεξέτασιν ποιουμένους ἢ διόλου τὸ μέρος πληρώσαντας οὕτως ἐπὶ τὸ ἕτερον μετιέναι. καὶ ζητοῦντες εὑρίσκουσιν ἀγωνιστικώτερον μὲν τὸ κατὰ κεφάλαιον ποιεῖσθαι τὴν ἀντεξέτασιν, πλείστης δὲ συγχύσεως αἴτιον, τὸ δὲ διόλου σαφέστερον μέν, ὑπτιώτερον δέ. καὶ τέλος ἔκριναν προτέραν μὲν ποιεῖσθαι τὴν ἀπολογίαν ὁλόκληρον, δευτέραν δὲ τὴν κατηγορίαν ὁμοίως τῆς ὑπτιότητος ἔλαττον φροντίσαντες διὰ τὴν σαφήνειαν.* 3. *ἡμεῖς δὲ κατὰ δύναμιν φυλαξάμενοι τὴν ἐν ἑκατέροις κακίαν τὴν ἀρετὴν τετηρήκαμεν. τοῦ μὲν γὰρ τὸ ἐναγώνιον ζηλώσαντες τὴν σύγχυσιν διαπεφεύγαμεν, τοῦ δὲ τὸ ὕπτιον φυλαξάμενοι τὸ σαφὲς τετηρήκαμεν.* 4. *ὅπως δὲ τοῦτο κατώρθωται, ῥᾳδίως δηλώσει προϊὼν ὁ λόγος. τὴν γὰρ ἀπολογίαν ἑκάστῳ κεφαλαίῳ προτάττοντες τὴν κατηγορίαν ἐπάγομεν καὶ τὰς*

---

5 cf. t. V 393, 15

---

1 *ἐξεραίτως* edd sed „*emenda ἐξαιρέτως*“ Mor Not f. VII 4[v]
2 *πλοκὴν* scripsi ex *HVViMaClA[t]h* *συμπλοκὴν BVaM* edd
3 *πράγματι Ma* sed *πλάσματι* suprascr m[3], *Cl* 4 *ἕκαστον* in marg inser *AthMa[3]* 5 *προθεῖναι* scripsi ut coni Re coll l. 19 *προσθεῖναι Vi[3]MaCl* sed in hoc *σ* eras, *AthM* edd *προσθῆναι HV* *προστιθέναι BVa* | *ποιούμενος, ἢ δι' ὅλου Ath*
6 *πληρώσαντα B* | *τὸν M* Mor 7 *εὑρίσκουσι Ath* | *ἀγωνιστικώτερον* om *Ath* 9 *συγχύσεως V* sed *χυ* in ras m[2] *συγγνώσεως HVi[3]* | *δὲ* om *HVVi[3]* | *δι' ὅλον Ath* 11 *κατηγορίαν B* et in ras *Va[2]* | *δεύτερον HVVi[3]Ath* | *ἀπολογίαν BVa* *γρ ἀντιλογίαν* in marg Mor 13 *καταδύναμιν Ath* | *τὴν* ante *δύναμιν Ma* 14 et 16 *τοῦ*] *τὸ Vi[3]* 17 *τοῦ Ath* 18 *δὲ Ath*
19 *παρατάττοντες BVa*

ἐφ' ἑκάστου κατὰ τὴν οἰκείαν ἰδίᾳ τάξιν ἀντιθέσεις εἰσάγομεν ὡς ἀναγκαίαν ὁμοῦ καὶ ἐναγώνιον καὶ εὐκρινῆ τὴν ὅλην διαχείρισιν γίνεσθαι. 5. θεωρεῖν δὲ R IV 741 ἄξιον ὅπως λανθάνει | μὲν ἐν τοῖς ἀγῶσι τὸ πάθος, λανθάνει δὲ πάλιν ἐν τοῖς πάθεσιν οὐδὲν ἧττον ἀγωνιζόμενος καὶ τούτων ἑκάτερον ἐν ἀμφοτέροις πληρῶν, ἔν τε τοῖς ὑπὲρ αὑτοῦ λόγοις καὶ τοῖς κατὰ τῆς μητρυιᾶς καὶ ὅπως πόρρωθεν προδιοικεῖ τὰ συμφέροντα καὶ προδιαλύει τὰ βλάπτοντα καὶ τῇ Δημοσθενικῇ κατανοήσει χρώμενος τοῖς μὲν ἀθρόοις ἠρέμα συναγωνίζεται πανταχόθεν περιστέλλων αὐτὰ καὶ πιστούμενος, τῶν δὲ πρόδηλον ἐχόντων τὴν δύναμιν καὶ αὐτόθεν ἰσχυρῶν φαινομένων οὐδεμίαν προβάλλεται βοηθοῦσαν ἐπίνοιαν ἔξωθεν, ἵνα τοῖς πράγμασιν αὐτοῖς καὶ μὴ δεινότητι δοκῇ περιγίνεσθαι, καὶ διὰ τῶν αὐτῶν ποιεῖ τὸ συναμφότερον, δι' ὧν ἀπολογεῖται κατηγορῶν καὶ δι' ὧν κατηγορεῖ συναπολογούμενος. 6. προσήκει δὲ χρηστὸν καὶ σπουδαῖον ὑποθέσθαι τὸν παῖδα τῆς τοῦ ζητήματος πλάσεως τὰς ἀφορμὰς ἡμῖν πρὸς τοῦτο παρεχομένης, οὕτω γὰρ ἂν μᾶλλον τὴν

8 cf. t. IV 170, 22

1 *ἀφ' MaClAth* | *καὶ* ante *ἰδίαν Ma* | *ἰδίᾳ* om *HVVi*[3] 2 *εἰσάγομεν Ma* sed *ἠγάγομεν* suprascr m[3] 3 *διαχείρισιν* scripsi ex *Ath* et *Par. 854* cum Bastio Greg. Cor. p. 80 ed. Schaefer *διαχείρησιν* reliqui libri edd | *γίγνεσθαι AthM* edd *γενέσθαι VVi*[3] 6 *τοῦτο V* sed ˜ *το* in ras m[2] *τοῦτον Vi*[3] | *ἑκάτερος ἐν H* 7 *αὐτοῦ M* *αὑτοῦ* reliqui libri edd 8 *μητρυᾶς H* 9 *βλέποντα HV* sed in hoc in *βλάπτοντα* corr m[2] | *τῇ* inserui ex *HVVi*[3] *εἰ AthBVa* om *MaClM* edd 10 *ἀθρόοις M* 13 *οὐδὲ μίαν HMa* 15 *μὴ* inser *Va*[2] | *δοκεῖ Cl* | *περιγίγνεσθαι MaVaM* edd 16 *δι' αὐτῶν BVa* 17 *κατηγορεῖ συναπολογούμενος V* sed *κατηγορεῖ συν* in ras m[2] *συναπολογεῖται ἀπολογούμενος H* 19 *τῆς* — 20 *παρεχομένης* om *HVVi*[3] 20 *παρεχόμενος Ath* *παρεχόμενον MaCl*

δυστυχίαν αὐξήσαιμεν, οἱ γὰρ ἀγαθοὶ δυστυχοῦντες τὰ πάθη μειζόνως ἐγείρουσι, καὶ δι' ὅλου τοῦ λόγου τὸ πρέπον διαφυλάττειν καὶ τῷ ἤθει τοῦ τοιούτου παιδὸς καὶ τῇ φύσει τῶν ὑποκειμένων πραγμάτων καὶ λογισμοῖς χρῆσθαι πιθανωτέροις. 7. *ἐν γὰρ τοῖς τοιούτοις ἀγῶσιν ἐν οἷς τὰ εἰκότα μεγίστην ἔχει τὴν δύναμιν προσήκει τὴν ἐργασίαν ποιεῖσθαι τῶν πιθανωτέρων ἐκ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνειν εἰωθότων. ταῦτα γὰρ πρὸς πίστιν προκαλεῖται μάλιστα τοὺς ἀκούοντας, ὅταν ἐφ' ἑαυτῶν αὐτὰ λογιζόμενοι καὶ σκοποῦντες οἱ δικασταὶ ῥᾳδίως καὶ ἐπὶ τῶν ἄλλων γενήσεσθαι πιστεύωσιν.*

Ὁ πηρός.

1. *Μόλις, ὦ ἄνδρες δικασταί, τῶν ἐπὶ τῷ πατρὶ* R IV 742
θρήνων ὀλίγον ἀναπαυσάμενος παρ' ὑμᾶς ἦλθον, ὡς

1 Longin. inv. Rhet. gr. IX 595, 7 sq. ed. Walz.

12 *Προοιμιαζόμενος ἐν τῷ διπλῷ τούτῳ τελείῳ στοχασμῷ ὁμολογεῖ ὁ υἱὸς ὑπὲρ τοῦ πατρὸς ἀγωνίζεσθαι καὶ οὐ κρύπτει τοῦτο, ἀνεπίφθονος γὰρ ὁ ὑπὲρ τῶν προσηκόντων λόγος, ὡς ὁ ἑρμογένης διδάσκει:* ∾ *καὶ ζήτει ἐκεῖσε* post *πιστεύωσιν Ath* 13 *στοχασμὸς ἀντεγκληματικὸς HVB* 14 *τὸ ᾱ προοίμιον ἐξ ὑπολήψεως τῶν δικαστῶν M*rubr *Ma*3

2 *διόλον Vi*3*MaB* 3 *φυλάττειν M* | *τοῦ* om *Va* Re 4 *ἀποκειμένων Cl* sed *ἀ* ex *ὑ* corr 7 *εὐεργεσίαν HVVi*3 8 *ὡς* inser *Ma*3 | *ἐπιτοπλεῖστον Vi*3*B* | *τὸ* om *Ath* 9 *προσκαλεῖται HVVi*3*MaAth* sed in hoc *σ* del 12 *πιστεύωσιν V* sed *ω* in ras m2 *πιστεύουσιν HVi*3 13 *Ὁ πηρός* scripsi ex *H*rubr*V Ma*rubr*Ath* *ὁ πηρός. ἡ μελέτη M*rubr *ἡ μελέτη Vi*rubr*B* om *ClVa* *τυφλοῦ φιλοπάτορος ἀπολογία* edd 14 *Μόλις* — 652, 7 *ἀνῃρημένῳ* praemissis verbis *ἐν τούτῳ τῷ ζητήματι μελετῶν ὁ λιβάνιος τὸν πηρὸν προοιμιάζεται οὕτως* citat Io. Doxap l. l. cod. Vat. fol 209v Bar. fol 29, — 15 *ἀναπαυσάμενος* praemissis verbis *Λιβάνιος ἐν μελέτῃ τῇ Διέσωσέ τις ἐμπρησμοῦ γενομένου τὸν ἑαυτοῦ πατέρα* Thomas Mag. s. v. *διέπαυσέ τίς τινα καὶ διεπαύσατο αὐτός, καὶ ἔπαυσε καὶ ἐπαύσατο, καὶ ἀνέπαυσε καὶ ἀνεπαύσατο* p. 85, 3 ed. Ritschl 15 *παυσάμενος ViMa* | *παρ'* in fine lineae absumptum *Cl* *πρὸς Ma*

ὁρᾶτε, χειραγωγούμενος, θανάτου μὲν ἐφιέμενος, τίς γάρ μοι τοῦ ζῆν ἔτι παραμυθία; τιμωρῆσαι δὲ τῷ πατρὶ πρότερον προσήκειν ὑπολαμβάνων, καὶ γὰρ ἂν εἴη τῶν ἀλογωτάτων, εἰ πυρὶ μὲν καὶ τοῖς δεινοτάτοις ἐμαυτὸν ἀφειδῶς ἔδωκα τῆς περὶ τὸν πατέρα χάριν κηδεμονίας, νυνὶ δὲ μηδαμῶς βοηθήσαιμι παρὰ πάντας τοὺς νόμους ἀπανθρώπως οὕτως ἀνῃρημένῳ καίτοι ῥᾳδίως τὴν κατ' ἐκείνου γενομένην ἐπιβουλὴν μεθ' ὑμῶν διελέγξαι δυνάμενος. 2. ὅμως γάρ, κἂν ἡ τῶν συμφορῶν τούτων αἰτία γεγενημένη πολλοὺς ἡμῖν ἔχῃ τοὺς συνηγόρους οὓς ἀπὸ τῶν ἡμετέρων χρημάτων R IV 743 *μισθωσαμένη | προβέβληται καὶ παντάπασιν αὐτὸς ἔρημος ὢ καὶ λέγειν ἀδύνατος, οἶμαι τὴν ἀλήθειαν ἔχων συναιρομένην καὶ τὴν τῶν δικαζόντων ὑμῶν εὐσέβειαν φανερὰν ὑμῖν καταστήσειν τὴν τῆς ἀνδροφόνου ταύτης μιαιφονίαν. δι' ὧν γὰρ ἂν ἀπολογεῖσθαι*

---

1 *τίς* — 2 *παραμυθία;* om Doxap 2 *ἔτι* om *Vi* 3 *ὑπολαμβάνω BVa* 4 *εὐλογωτάτων H* | *δυνατωτάτοις* Doxap 5 *ἀφειδῶς ἐμαυτὸν* Doxap | *ἔδωκα ἀφειδῶς Vi* 6 *νῦν Ath* | *παρὰ* — 7 *νόμους* om Doxap | *παρὰ Vi* sed *περὶ* suprascr m² 7 *ἀνῃρημένον Vi* sed *ω* supra *ον* m² 8 *γενομένην* scripsi ex *HVViMaClAthBVa* *γεγενημένην M* edd | *καθ' Ma* 9 *ἐλέγξαι M* Mor | *ἐλέγξαι μεθ' ὑμῶν BVa* | *ὅμως γάρ, κἂν* scripsi *ὅπως γὰρ ἂν HClAthBVa* *ὅμως δὲ Vi* *εἰ γὰρ ὅπως ἂν V* sed in ras m², et in marg *B*, edd *εἰ γὰρ ὅπως γὰρ ἂν Ma* sed *εἰ γὰρ* inser m² et *γὰρ*(2) del *κἂν γὰρ M* *εἰ γὰρ* coni Iacobs Lect 140 10 *αἰτία γεγενημένη* scripsi ex *HVVi Ma* sed in hoc *γρ γενομένη* suprascr, *Cl* *αἰτία γενομένη Ath* *γενομένη αἰτία BVaM* edd | *ὑμῖν* coni Mor aut *πολλοὺς ἡμῖν ἔχουσα πολεμεῖ τοὺς συνηγόρους, οὓς ἀπὸ τῶν* scribendum aut *ἡμῖν* delendum coni Re *ὑμῖν ἕλκει τοὺς συνηγόρους οὓς* Iacobs Lect | *ἔχει ViB* 11 *οὓς* inserui ex *HViMaClAthBVa* ut coni Re Iacobs del ras *V* om *M* edd 13 *ὢ* scripsi e *M* *ὢν* reliqui libri edd | *ὅμως ἂν* ante *οἶμαι* inserendum coni Iacobs Lect 14 *τὴν* om Mor | *ὑμῶν Vi* sed *ὑμῖν* in marg m² 15 *ἡμῖν Cl* | *καταστήσειν* scripsi *καταστῆσαι* libri edd | *καὶ* ante *τὴν Vi* 16 *ταύτην M* | *ἂν* om *ViBVa* Re

περὶ τοῦ φόνου καὶ κατηγορεῖν ἡμῶν ἐπιχειρῇ, διὰ τούτων αὐτὴν ἔνοχον οὖσαν τοῖς ἐγκλήμασιν ἐπιδείξομεν.

3. *Θαρρεῖν μὲν οὖν, ὦ ἄνδρες δικασταί, συμβαίνει καὶ δεδιέναι. κρατήσειν μὲν γὰρ ὑπολαμβάνω τὰ πράγματα λογιζόμενος, ὅταν δὲ πάλιν τὴν ἐμαυτοῦ δυστυχίαν ἐνθυμηθῶ, τἀναντία μοι προσδοκᾶν ἔπεισι. δεδυστύχηται μὲν γὰρ ἡμῖν πολλὰ καὶ μεγάλα, τὸ δὲ νῦν τῶν ἄλλων μεῖζον καὶ χαλεπώτερον. ὅπου γὰρ πρὸς τοσοῦτον ἀπανθρωπίας ἅμα καὶ τόλμης ἡ γυνὴ προελήλυθεν ὡς ἀνελεῖν μὲν δι' ἐμὲ τὸν πατέρα, διὰ δὲ τῆς ἀναιρέσεως ἐκείνου κἀμὲ πειρᾶσθαι συκοφαντεῖν, πῶς οὐ βαρὺ μὲν καὶ σχέτλιον, δυστυχὲς δὲ καὶ πάσης ὠμότητος χαλεπώτερον;* 4. *ὅμως δὲ πειρατέον καὶ ταύτην ἀποδιδόναι τῷ πατρὶ τὴν τελευταίαν ἐπικουρίαν. πολὺ γὰρ αἱρετώτερον τὴν ὑπὲρ αὐτοῦ κρίσιν ἀναδεχόμενον, ἐὰν ἄρα συμβῇ τι, παθεῖν ἢ τοῦτο δεδιότα καὶ φυλαττόμενον ἄκριτον ἀπελθεῖν ἐᾶσαι τὴν ἀνδροφόνον. τοῦ μὲν γὰρ ὑπάρξει τὴν τύχην αἰτίαν ὑπολαμβάνειν, τὸ δὲ ἡμέτερον.*

---

4 *προοίμιον δεύτερον H* sed *δεύτερον* abscisum, *VB*[rubr]

---

1 *καὶ* inser *V*[2] om *Vi* | *ἡμῶν Vi* sed *ι* supra *ω* m[2] | *ἐπιχειρεῖ Ma* sed *εῖ* ex *ῇ* corr m[2], *Cl* sed *εῖ* in *ῇ* corr, *BVaM* *ἐπιχειρεῖν Vi* sed *ν* del m[2] 2 *αὐτῶν HViMaClAthBVa* et scribendum coni Iacobs Lect | *ἐγκλήμασι δείξομεν Vi* | *ἐπιδείξωμεν MaCl* 4 *συμβέβηκε Vi* 8 *μὲν* om *ViVaM* 10 *ἅμα* om *Vi* 12 *δὲ* om *Vi* 17 *συμβῇ τι, παθεῖν* scripsi *συμβῇ τί παθεῖν HVViAth* *συμβῇ τι παθεῖν BVa* *συμβῇ, τί παθεῖν M* edd *συμβῇ τι καὶ παθεῖν MaCl* sed in hoc *καὶ* inser m[3] 18 *ἐάσαι HAth* sed in hoc ´ e ˜ corr 19 *τοῦ* — 20 *ἡμέτερον* in marg *Vi*[2] | *τοῦ* scripsi ex *HVVi*[2]*Ma* sed in hoc *γρ τὸ* suprascr m[3], *ClAthBVa* ut coni Re *τὸ M* edd | *ὑπάρξει* scripsi *ὑπάρξαι HVVi*[2]*Ma* sed in hoc *οι* supra *αι*, *ClAthBVa* *ὑπάρξοι M* edd | *ὑπολαμβάνειν αἰτίαν AthBVa*

R IV 744 5. Εἴθε μὲν οὖν ἐγὼ | τοῦ πυρὸς ἔργον ἐκείνου γενόμενος τὸν αὐτὸν ὑπέστην τῇ μητρὶ θάνατον, παντάπασι γὰρ ἂν τῶν μετὰ ταῦτα συμφορῶν τὴν πεῖραν ἐκέρδανα καὶ καλὸν ἐντάφιον ἔχων ἀπεληλύθειν, τὴν ἐπὶ τῇ τοῦ πατρὸς σωτηρίᾳ δόξαν ἀείμνηστον· ἐπειδὴ δὲ τοσούτων καὶ τηλικούτων με πειραθῆναι δυστυχημάτων, ὡς ἔοικεν, εἵμαρτο, τῇ γοῦν τῆς ἀνδροφόνου μιαιφονίᾳ περιπεσὼν ἐβουλόμην ἀπολωλέναι. 6. νῦν μὲν γὰρ τὴν ἐκ τοῦ πράγματος ὑποψίαν φυλαξαμένη οἰκτρότερον ἡμᾶς διεχρήσατο τοῦ πατρὸς αὐτόχειρ γεγενημένη, τότε δὲ κουφοτέραν ἂν ἔσχον τὴν τελευτὴν καὶ τῶν νομιζομένων τυχὼν καὶ τιμωρὸν τοῦ πάθους τὸν ἐμαυτοῦ πατέρα καταλιπών. ὁ μὲν γὰρ ἂν τοῦ παιδὸς ῥᾳδίως τὸν φόνον ἐξήτησε καὶ δίκην ἂν

---

4 cf. ad p. 430, 16. t. VI 337, 9

---

1 [προοίμιον] τρίτον. κατα[σκευὴ] τοῦ προ[οιμ]ίου τούτου *H* προοίμιον τρίτον *VB*rubr 6 κατασκευὴ τοῦ προοιμίου τούτου *B*

M Mor | αἰτίαν om *Vi*² 20 ὑπολαμβάνω *HMa* sed in hoc ειν supra ω m³, *Cl* sed ω ex ειν corr | τοῦ *HVVi*²*Ma* sed in hoc γρ τὸ suprascr m³, *ClAthBVa* | ἡμετέραν *HVVi*²*Ma* sed in hoc ἡμέτερον suprascr m³, *ClAthBVa*

1 ἐγὼ om *BVa* | ἐκείνου om *Vi* 3 παντάπασι — 4 ἐκέρδανα praemisso Λιβάνιος citat Andr. Lopad. lex. Vind. s. v. ἐκέρδανε τὴν συμφορὰν ἀντὶ τοῦ ἐξέφυγε p. 58, 13 ed. Nauck | μεταταῦτα *VViMaClBVaM* Lopad edd 4 ἐκέρδανα (ον suprascr) *M* ἐκέρδανον *MaCl* 5 τῇ inser *Va*² et in marg *Vi*² | σωτηρίαν *Vi* sed ν del m² 6 με om *Vi* 9 ἂν ante τὴν *Va* 10 οἰκτρότερον scripsi ut coni Mor et Iacobs Lect οἰκειότερον libri edd | πατρὸς *Ma* sed πράγματος in marg m³ 11 δὴ *Vi* sed δὲ in marg m² | κουφότερον *Vi* sed κουφοτέραν suprascr m², *M* Mor | εἶχον *Cl*² 13 γὰρ ἂν] ἄνευ *Vi* 14 ἐξήτησεν *Ma* | ἂν om *BVa*

ἔλαβε τὴν προσήκουσαν· νυνὶ δὲ τὴν ἐκείνῳ συμβᾶσαν ἀπώλειαν οὐκ ἂν εὐχερῶς, οἶμαι, διελέγξειν ἐπίστευσα τῶν ὀφθαλμῶν παντελῶς ἀφηρημένος, εἰ μὴ παντάπασιν ἡ τῆς μιαιφονίας ἐπιβουλὴ προφανὴς ὑπῆρχε καὶ τοῖς οὕτω διακειμένοις.

7. *Δυστυχὴς μὲν οὖν ὁ πατήρ, ἐγὼ δὲ δυστυχέστερος. ὁ μὲν γὰρ πάντας ἀνθρώπους κακοδαιμονίᾳ νενίκηκε, πολὺ δὲ τοῦ πατρὸς ὁ παῖς ἀθλιώτερος. αὐτὸς γὰρ ἐμαυτῷ τῶν συμφορῶν αἴτιος, | αὐτὸς ἐμαυ-* R IV 745 *τῷ τὴν μητρυιὰν ἐπεισήγαγον, εἴτε δὲ παρανοίας εἴτε δυστυχίας κατηγορεῖν ἐμαυτοῦ δικαίως ἐπὶ τούτοις οὐκ ἂν ὀκνήσαιμι.* 8. *καὶ μηδεὶς τὸ παράδοξον λογιζόμενος ἀπιστείτω τοῖς εἰρημένοις, ἐρῶ γὰρ ὑμῖν τὴν τῆς ἀτοπίας πρόφασιν μικρὸν ὕστερον, ὅσοι μὲν γὰρ τῶν ἡμετέρων πραγμάτων τὴν ἀκριβῆ γνῶσιν οὐ παρειλήφασι, τὸν πατέρα τούτων ἡμῖν αἴτιον γεγενῆσθαι νομίζουσιν, ὅσοι δὲ τὰ καθ' ἡμᾶς ἴσασιν ἀκριβέστερον,*

---

6 *κατα[σκευὴ τ]οῦ προ[οιμίου το]ύτου H* 12 *τὸ αὐτὸ ἐμαυτῷ τὴν μητρυιὰν ἐπεισάγειν M^m τὸ βιάζεσθαί* (*βιάσασθαί* Mor) *με μητρυιὰν ἐπαγαγεῖν μοι Ma^3* Mor

---

1 *νῦν H* | *συμβᾶσαν* scripsi ex *HV* (*συμβάσαν*) *ViMaClAth B* *ξυμβᾶσαν VaM* edd 2 *εὐχερῶς Va* sed *ῶς* in ras m[2] 3 *ἀφηρημένοσ Va* sed *σ* ex *ν* corr m[3] 4 *ὑπῆρχεν Ma* 7 *νενίκηκεν Ma* 8 *τοῦ* om *Vi* | *αὐτὸς Va* sed *τὸς* in ras m[2] 9 *ἑαυτῶ Vi* sed *ἐμαυτῶ* in marg m[2] | *τῶν — ἐμαυτῷ* om *Ath* 10 *τὴν* om *HVViMaCl „non male omittit B(avaricus) articulum τὴν“* Re | *μητρυὰν H* | *δὲ* om *Vi* | *παροινίας HVMa ClAth* | *ἢ MaCl* 11 *τούτοις* scripsi ex *HViMaClAthBVa* sed in hoc *ἐπὶ τούτοις* in marg m[2] *τοιούτοις VM* edd 12 *τὸ* scripsi auctore Re *τί* vel *τι* libri edd 13 *τοῖς εἰρημένοις* om *Vi* | *γὰρ* om *H* *δὲ V* | *τὴν* om *Ath* 15 *παρειλήφασιν Ma* 16 *τούτων Ma* sed *ύ* et *ων* in ras m[3] | *αἴτιον* inser *Va^2* 17 *πιστεύουσιν Vi* sed *νομίζουσιν* in marg m[2] | *ἀκριβῶς ViMaCl*

ἐμοὶ τὴν αἰτίαν εἰκότως λογίζονται. κἂν ὑμῖν ἄνωθεν ἅπαντα διηγήσωμαι, καὶ αὐτοὶ ῥᾳδίως ὁμολογήσετε.

9. *Διὸ δὴ καὶ πάντων ἀνθρώπων ἐμαυτὸν νενόμικα δυστυχέστατον. τὰ μὲν γὰρ πρῶτά μοι τῆς ἡλικίας ζηλωτὰ καὶ περίβλεπτα, πατὴρ φιλόπαις, μήτηρ παραπλησία, βίος εὐδαίμων, αὐτάρκης περιουσία, τὰ δὲ νῦν βέλτιον σιωπᾶν. αὐτὰ γὰρ ὑμῖν τὰ δυστυχήματα παντὸς λόγου δείκνυσιν ἐναργέστερον.* 10. *τὸ δὲ κεφάλαιον τῶν συμφορῶν, ὁ πατὴρ ἐκεῖνος ἀνήρπασται καὶ τέθνηκεν, ὦ Ζεῦ καὶ Ἥλιε, διὰ τὴν περὶ ἡμᾶς ὑπερβάλλουσαν εὔνοιαν, ὁ μόνος φιλόπαις, ὁ πάντας τοὺς πώποτε πατέρας ὑπερβαλόμενος. τίς γὰρ ἐκείνῳ παραπλησίως ἀνέθρεψε; τίς ἐλευθερίως οὕτως ἐπαίδευσε; ποίων μὲν προσηκόντων διδασκαλείων ἀπείρατον |* R IV 746 *εἴασε; ποίων δὲ λόγων καλῶν τε καὶ χρησίμων ἀνήκοον;* 11. *πάντα μὲν οὖν τὰ μαθήματα ⟨τὰ⟩ λαμπρὰ τοῖς εὖ φρονοῦσι καὶ περισπούδαστα, θεοὺς*

1 cf. ad p. 128, 4 | cf. ad t. III 453, 5   10 cf. ad p. 693, 7

4 *προκατάστασις ἤτοι (καὶ B) προδιήγησις M*rubr *Ma*3 *B*rubr *προκατάστασις* Mor

1 *ἅπαντα ἄνωθεν ViBVa* 2 *διηγήσωμαι Va* sed ω corr m2 | *ὁμολογήσετε Va* sed *σετε* in ras m2 *ὁμολογήσεται H* 4 *δυστυχέστερον HV* | *γὰρ* inserui ex *HVViMaAthB* sed in hoc inser rubr om *ClVaM* edd 7 *ἡμῖν HVVi* 8 *δείκνυσιν* scripsi ex *HVViMaCl* cum Bastio ep. crit. 136 *δεικνύει AthB VaM* edd 11 *μόνος Va* sed ο(1) in ras 2—3 litt m2 12 *ὑπερβαλλόμενος HVViMa* sed in hoc λ(2) inser m2, *ClBVa* 13 *ἀνέθρεψε Vi* sed υ supra ε m2 *ἀνέθρεψεν Ma ἂν ἔθρεψε Va* Re | *ἐλευθερίαν Ath* 14 *διδασκαλίων HVMa* sed in hoc ει supra ι(2) m3 | *ἀπείραστον Vi* sed τ supra στ m2, *MaCl ἄπειρον HV* 15 *εἴασεν Ma* | *τε* om *HV* 16 *μὲν οὖν* scripsi ex *HVMaClAthM μενοῦν ViBVa* edd | *τὰ* inserui om libri edd sed „*post μαθήματα videtur ἃ vel τὰ deesse*“ Re 17 *ἀρετὴν μετιέναι* post *περισπούδαστα M* edd, post *θεοὺς θεραπεύειν* in marg *Ma*3 delevi | *θεοὺς θεραπεύειν* om *M*

θεραπεύειν, φιλανθρωπίαν ἀσπάζεσθαι, τοὺς συγγενεῖς ἀγαπᾶν, τοῖς δεομένοις ἐπικουρεῖν, αἰδεῖσθαι τοὺς τῷ χρόνῳ προειληφότας καὶ μηδὲν ἄδικον διαπράττεσθαι, τῶν δὲ πραττομένων ἔφορον εἶναι τὴν Δίκην, νομίζοντας τῶν μὲν ἀνθρωπίνων ἁμαρτημάτων ἀπέχεσθαι, σπουδῇ δὲ μετιέναι τὰ κάλλιστα, ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια τῇ τοῦ πατρὸς ἐπιμελείᾳ μανθάνων ἐπαιδευόμην. 12. τὸ δὲ δὴ μέγιστον τῶν μαθημάτων καὶ τιμιώτατον, περὶ οὗ πολλὰ μὲν εἴρηται ποιηταῖς τε καὶ λογογράφοις, πλείω δὲ διεξήεσαν οἱ παιδεύοντες ἐπαινοῦντες μὲν ὡς εὐσεβές τε καὶ θεῖον, εὐδαίμονας δὲ τοὺς τὸ μάθημα τοῦτο τοῖς ἔργοις ἐπαληθεύοντας καὶ μακαρίους πολλάκις ἐπονομάζοντες, τί τοῦτο λέγω; τιμᾶν θεοὺς οὓς δεῖ μάλιστα, τοὺς γονέας θεραπεύειν μετ' ἐκείνους, προνοεῖν τῶν πατέρων καὶ κήδεσθαι, πάντα τρόπον ἐκείνοις εἶναι κεχαρισμένον, γηρωκομεῖν, ἀποδιδόναι τὰ πρέποντα χαριστήρια, μὴ συγχωρεῖν,

---

4 cf. p. 689, 15; 686, 10. Solon. el. fr. 4, 14 apud Dem. fals. leg. p. 422, 10 sq. 9 cf. t. V 52, 6 12 Thuc. IV 85, 1; VIII 52, 2 15 cf. p. 591, 6; t. V 107, 10 sq.

---

3 μὲν post μηδὲν *ViMaClBVa* edd delevi 4 νομίζειν *Vi* sed νομίζοντας in marg m² 5 ἀπέχεσθαι *Vi* sed ἀπέσχεσθαι in marg m² 7 τῇ om *Vi* 9 εἴρητο *MaCl* | τε om *Va* 10 διεξίασιν *HV* 11 ἐπαινοῦντες in marg *Vi*³ | ὡς inserui ex *HVViMaClAthBM* om *Va* edd 12 τούτοις *Vi* | ἐπαληθεύοντας reposui e libris ἐπαληθεύοντες edd 13 ἐπονομάζοντες *Va* sed τες in ras m² | λέγων *Vi* 14 οὓς scripsi ex *HVMaClAthBM* μεθ' οὓς *Vi* ὡς *Va* edd ὡς ἔνι μάλιστα Iacobs App. Pors. Adv. 293 Lect | ἔδει *HVVi* 15 μετ' om *Vi* 16 ἐκείνους Re | κεχαρισμένοις *H* „*malim* κεχαρισμένος, *tametsi accusativus quoque ferri possit*“ Re | γηρωκομεῖν scripsi ex *HVViMaCl* sed in hoc ω ex ο corr, *AthVaM* γηροκομεῖν *B* edd cf. p. 660, 9; 663, 2; 664, 6; t. VI 563, 20; I 112, 2; VI 90, 7; VII 269, 12; 562, 11. Lobeck. Phryn. p. 692 sq. | γηροτροφεῖν post γηρωκομεῖν *ViMaCl*

ἂν ὑβρίζῃ τις, ἂν ἀδικῇ τις, ἐπεξιέναι, κἂν κίνδυνος, κἂν τεθνάναι συμβαίνῃ, φέρειν ἀσμένως. εὐχῆς γὰρ ἄξιος ἐκεῖνος ὁ θάνατος καὶ περισπούδαστος ὑπὲρ πατέρων γινόμενος.

13. *Τούτοις, ὦ ἄνδρες δικασταί, τοῖς μαθήμασι* R IV 747 *παιδευόμενος ἐπεμελούμην, | ἐφρόντιζον, ἐθεράπευον, ἐκηδόμην. εἰ περιῆν ὁ πατήρ, αὐτὸς ἂν ὑμῖν διηγήσατο τὴν πολλὴν κηδεμονίαν, τὴν εὔνοιαν, τὰς φροντίδας, τὴν ἐπιμέλειαν. οὐδένα γὰρ χρόνον ἡσύχαζον πράττων καὶ λέγων ἃ λυσιτελεῖν ἐκείνοις ἐνόμιζον, μᾶλλον δὲ ταῦτα διαπραττόμενος ἐμαυτῷ τὸ συμφέρον ἐβουλευόμην. ὅσοι γὰρ τοὺς ἑαυτῶν πατέρας τὰ πρέποντα θεραπεύουσι, δι' αὐτῶν ὧν κηδόμενοι πράττουσι τὴν προσήκουσαν χάριν κομίζονται.* 14. *καὶ τί δεῖ καθ' ἕκαστον λέγειν ἐξὸν ἑνὶ τεκμηρίῳ δηλῶσαι τὴν ὑπερβάλλουσαν σπουδήν τε καὶ προθυμίαν; ὡς γὰρ ἡ Τύχη καὶ τὸ δαιμόνιον ἀφορμὴν ἡμῖν παρέδωκαν ἀβούλητον μέν, ὅμως δὲ μόνην ἱκανὴν παιδὸς ἀγαθοῦ καὶ κηδεμόνος ἐπιδεῖξαι προαίρεσιν, οὐκ ἐμέλ-*

---

8 cf. t. III 156, 18; 231, 21

---

1 *τίς HViMaAth* | *τίς HMa* | *κίνδυνον HVMaClAthB κίνδυνον ὑπομένειν Vi* 2 *τεθναίην Vi* sed *τεθνάναι* in marg m² | *συμβαίη HVViMaClAthBM* Re *συμβαίνει Va* 4 *γενόμενος Vi* 7 *εἰ περιῆν Cl* sed *περιῆν* e *περὶ ἦν* corr m² *εἴπερ ἦν ViBVa* | *ὑμῖν* om *Cl* Re *ἡμῖν M* 9 *γὰρ* inser *Va²*
10 *ἐκείνοις* scripsi ex *HVViMa* sed in hoc *γρ γονεῦσιν* in marg m³, *ClAthBVa* *τοῖς γονεῦσιν* (*γονεῦσι* edd) *M* edd 14 *προσήκουσαν Ma* sed *προσηκ* in ras m³ | *κομίζονται Vi* sed *νομίζονται* in marg m² 15 *δεῖ* om *H* inser *V²*, post *καθέκαστον Vi*, post *λέγειν Ath* | *καθ' ἕκαστον* scripsi e *Par* *καθέκαστον* reliqui libri edd 17 *παρέδωκαν* scripsi ex *HV* *παρέδωκεν* reliqui libri edd 18 *μόνην* in marg *Vi²* 19 *ἐπιδείξασθαι Ath* | *ἐμέλησα HCl* *ἐμέλησα Ath* (η suprascr.) *ἠμέλησα ViMa* sed in hoc η(1) in ras m³

λησα πρὸς τὸν κίνδυνον οὐδὲ τὸ μέγεθος τοῦ τολμήματος λογισάμενος εὐλαβέστερον διετέθην, τεθνάναι δὲ βέλτιον ἡγησάμενος ἢ περιιδεῖν τοὺς γονέας ἀπολλυμένους καὶ μόνον τοῦτον τὸν κίνδυνον ζηλωτὸν νομίσας καὶ περιμάχητον διέσωσα μὲν τὸν πατέρα πυρὶ παντοχόθεν κατειλημμένον. 15. *ᾧ προτέρῳ βοηθεῖν ἐδόκει μοι δικαιότερον, ἀμφοτέροις γὰρ ἅμα βουλόμενος ἐμαυτὸν ἑώρων ἀδυνατώτερον, ὑπὲρ δὲ τῆς μητρὸς τὴν αὐτὴν προθυμίαν ἐπιδειξάμενος καὶ τοῦ σῶσαι τὴν ἀθλίαν διήμαρτον τοῦ πυρὸς κυριωτέρου γεγενημένου καὶ τῶν ὀφθαλμῶν ἀφῃρέθην φιλονεικότερον ἐκείνῳ μαχόμενος.* 16. *τούτων δὲ οὕτω γεγενημένων καὶ τῆς μητρός, ὡς ἔφην, ἀπολωλυίας ὁ μὲν χρηστὸς ἐκεῖνος πατὴρ καὶ περὶ τοὺς οἰκείους εὐνοϊκώτατος ὁμοῦ μὲν τὴν ἐκείνης ἀπώλειαν, ὁμοῦ δὲ τὴν συμφορὰν τὴν ἐμὴν ὀδυρόμενος χαλεπώτερον τὸ κατ' ἐμὲ πάθος θρηνῶν καὶ στένων δῆλος ἦν, ἐγὼ δὲ τὴν μητέρα συνοδυρόμενος παρεμυθούμην ⟨ἐπ'⟩ ἐμαυτῷ τὸν πατέρα· δεινὸν μέν, ὦ | πάτερ, τὸ πάθος,* R IV 748 *ἔχει δέ τι καὶ φιλοτιμίας· τὴν γὰρ πρόφασιν λογιζόμενος κουφότερον φέρω τὴν συμφοράν.*

---

2 *εὐλαβέστερον Va* sed *α* supra *ον* m² | *διετέθην* Mor sed *γρ διεθέμην* in marg *διεθέμην Va* sed *γρ διετέθην* in marg m² 3 *ἤπερ ἰδεῖν HVi* 4 *μόνον Vi* sed *μένον* in marg m² | *τὸν* om *HV* | *νομίσας ζηλωτόν τε καὶ περισπούδαστον HV* 6 *μοι βοηθεῖν ἐδόκει Vi* 7 *ἀμφοτέροις* — 8 *ἀδυνατώτερον* om *Ath* 8 *ἀδυνατώτερον* scripsi ex *HVViMaClAthBVa ἀδύνατον M* edd 12 *ὡς ἔφην* post *οὕτω*, non post *μητρός Vi* 14 *οἰκείους* scripsi ex *HVViMa* sed in hoc *γρ περὶ τοὺς παῖδας* in marg m³, *ClBVa* sed in hoc *γρ παῖδας* in marg m² *παῖδας AthM* edd 18 *ἐπ'* inserui auctore Iacobsio Lect om libri edd sed „*aut supervacaneum est ἐμαυτῷ aut deest ὡς ἐνῆν vel potius, quod nunc video, ἐμαυτῷ deducendum in versum inferiorem et legendum ἔχει δέ τι καὶ ἐμαυτῷ φιλοτιμίας*“ Re 21 *κουφότερον* scripsi *κουφοτέραν* libri edd

ὑπόμνημα γὰρ αὕτη καὶ γνώρισμα τῆς περὶ ὑμᾶς εὐνοίας καὶ προθυμίας. 17. ὡς δὲ τῶν ἐπὶ τῇ μητρὶ θρήνων ἀπέστημεν καὶ πολὺς μετὰ ταῦτα χρόνος διεληλύθει, καιρός, ὦ παῖ, περὶ τῶν κατειληφότων, ἔφη, βουλεύεσθαι, καιρὸς ἡμῖν διαγνῶναι τὸ παριστάμενον. ἐγὼ μὲν ἤδη ταύτην ἄγω τὴν ἡλικίαν, σὲ δὲ πολλῆς τινος ἐπιμελείας ὁρῶ δεόμενον. τίς οὖν καὶ σὲ θεραπεύσει κἀμὲ γηρωκομήσει; καλὸν ἀγαγέσθαι σοι γύναιον. χρήσιμον ἀμφοτέροις τὸ διανόημα. 18. ταῦτα λέγοντος ἐκείνου πολλάκις οὐκ εὐφημήσεις, ὦ πάτερ, ἔφην, καὶ συγχωρήσεις ῥᾳδίως μοι φέρειν τὴν συμφοράν; οἷς γὰρ νῦν λέγειν ἐπιχειρεῖς, τούτοις μοι βαρυτέραν ἀποφαίνεις τὴν δυστυχίαν τὴν μνήμην ἀνακινῶν τοῦ πάθους καὶ τὴν ἐνοῦσαν δυσχέρειαν τῷ καθ' ἡμᾶς ἀτυχήματι φέρων εἰς μέσον. γυναικὸς ἀνάσχωμαι, πάτερ, γυναικὸς οὑτωσὶ διακείμενος; ἵνα ποί-

10 cf. p. 686, 7

2 ὑμᾶς *MaVa* sed υ in ras *Ma*³*Va*² ἡμᾶς *V* sed η in ras m², *Cl* 3 μεταταῦτα *VViMaClBVaM* edd 4 ἔφη post καιρός, non post κατειληφότων *Vi* 5 βουλεύεσθαι scripsi ex *HVViMaCl* βουλεύσασθαι *AthBVaM* edd 6 δὲ *Vi* 7 τὴν ἡλικίαν ταύτην ἄγω *MaCl* 9 γηρωκομήσει scripsi ex *HVViMaClAth* γηρωβοσκήσει *BVaM* γηροβοσκήσει edd cf. ad p. 657, 16
11 εὐφημίσεις *B* | ἔλεγον post εὐφημήσεις, non ἔφην post πάτερ *Vi* ἔφην post εὐφημήσεις, non post πάτερ *Ath* 12 ἔφην om *HVCl* sed in hoc post συγχωρήσεις inser post συγχωρήσεις, non post πάτερ *Ma* 13 γὰρ om *HV* | μοι post νῦν *BVaM* edd delevi 14 ὑποφαίνεις *ViCl* sed in hoc ὑ ex ἀ corr m² 15 ἀνακινῶν *Vi* sed κε supra κι m² 16 ἡμῶν *Vi* sed ᾶς suprascr m² 17 οὐκ ante ἀνέχομαι *Vi* | ἀνάσχομαι *B* 18 γυναικὸς inser *Vi*² | οὑτωσὶ *Ma* sed σὶ in ras m² οὕτω σοι *HVi* sed in hoc σοι in marg m² inser, *Cl* | ἵνα om *Vi*

οις μὲν ὀφθαλμοῖς αὐτὴν θεάσωμαι, ποίαις δὲ θεασάμενος ὄψεσι τῇ συνεχεῖ θέᾳ τὴν πρὸς αὐτὴν εὔνοιαν βεβαιώσωμαι; διὰ γὰρ τούτων ἀρχὴ μὲν εὐνοίας καὶ συνηθείας, ἀρχὴ δὲ φιλίας καὶ πόθου καὶ τῶν καλλίστων ἁπάντων πέφυκε γίνεσθαι. 19. *πῶς οὖν τοῦ βλέπειν ἐστερημένος τυγχάνειν τούτων δυνήσομαι; πῶς δέ με τὸ γύναιον οὕτω διακείμενον ὄψεται; πῶς εὐνοήσει; πῶς οὖν ἡμῖν ὁμοφροσύνη γενήσεται; τί δέ* | *μοι τῆς ἀθεάτου κοινωνίας γένοιτ' ἂν* R IV 749 *ὄφελος; παίδων γένεσις, εἴποι τις ἄν. τοῦτο μὲν οὖν καὶ κωλύει μᾶλλον τὸν γάμον.* 20. *οὐκ εὐτυχές, ἔφην, ὦ πάτερ, τὸ σπουδαζόμενον. ἡδὺ μὲν γὰρ χρῆμα καὶ τιμιώτατον παῖδες ὃν προσήκει τρόπον προῃρημένοι καὶ μετ' εὐνοίας κήδεσθαι τῶν γονέων δεδιδαγμένοι καὶ πεφυκότες, ἀλλὰ τοῖς ὁρῶσι καὶ τὴν τοῦ κτήματος ἔχειν ἀπόλαυσιν δυναμένοις. ἐμοὶ δὲ τίς ὠφέλεια, τίς ὄνησις μήτε προσβλέπειν μήτε γινώ-*

---

12 *τὸ μὲν οὖν ἀντὶ τοῦ δὲ M^{m}Ma^3*

---

1 *αὐτὴν ὀφθαλμοῖς Ma* sed *η* ex *ο* corr m^3, *ClM* | *αὐτὴν* om *Va* | *θεάσομαι Vi* 2 *τῇ συνεχεῖ θέᾳ* in marg *Vi*^{2} 3 *ὁμιλίαν M* sed *γρ εὔνοιαν* in marg | *βεβαιώσωμαι* scripsi e *Par* *βεβαιώσομαι* reliqui libri edd 6 *γίγνεσθαι AthVaM* edd 7 *τούτον Ath* 9 *πῶς*] *πόθεν Ath* | *οὖν* inserui ex *H VViMaCl* om *AthBVaM* edd sed „*non male B*(*avaricus*) *πῶς οὖν*" Re | *εὐφροσύνη Vi* sed *ὁμο* in marg m^2 10 *ἐκγάμου Vi* sed *ἀθανάτου* in marg m^2 11 *γέννησις Vi* | *εἴπῃ HV* | *τίς HVi* 12 *μᾶλλον* inserui ex *HVViMaClAthBVa* om *M* edd sed „*W*(*olf.*) *et B*(*av.*) *post κωλύει addunt μᾶλλον. Laudo factum, nisi quod ante κωλύει id addi malim*" Re 15 *προηρημένοι Ma* sed *η* in ras 2—3 litt m^3 16 *δεδιδαγμένοι Va* sed *δαγμένοι* in ras m^2 18 *ἀπόλαυσιν Ma* sed ´ et *σιν* in ras m^3 19 *προβλέπειν ClBVa* Re | *γιγνώσκειν Ma*

σκειν αὐτοὺς δυναμένῳ, τυφλῷ δὲ καὶ κακοδαίμονι καὶ τῶν ἀγαθῶν πάντων ἐστερημένῳ; τίς γὰρ ὅμοιος ἔσται μοι τῶν παίδων; οὐκ ὄψομαι. τίς τοῖς πατράσιν ἢ τοῖς προγόνοις, τίς δέ μοι μᾶλλον κεχαρισμένος; ἀνιῶμαι ταῦτα λέγειν ἀναγκαζόμενος καὶ τῆς συμφορᾶς τὸ δεινότατον λογιζόμενος. 21. *ἀλλ' ἵνα τὸν κλῆρον αὐτοῖς καταλίπω; τοῖς ἀγνώστοις; τοῖς ἀλλοτρίοις; ὑπόπτους γὰρ αὐτοὺς ἡγήσομαι καὶ νόθους. ἔχω προσφιλέστερον κληρονόμον τὸν δῆμον, τὴν πόλιν. ἀναλώσω τὸν κλῆρον εἰς τὰ κοινῇ τῇ πατρίδι συμφέροντα χορηγῶν, εἰσφέρων, ἐπιδιδούς, προϊέμενος, νῦν μὲν ἰδίᾳ, νῦν δὲ κοινῇ παρέχων ἐμαυτὸν χρήσιμον. λειτουργήσω τοῖς χρήμασι, τὸ σώματι γὰρ προαφῄρημαι. διὰ τούτων ἐκτίσω τῇ πατρίδι τὸ χρέος καὶ πολίτης ἔσομαι κατὰ δύναμιν χρησιμώτατος.* 22. *τίς οὖν ἐμὲ θεραπεύσει; τίς σὲ γηρωβοσκήσει; τίς ἀμφοτέροις πληρώσει τὴν ἐπιμέλειαν; αὐτός, ὦ πάτερ, ἀγαγοῦ. πρεσβύτης μὲν γὰρ ἤδη καὶ*

13 cf. ad t. V 75, 18

1 *τυφλῷ* — 2 *ἐστερημένῳ* om *HV* | *δὲ*] *τε* Sintenis 2 *καλῶν Vi* sed *ἀγαθῶν* in marg m[2] | *ἁπάντων ViMaCl* 3 *γὰρ ὅμοιος Ma* sed *παρόμοιος* suprascr m[3] *παρόμοιος HV Ath* 4 *τίς δέ μοι* in marg *Vi*[2] 6 *δεινότατον* scripsi e *Vi* ut coni Re *δεινότερον* reliqui libri et suprascr *Vi*[2], edd 9 *ἂν Vi* sed *γὰρ* in marg m[2] | *καὶ νόθους ἡγήσομαι HV* 10 *προσφιλέστατον ViBVa* | *τὸν δῆμον κληρονόμον Vi* 11 *κοινῇ* scripsi *κοινῆ* libri sed *ῆ* ex *ὰ* corr *M* *κοινὰ* edd 12 *τῇ πατρίδι* scripsi ex *HVViMaClAth* *τῆς πατρίδος BVaM* edd 15 *τὸ* scripsi *τῷ* libri sed *ῷ* ex *ὸ* corr *Ma*[3], edd 17 *καταδύναμιν Ath* 18 *σε* inser *Cl* *τε Ma* | *γηροβοσκήσει Vi* *γηρωκομήσει Ma* 20 *ὦ* om *M* | *ἀγαγοῦ Ma* sed *γ* (2) et ˜ in ras m[3] *ἀγάγου HVClAthBVaM* edd

γέρων, δέῃ δὲ γυναικὸς οὐ παιδοποιοῦ μᾶλλον ἢ γηρωκόμου, πολλαὶ δὲ τοιαῦται κατὰ τὴν πόλιν. 23. *οἶδα μὲν οὖν ὡς δεινόν τι χρῆμα μητρυιὰ καὶ φύσει πολέμιον, | ἱκανὴ μὲρ γὰρ* R IV 750 *ἐπιβουλεῦσαι καὶ διαφθεῖραι παντάπασιν οἶκον εὐδαίμονα, δεινὴ δὲ διαβολαῖς ἀνοσίοις καὶ σκευωρήμασιν ἢ φαρμακείαις καὶ μαγγανεύμασι διαλῦσαι μὲν πατρικὴν εὔνοιαν, ἐκπολεμῶσαι δὲ τὰ γένη πρὸς ἄλληλα καὶ πάντα τρόπον μίση μηχανήσασθαι τῶν φιλτάτων. ἔχει δέ τι καὶ μιαιφόνον καὶ τραγικῆς σκηνῆς ἄξιον. μεστὰ γοῦν τούτων τὰ δράματα, πλήρης δὲ τῶν ἀνθρώπων ὁ βίος.* 24. *ὅμως δὲ συμβουλεύσεις αὐτῇ καὶ παραινέσεις καὶ νουθετῶν ποιήσεις ἡμερωτέραν, κἂν ἡ φύσις πρὸς τὰ χείρω βιάζηται, μάτην δὲ διελέγξεις ἐπιβουλεύουσαν. οὔτε γὰρ*

---

7 cf. t. I 189, 18; IV 136, 12. Plat. leg. XI p. 932 E sq. 11 Hypoth. ad Eur. Hippol.

---

7 *φαρμακεία ἡ διὰ φαρμάκων γενομένη μαγεία, μαγγανεία δὲ ἡ δι' ἐπῳδῶν Ma*[3] *Wolf* cf. schol. Il. α 86. Suid. s. v. *γοητεία* 12 *τὸ γοῦν ἐνταῦθα ἀντὶ τοῦ γάρ M*[m]*Ma*[3]

---

2 *δὲ* reposui e libris *καὶ* edd | *τὴν* om *Ma* inser *Cl*[2] | *γνώμην Vi* 3 *οἶμαι Ma* sed *γρ καὶ οἶδα* in marg m[3] | *χρῆμα* inserui ex *HVMaClAthBVa* om *ViM* edd 6 *ἀνοσίαις HV Vi* 7 *σκαιωρήμασιν Ma* sed *ευ* supra *αι* m[3], *Cl* sed *αι* in ras m[3] cf. ad p. 680, 11 et ad p. 325, 15 | *μαγγανεύμασι Ma* sed *γρ μαγεύμασι* suprascr m[3] *μαγκανείας B* 8 *καὶ* ante *διαλῦσαι HV* | *ἐκπολεμῆσαι HVCl* sed *η* in *ω* corr *V*[2]*Cl*[2] 9 *δὲ*] *τὲ HMaClAth* | *γένη Ma* sed *γρ μέρη* in marg m[2] *μέρη Vi* | *μίση Vi* sed *μέση* in marg m[2] *μίσση Ma* 10 *μηχανῆσαι Vi* sed *μηχανήσασθαι* in marg m[2] 11 *μιαιφόνου B* | *σκηνῆς*] *μρικῆς καὶ πρικῆς Vi* | *μεστὰ Cl* sed *εστὰ* in ras m[2] 12 *δρά ματα* cum ras 1 litt ante *μ Va* 14 *ἡμερωτάτην HV* 15 *βιάζηται Ma* sed *η* in ras m[3] 16 *διελέγξεις Va* sed *γξ* in ras m[2] *ἐλέγξεις H* *ἐλέγξης V* | *οὔτε* — 664, 1 *μηχα-*

ἀνέξῃ μηχανωμένης οὔτε πεισθήσῃ διαβολαῖς ἢ λόγοις κατὰ τοῦ παιδὸς συγκειμένοις. ἀκριβῶς οἶδα τὴν σὴν περὶ ἡμᾶς εὔνοιαν, ἀκριβέστερον δὲ καὶ αὐτὸς ἡμῶν πεπείρασαι.

25. *Πεισθεὶς ὁ πατὴρ ἠγάγετο. τούτοις δ' ἑπόμενος αὐτόχειρα μᾶλλον ἢ γηρωκόμον ἔλαθεν ἀγαγόμενος. οὕτω τῶν συμφορῶν ἐμαυτῷ καὶ τῶν κατειληφότων κακῶν αἴτιος ἐγενόμην. ἅμα τε γὰρ εἰς τὴν οἰκίαν εἰσεληλύθει καὶ παραχρῆμα μυρίαι τε φαρμακεῖαι καὶ σκευωρήματα καὶ τὸ δεινότατον, φόνος ἀνοσιώτατος.* 26. *ἡ δὲ πρὸς τοσοῦτον ὠμότητος ἅμα καὶ δυσσεβείας ἐλήλυθεν ὡς ἀνελεῖν μὲν ἐκεῖνον καὶ φόνον ἀνήμερον διαπράξασθαι, τολμᾶν δὲ τῆς ἀναιρέσεως ἐκείνου τῷ παιδὶ προσάγειν τὸ ἔγκλημα. κρινομένη γοῦν ἐφ' οἷς*

νωμένης praemissis verbis *ἀνέχεται δὲ παθητικῶς ἀντὶ τοῦ ὑπομένει· καὶ συντάσσεται κοινῶς μὲν γενικῇ. Λιβάνιος* citat Andr. Lopad. lex. Vindob. s. v. *ἀνέχει* p. 17, 8 ed. Nauck

1 *μηχανωμένην Vi μαχομένης HV* 2 *ἢ* scripsi ex *HV ViMa* sed in hoc *γρ καὶ ἐν* suprascr m[3], *ClAth καὶ BVaM* edd | *συγκειμένης VaM* 4 *καὶ* om *HVMaCl* 5 punctum posui post *ἠγάγετο* ex *HMaAth* om reliqui libri edd | *δ'* inserui om libri edd at „*fort. ἀλλ' αὐτόχειρα*" Re 6 *αὐτόχειρα — ἀγαγόμενος* om *Vi* | *ἀγόμενος HV* 7 *ἐκεῖνον* ante *κατειληφότων* inserendum coni Re at cf. p. 660, 4 9 *τε* scripsi *τὲ HVVi μὲν MaClAthBVaM* edd | *φαρμακίαι BVa* 10 *σκαιωρήματα Ma* sed *ευ* supra *αι* m[3], *Cl* cf. ad p. 663, 7 11 *ἡ δὲ* — 666, 5 *πεπεισμένος* praemissis verbis *τῶν λεγομένων παράδειγμα λάβοις ἂν ἐκ τοῦ λιβανίου ἐν τῷ τοῦ πηροῦ (πονηροῦ* codd.) *ζητήματι, ἐν ᾧ ἀντεγκαλοῦσιν ἀλλήλοις φόνον ὅ τε πηρὸς καὶ ἡ μητρυιά. ἐν τούτῳ γὰρ ὁ λιβάνιος — κέχρηται ἐν ταὐτῷ δυσὶν ἐπιχειρήμασιν ἀπὸ μιᾶς περιστάσεως τῆς τοῦ προσώπου. ἔχει γοῦν παρ' ἐκείνῳ ταῦτα οὕτως·* citat Io. Doxap. ad Hermog. de inv. III 5 *πολλάκις — ἐποίησεν* Rhet. gr. III 116, 18—20 ed. Walz. = II 216, 3—6 ed. Spengel. cod. Vat. fol. 265[v]. Bar. fol. 131[v] | *ἆρα* Doxap 13 *τῷ παιδὶ* scripsi ex *HVVi* Doxap *ἐμοὶ MaClAth* sed in hoc *γρ τῶ παιδὶ* in marg, *BVa M* edd 14 *γοῦν* om *Vi* | *οἷς* inser *Ma*[3]

ἐτόλμησεν ἐμὲ κρίνειν ἐπιχειρεῖ καὶ τὸν σεαυτοῦ πατέρα, φησίν, ἀπέκτεινας. 27. *ἐγὼ τὸν πατέρα τὸν ἐμαυτοῦ; τοῦτό μοι τῶν ἀνηκέστων συμφορῶν χαλεπώτερον, τοῦτο καὶ τῆς τυφλότητος καὶ τῆς ὀρφανίας ἀφορητότερον.* | *ἐγώ, πρὸς Πατρῴου καὶ* R IV 751 *Γενεθλίου, τὸν ἐμαυτοῦ πατέρα διεχρησάμην; τὸν σπείραντα, τὸν παιδεύσαντα, τὸν ἀναθρέψαντα καὶ κηδόμενον; δι' ὃν καὶ ζῆν ἐβουλόμην καὶ κουφοτέραν ἦγον τὴν συμφοράν; ὃς μόνος ἦν μοι τοῦ βίου παραμυθία, μόνος ἡδονῆς αἴτιος ὁμιλῶν καὶ φθεγγόμενος καὶ πάντα πράττων κεχαρισμένα;* 28. *τῆς γοῦν ἐκείνου φωνῆς ἀκούων ηὐφραινόμην καὶ ὁρᾶν ἐδόκουν καὶ τοὺς ὀφθαλμοὺς ἔχειν ὧν ἀφῃρέθην. ζῶντος μὲν γὰρ ἐκείνου πάντα μὲν ἔβλεπον, πάντων δὲ τῶν καλλίστων ἐτύγχανον. νυνὶ δὲ ὄντως πεπήρωμαι, νῦν τὴν συμφορὰν ὁλόκληρον ἔχω.*

---

5 Arist. nub. 1468 c. schol. Plat. Euthyd. p. 302 C sq. Dem. Eubul. § 67 p. 1319, 26

---

2 *ἐπιχείρημα ἀπὸ τοῦ προσώπου τοῦ πατρός* *MmMa*[3] et praemisso *εἶτα* ante *ἐγὼ* in textu Doxap

---

1 *τὸν* inser *Va*[2] 2 *ἀπέκτεινας* scripsi ex *HVViMaClAth* Doxap *ἔκτεινας BVa* sed in hoc *τεινας* in ras m[2], *M* edd 3 *τοῦτο* — 6 *πατέρα* om Doxap | *ἀνηκεστέρων MaCl* 4 *καὶ*(2)] *ἢ Va* 5 *πρὸς* ⟨*Διὸς*⟩ *Πατρῴου*? | *πατέρων Ath* 6 *ἐμὸν BVa* | *διεχειρισάμην* Doxap | *τὸν* — 7 *ἀναθρέψαντα* praemissis verbis *τὸ ἀνέθρεψεν οὐ γενναῖον. ὅμως εὕρηται. Λιβάνιος* citat Andr. Lopad. lex. Vindob. s. v. *ἔθρεψεν* p. 22, 7 ed. Nauck | *πειράσαντα HV* 7 *τὸν*(1) scripsi e *Vi* sed *καὶ* in marg m[2], et Lopad *καὶ* reliqui libri edd 8 *καὶ*(1) om Mor | *κουφότερον* Doxap *κουφοτέρας* et *τὰς συμφοράς BVa* 10 *μόνος Vi* sed *ης* supra *ος* m[2] | *ἡδονῶν B* | *αἴτιος Vi* sed *ου* supra *ος* m[2] 11 *κεχαρισμένως* Doxap | *οὖν* Doxap 12 *ηὐφραινόμην* scripsi ex *HVMaAth* Doxap *εὐφραινόμην ViClBVaM* edd 13 *μὲν* om *Vi* 14 *τῶν* om *HV* 15 *νῦν Ath*

29. Πατρός, εἰπέ μοι, τίς αὐτόχειρ γενέσθαι βούλεται; ἀνθρώπου δὲ ὅλως ἄνθρωπος παιδευθεὶς τὰ πρέποντα καὶ μαθὼν ἃ προσήκει τὸν κατὰ νόμους βεβιωκότα, θεοὺς θεραπεύων, φιλανθρωπίαν εἰδώς; τύπτει δέ τις πατέρα γνωρίζων καὶ πεπεισμένος; ὑβρίζει δέ; ἀντιλέγει δὲ ὅλως; 30. ἐγὼ μὲν οἶμαι τοὺς τούτων τι πράττειν ἐπιχειροῦντας ἀλλοτρίους ὄντας λανθάνειν καὶ νόθους τοῦ γένους. τίς γὰρ ἄν, εἰ σωφρονεῖ, τὸν ἑαυτοῦ πατέρα λυπήσειε; τίς δ' ἂν ἀδελφὸν ἢ φίλον ἢ συγγενῆ κακῷ τινι περιβάλοι; τίς οὕτως ἄγριος; τίς ἀνήμερος; 31. αἰδεῖται καὶ τὰ θηρία τὴν φύσιν καὶ περὶ τοὺς ἄλλους ἅπαντας ἀγριαίνοντα φιλίᾳ τοῦ γένους πολύ τι τὸ ἥμερον ἐπιδείκνυσιν. εἶδον γοῦν καὶ ταῦτα πολλάκις ἐπὶ τῆς πρώτης ἐκείνης εὐδαιμονίας ὑπὲρ μὲν τῶν γονέων πολεμοῦντα προθύμως καὶ κινδυνεύοντα, θεραπεύοντα δὲ τούτους καὶ

---

1 ἕτερον ἐπιχείρημα ἀπὸ τοῦ πράγματος ἤτοι τοῦ φόνου *Mm Ma³* ἐπιχείρησις ἀπὸ προσώπου τοῦ ποιοῦντος *HB rubr* καὶ τοῦτο μέν ἐστι τὸ ἐπιχείρημα ἀπὸ τοῦ προσώπου τοῦ πατρός, ἐν ᾧ ἔδειξεν ὅτι οὐκ ἂν ἠβουλήθη ὁ υἱὸς τὸν τοιοῦτον πατέρα ἀποκτεῖναι. εἶτα ἕτερον ἐπιχείρημα ἀπὸ τοῦ προσώπου τοῦ υἱοῦ in textu ante Πατρός Doxap 11 ἐργασία ἀπὸ παραβολῆς *Mm Ma³ B rubr* 15 εὐδαιμονίαν ἐνταῦθα λέγει τὸν πρὸ τῆς πηρώσεως χρόνον *Ma³*

---

2 ἀνθρώπου — ἄνθρωπος om Doxap | δὲ om *B* | ἄνθρωπος ὅλως *Va* | ὅλως om *M* 3 ὄντα *Vi* sed δέοντα in marg m² | τὸν *Ma* sed ο in ras m³ om *BVa* | εἰδέναι ante βεβιωκότα *Vi* 5 πεπεισμένον *Vi* 6 μὲν] δὲ *MaCl* 7 τί *HM* 8 ξένους *Ath* sed γρ νόθους in marg 10 περιβάλλοι *AthBVaM* περιβάλλει *ViMa* 11 οὕτως ante ἀνήμερος *Vi* | αἰδεῖται — 13 ἐπιδείκνυσιν praemissis verbis ἀγριαίνει εἰς παθητικὴν σημασίαν. Λιβάνιος citat Andr. Lopad s. v. p. 22,15 ed. Nauck cf. p. 668,12 12 ἅπας *H* ἅπαν *V* 13 πολύ τι om Lopad | τι om *HVVi* | ἡμερώτερον *HVVi* Lopad 14 γὰρ *Ma* | „mallem εἴδετο" Mor Not 15 μὲν om *HV* 16 τε *V*

περιέποντα καὶ πλείστην κηδεμονίαν ἐπιδεικνύμενα. τοσούτῳ δὲ τούτων διάκεινται πάντες ἄνθρωποι περὶ τοὺς ἑαυτῶν πατέρας εὐνοϊκώτερον ὅσῳ τῶν ἀλόγων οἱ λογισμὸν ἔχοντες ἡμερώτεροι καὶ τῶν ἀγριωτάτων οἱ πρᾳότατοι τὴν φύσιν διενηνόχασι. 32. τί δεῖ τὰ πολλὰ λέγειν; ἴστε γὰρ | ταῦτα, κἂν παραλείπω. R IV 752 πατέρες μὲν γὰρ ὑμῶν οἱ πλείους, παῖδες δὲ δήπου πάντες γεγόνατε. τίς οὖν ὑμῶν ἢ σύνοιδεν ἢ ἀκήκοεν, οὐ λέγω φόνον πατρῷον γεγενημένον, ἀλλὰ πληγαῖς υἱὸν αἰκισάμενον ἢ λοιδορίᾳ κατὰ τῶν πατέρων χρησάμενον; ἢ μόνος ἐγὼ τῶν πάντων ὠμότατος, μόνος μιαιφονώτατος; εἰ μὲν δυστυχέστατος, οὐκ ἂν ἀντείποιμι, περίεστι γάρ μοι τοῦ πράγματος, εἰ δὲ πονηρότατος, ὑμῖν καταλείπω σκοπεῖν. οὐ γάρ, εἰ τυφλός, ἤδη καὶ μιαιφόνος, οὐδέ, εἰ δυστυχής, ἤδη καὶ πατροκτόνος. 33. ὁ περὶ τοὺς ἀλλοτρίους φιλάνθρωπος περὶ τοὺς οἰκείους ὠμότατος; ὁ τῶν γνωρίμων καὶ συνήθων

---

5 cf. ad t. VI 214, 5 sq.; 270, 16   10 cf. t. III 394, 8
11 cf. t. II 139, 12 sq.

---

2 ἐνθύμημα *Mm*   9 ἐργασία ἀπὸ τοῦ ἐλάττονος *MmMa3*
13 περίεστι] περιουσία ἔστι μοι suprascr *Ma3*   14 ἐνθύμημα ἀπὸ προσώπου ἐργασίας ἐλάττονος *Brubr*   16 ἀπὸ τοῦ ἐναντίου *MmMa3*

---

2 δὲ inser *Ma3* | περὶ in marg *Vi2*   4 ἡμερώτερον *Vi* | ἀγριωτέρων et πρᾳότεροι *Vi* sed ατ supra ερ m2   6 παραλίπω *Ath* sed ει suprascr, *MaClB*   7 γὰρ om *Vi* | ὑμῶν in marg *Va2* ἡμῶν Mor | δὲ om *Vi* | δήμου *Vi* sed δή που in marg m2   8 γεγόνατε πάντες *BVa*   9 γεγενημένοις *H*   10 υἱὸν Mor τισιν libri edd   11 τῶν om *ViAth* | ἢ ante μόνος *BVaM* edd delevi   12 πάντων ante μιαιφονώτατος *Ath* | ἂν inserui e *B* sed in ras om reliqui libri edd   14 καταλίπω *Ath*
16 ἄλλους *HV* | φιλανθρωπότατος *HV*   17 οἰκειοτάτους *HV ViCl*

κηδόμενος τοῖς γονεῦσι πολεμιώτατος; καὶ τῶν μὲν οἰκετῶν οὐδεὶς ὑφ' ἡμῶν, οἶμαι, λελύπηται, πατέρα δ' ἂν ἐμαυτοῦ διεχρησάμην; καὶ θεράποντα μὲν γνησίως ἡμῶν ἐπιμελούμενον οὐκ ἂν λοιδορήσαιμι, τοῦ δὲ πατρὸς αὐτόχειρ ἂν ἐγενόμην, ὅς ἦν μοι τὰ πάντα, πατὴρ καὶ φίλος, μήτηρ καὶ συγγενής, θεράπων, χειραγωγός, δοῦλος ἀναγκαιότατος; ἤδη γὰρ καὶ τὰς τῶν δούλων ὑπηρεσίας εὐνοίᾳ τῇ πρὸς ἡμᾶς ὑπομένειν ᾤετο δεῖν. 34. εἰ καὶ μὴ ὡς πατρὸς ἐκηδόμην, ὡς γοῦν θεραπεύοντος ἂν ἐφεισάμην. εἰ καὶ ἀνήμερος ἤμην τῷ τρόπῳ, ταῖς εὐποιίαις ἂν ἐγενόμην πρᾳότερος. ἡμεροῦνται καὶ θῆρες θεραπευόμενοι, κἂν πρότερον ἀγριαίνωσιν. ἐγὼ δὲ καὶ τῶν ἀνημέρων, ὡς ἔοικεν, ἀγριώτερος. 35. καὶ πρὶν μὲν τοσαύτης παρὰ τοῦ πατρὸς τυγχάνειν ἐπιμελείας ἠγάπων, ἐφρόντιζον, ἐκινδύνευον, τὴν πολλὴν εὔνοιαν ἅπαντες ὡμολόγουν, θεραπευόμε-

6 Il. ζ 429 10 cf. p. 693, 5; t. V 540, 16; VI 576, 16; 597, 12; 600, 1 et 3

1 ἐργασία ὁμοίως (om *Ma*³) ἀπὸ τοῦ ἐλάττονος *B*rubr*Ma*³ 11 ἐργασία ἀπὸ παραβολῆς *M*m*Ma*³*B*rubr 14 ἀπὸ τοῦ ἐναντίου ἐργασία *M*m*Ma*³

1 οὗτος ante τοῖς *M* edd delevi | μὲν om *HV* 2 ἤδη *ViVa* sed in hoc οἶμαι in marg m² 3 ἐμαυτοῦ om *Vi* | διεχρησάμην *Ma* sed γρ διεχηρησάμην in marg m² διεχειρισάμην *BVaM* Mor | καὶ ante γνησίως *M* edd delevi 5 ἂν om *BVa* | σοι Re 6 καὶ inserui ex *HVViMaClBVa* om *AthM* edd | καὶ ante μήτηρ *ViMaClBVa* | καὶ inserui ex *HVViMaCl BVa* om *AthM* edd 7 comma post δοῦλος *MaCl* edd delevi | τὰς om Re 8 ὑμᾶς *VM* sed in hoc υ in η corr *y* 9 γοῦν inser *Va*² οὖν *Vi* 10 θεραπεύοντος scripsi ex *HAthCl* θεράποντος *VViMaBVaM* edd | οὖν *Vi* | ἤμην] ἦν μοι *B* | τὸν τρόπον *HV* 11 εὐνοιίαις Re | πρᾳότατος *ViMa* 12 ἀγριαίνωνται *Vi* sed νωσιν suprascr m² 14 τοσαύτης ἐπιμελείας τυγχάνειν παρὰ τοῦ πατρὸς *BVa* | περὶ πατρὸς *Ath* 15 τυγχάνων *M* sed ειν supra ων *m*

νος δὲ πάσης προσδοκίας ἐπέκεινα καὶ τυγχάνων ὧν ἐβουλόμην, ὅτε τὴν προϋπάρχουσαν εὔνοιαν ἔδει διπλασιάζεσθαι, τότ' ἂν κακόνους ὤφθην καὶ δυσμενέστατος; καὶ τίς ἂν ταῦτα πιστεύσειεν; 36. *οὐκ ἐδεόμην* | *τοσαύτης ἐπιμελείας ὁρῶν ἔτι καὶ τὰ προσήκοντα πράττειν δυνάμενος, ὅμως δὲ σώζεσθαι τὸν πατέρα καὶ μηδενὸς ἀηδοῦς πεῖραν λαμβάνειν ἑκάστοτε τοῖς θεοῖς ηὐχόμην καὶ πάντα κίνδυνον ὑπὲρ τούτου προθύμως ἀνεδεχόμην· εἶτα μὴ δεόμενος μὲν οὕτως ἐφρόντιζον, ἄνευ δὲ τῆς παρ' ἐκείνου κηδεμονίας ζῆν μὴ δυνάμενος ἀνελεῖν ἂν ἐπεχείρησα καὶ πρὸς τοσαύτην μιαιφονίαν ἀθρόως ἐχώρησα μηδέν τι πώποτε δυσχερὲς εἰς ἐκεῖνον διαπραξάμενος, οὐκ ἀντειπών, οὐ λόγῳ λυπήσας, οὐ θρασυνάμενος.* 37. *καίτοι γε τὰ μικρὰ καὶ φαῦλα τῶν ἀδικημάτων πρὸ τῶν μεγίστων καὶ δεινοτάτων ἅπαντες εἰώθασι διαπράττεσθαι. κἂν τοῖς γονεῦσιν ἀντείπῃ τις, δῆλον ὡς ὁ τοιοῦτος ὑβρίσει, κἂν ὑβρίσῃ, τυπτήσει γε προϊών, ὅσῳ δ' ἂν προ-*

R IV 753

---

1 Plat. rep. VI p. 509 B. Anth. Pal. I 102, 1 cum nota Iacobsii

---

4 *ἐπιχείρημα ἀπὸ τοῦ* (om Ma^3B^{rubr}) *πράγματος* $M^m Ma^3$ B^{rubr} 14 *ἐνθύμημα ἀπὸ πράγματος* B^{rubr}

---

2 *ἠβουλόμην Ma* | *διπλασιάσαι Ma* 3 *ἔφθην* Mor 5 *τὰ* om *Vi* 6 *δεόμενος Ma* 7 *ὡς Vi* sed *καὶ* in marg m^2 8 *εὐχόμην Vi* | *καὶ* — 9 *ἀνεδεχόμην* in marg Vi^3 11 *ἂν* om *BVa* 14 *θρασυνόμενος ViAthCl* sed in hoc *ο*(1) in *α* corr m^2, *BVaM* Mor | *γε* inser B^{rubr} om *Va* 15 *τῶν ἀδικημάτων καὶ φαῦλα HV* | *καὶ* ante *πρὸ MaCl* 16 *καὶ δεινοτάτων ἅπαντες* scripsi ex *HVMaClAthBVa* *καὶ δεινοτάτων ἀδικημάτων ἅπαντες Vi* *ἅπαντες καὶ δεινοτάτων M* edd 17 *ἀντείποι ViMaBVa* | *τίς HViMaB* | *ὑβρίσει* reposui e libris *ὑβρίσῃ* edd 18 *κἂν* — *προϊών* praemissis verbis *τυπτήσω ἀττικῶς. Ἀριστοφάνης — καὶ Λιβάνιος* citat Andr. Lopad. lex. Vindob. s. v. p. 176, 14 ed. Nauck

βαίνῃ, γενήσεται χαλεπώτερος. ἐγὼ δὲ καινότατος τῶν πώποτε κακούργων γεγενημένων ὁμοῦ κακόνους καὶ μιαιφόνος; 38. καὶ τοσοῦτον ὁ δυστυχὴς μεταβέβλημαι τῆς πρότερον προαιρέσεως ὡς ἀνελεῖν ὃν διέσωζον, ὡς αὐτόχειρ γενέσθαι δι' ὃν προδήλοις κινδύνοις ἐμαυτὸν δέδωκα καὶ πυρὶ καὶ θανάτῳ; πῶς γὰρ ἂν εἴη τῆς αὐτῆς εὐνοίας νῦν μὲν κινδυνεύειν καὶ σώζειν καὶ τεθνάναι πρὸ τοῦ πατρὸς προσήκειν ὑπολαμβάνειν, αὖθις δὲ τὸν αὐτὸν ἀναιρεῖν, ἐπιβουλεύειν καὶ πᾶσαν δυσμένειαν ἐπιδείκνυσθαι, καὶ τῆς μὲν μητρὸς αὐτὸν ποιήσασθαι προτιμότερον, νῦν δὲ τῶν φύσει πολεμίων παντάπασι δυσμενέστερον, καὶ τοῦ πυρὸς ἔργον ὅπως μὴ γένηται κινδυνεύσαντα τῇμῇ δεξιᾷ ταμιεύσασθαι τὸ κατόρθωμα; πάνυ γε. οὐ γὰρ τῶν αὐτῶν μαθημάτων ἀμφότερα οὐδὲ τῆς αὐτῆς προαιρέσεως τούτων ἑκάτερον.

---

1 Thuc. I 1, 1 cum nota Kruegeri

---

1 *ἐργασία ἀπὸ τοῦ ἴσου B*^{rubr} 6 *ἐνθύμημα M*^{m}*Ma*^{3}

---

1 *καινότατος* scripsi ex *HVViMaCl* *καινότατα AthBVaM* edd 2 *γεγενημένος Vi* sed *ων* supra *ος* m^{2} | *καὶ* ante *κακόνους* (*κακόννους B*) *BVa* 4 *προαιρέσεως* scripsi ex *HVViMaClAthB* *αἱρέσεως VaM* edd | *ἀνελεῖν ὃν διέσωζον* in marg *Ma*^{3} 5 *γεγενῆσθαι Vi* sed *γενέσθαι* in marg m^{2} | *ἐμαυτὸν Ma* sed *ὂν* ex *οὗ* corr m^{3} 6 *δέδωκα* scripsi ex *HVViMa* sed in hoc *ἐκ* antepos, *ClAthBVa* *ἐκδέδωκα M* edd | *ἂν* om *V* 7 *εὐνοίας Ma* sed *γρ καὶ διανοίας* in marg m^{3} *ἐννοίας Vi* 9 *τὸν αὐτὸν* inser *Va*^{2} | *καὶ* om *HV* 12 *δυσμενέστερον παντάπασι πολεμίων HV* 13 *γένοιτο HV* | *τῇ μῇ Ath* *τῇ 'μῇ B* *τῇ δὲ HV* *τῇ ἐμῇ δὲ Ma* sed *γρ τῷ μὴ δὲ* in marg m^{3}, *Cl* sed *δὲ* eras *τῇ 'μῇ δὲ Va* sed *τῇ* in ras m^{2} *τῷ μὴ δὲ M* *μιᾷ Vi* | *ταμιεύεσθαι BVa* 14 *νῦν δ' αὐτόχειρα τοῦ πρὸς αὐτὸν φόνου γενομένου;* ante *πάνυ Vi* 15 *οὐδὲ*] *καὶ Vi* | *αὐτῶν Vi* sed *ῆς* supra *ῶν* m^{2} | *τούτων* om Mor

39. *Τί δὲ καὶ βουλόμενος ἂν οὕτως ἐβουλευσάμην | δυσσεβεῖν καὶ ὑπὸ Ἐριννύων ἐλαύνεσθαι καὶ* R IV 754 *τελείαν ἐμαυτῷ κατασκευάσασθαι τὴν συμφορὰν καὶ τὴν λειπομένην ἀφελέσθαι παραμυθίαν, τῇ μητρὶ προσθεῖναι καὶ τὸν πατέρα καὶ πανταχόθεν ἔρημον ἐμαυτὸν ἀποδεῖξαι καὶ δυστυχέστατον; οὐ γὰρ ἱκανὸν ἦν τὸ δυστύχημα, μητρὸς ἀπώλεια, τυφλότης, πάντα τὰ χαλεπώτατα μόνῃ τῇ τοῦ πατρὸς σωτηρίᾳ φορητὰ νομιζόμενα;* 40. *τί δὲ τοσοῦτον ἀδικηθεὶς οὕτως ἀνηλεῶς ἠμυνάμην; ὃς πάντων μὲν τῶν προσηκόντων ἐτύγχανον, οὐδενὸς δὲ τῶν ἀβουλήτων διὰ τὸν πατέρα πεπείραμαι. καὶ ταύτην μὲν παρὰ πάντα τὸν χρόνον ἡμῖν ἐπιβουλεύουσαν οὐδεπώποτε καίτοι δικαίως ἀμύνασθαι προειλόμην, τὸν δὲ κακοῦ μὲν οὐδενός, ἀγαθῶν δὲ μυρίων αἴτιόν μοι γεγενημένον πῶς ἂν ἀνελεῖν ἐπεχείρησα;*

41. *Ναί φησιν. ἠγανάκτεις γὰρ ὅτι μοι τὸν κλῆρον παντάπασι δεδωκὼς ἄμοιρόν σε κατέστησεν. ὠργιζόμην, εἰπέ μοι, πρὸς θεῶν, ἐφ' οἷς ὑπὲρ*

---

1 *ἡ βούλησις* $M^{rubr}Ma^{3}$ 9 *ἐπιχείρημα ἀπὸ αἰτίας* B^{rubr} 16 *τὰ εἰκότα τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους* (*ἄχρι τέλους* om M^{rubr}) $M^{rubr}Ma^{3}$ 18 *ἡ λύσις κατὰ ἔνστασιν* $M^{m}Ma^{3}$

---

1 *βουλόμενος Va* sed *λο* in ras 4 litt m² | *οὕτως ἂν M* Mor 2 *ὑπὲρ B* | *ὑπὲρ γονέων* post *ἐριννύων HV* | *καὶ* om *HV ViMaClAth* 3 *αὐτῷ Vi* | *κατασκευάσαι HVCl καταστῆσαι Ma* sed *γρ κατασκευάσασθαι* suprascr m³ | *καὶ* om *ViClAth* 4 *τὴν* inserui e *ViClAthBVa* om *HVMaM* edd 5 *καὶ* (2) inser *Va²* | *αὐτὸν ViB* 6 *οὐδὲ Ma* 7 *τὰ* om *H* 12 *ταύτην* scripsi ex *HVViMaClAthVa* *ταύτῃ BM* edd | *ἡμῖν* inserui ex *HVViMaClAthBVa* om *M* edd | *ἐπιβουλεύουσαν* scripsi ex *H VViMaCl* *ἐπιβουλεύσασαν Ath* *ἐπεβούλευσα BVaM* edd | *οὐδὲ πώποτε H* *οὐδὲ πώποτε VMa* sed in hoc *πο* inser m³, *ClBVa* edd | *δικαίως ἀμύνασθαι*] „*interponi velim ἂν*" Re | *ἀμύνεσθαι Cl* 15 *ἂν* inserui e *BVaM* om *HVViMaClAth* edd 18 *μοι* om *HV* | *θεοῦ M*

ἐμοῦ βουλευσάμενος ἔπραξεν εἰδὼς τὴν ἐκείνου διάνοιαν μεθ' ἧς οὕτω περὶ τοῦ κλήρου βεβούλευτο καὶ κοινωνὸς τῆς σκέψεως καὶ μερίτης γεγενημένος; 42. *ἐκεῖνος γάρ, ὦ ἄνδρες δικασταί, συνεχῶς ταύτην ὁρῶν ἡμῖν ἐπιβουλεύουσαν καὶ παντελῶς ἀνελεῖν σπουδάζουσαν δι' οὐδὲν ἕτερον ἢ τὴν τῶν χρημάτων ἐπιθυμίαν ἔγνω συμφέρειν καὶ τὴν ἑαυτοῦ γνώμην ἡμῖν ἀνήνεγκε μηχανήσασθαί τι πρὸς τὴν ταύτης ἐπιθυμίαν δι' οὗ παύσει μὲν αὐτὴν ἡμῖν ἐπιβουλεύουσαν, παύσει δὲ πανταχόθεν καθ' ἡμῶν ῥαδίως μηχανωμένην.* 43. *λογιζόμενος οὖν συνοίσειν ἐνόμιζε τῆς πρὸς ἡμᾶς δυσμενείας ἀνελεῖν τὴν πρόφασιν καὶ μόνῃ τὸν κλῆρον καταλιπεῖν. οὕτω γὰρ ἕξειν ἑκάτερον καλῶς, καὶ τὸ πεπαῦσθαι ταύτην ἐπιβουλεύουσαν καὶ τὸ μὴ δοῦναι* R IV 755 *βεβαίαν | ἤδη τὴν χάριν. ἐξεῖναι γὰρ αὐτῷ μετὰ ταῦτα τὰ γραφέντα πάλιν ἐπανορθώσασθαι. ταῦτα βουλευσάμενος ὁ πατὴρ οὕτως ἔπραξε, ταῦτα διανοηθεὶς*

---

3 cf. ad t. III 256, 11; IV 126, 15; 262, 20; V 64, 15

---

3 *ἐπιχείρημα ἀπὸ πράγματος B*rubr

---

1 *ἐμοῦ Ath* sed *γρ ἐμῶν* in marg | *συμβουλευσάμενος Ma* sed *συμ* antepos m³ 2 *βεβούλητο MaAthVaM* Mor | *καὶ* om *HVViMa* sed in hoc inser m³, *ClAth* 3 *μεριστὴς HVViMa* sed in hoc *γρ μερίτης* in marg m³, *Cl* | signum interrogationis posui ex *HAth* punctum reliqui libri edd 6 *τὴν τῶν* inserui e libris om edd 7 *εἰ τὸν βίον αὐτῇ καταλίποι* post *συμφέρειν* edd delevi | *αὐτοῦ Vi ἑαυτῆς Ath* | *ἡμῖν* om *BVa* 9 *ἐπιβουλεύουσαν ἡμῖν MaCl* | *ἡμῖν* om *B* | *καὶ* post *δὲ Ma* 10 *καθ' ἡμῶν ῥαδίως*] *ῥαδίως ἡμῖν Vi* 12 *καὶ* om *Cl* inser *Ma*³ | *τῷ* ante *μόνῃ Ma* et in ras *Cl*² | *ἀπολιπεῖν Vi* sed *κατα* supra *ἀπο* m² 13 *δὲ BVa* | *ἕξει Vi* | *καλῶς ἑκάτερον H VVi* | *ἑκάτερα πεπαύσεσθαι HVVi* 14 *τὴν* ante *ἐπιβουλεύουσαν Vi* 15 *ἤδει H εἶναι Ath* | *ἐξῆν Ma* | *αὐτὰ Vi* | *μεταταῦτα V MaClBVaM* edd 16 *τὰ* inser *Va*²

ἄμοιρόν με τότε τοῦ κλήρου κατέστησε. 44. πῶς οὖν ἀγανακτεῖν εἰκὸς ἐφ' οἷς ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας ἐμηχανήσατο; πῶς δὲ διὰ ταῦτα χαλεπῶς φέρειν ἃ τῆς περὶ ἡμᾶς εὐνοίας ἕνεκεν πράττειν ἐνόμιζε, καὶ ἐφ' οἷς ἔδει τῆς ὑπερβαλλούσης κηδεμονίας μᾶλλον αὐτὸν ἢ πρότερον ἀγαπᾶν, ἐπὶ τούτοις ἀγανακτεῖν καὶ μέχρι τῶν ἀνηκέστων καὶ δεινοτάτων ἐκτείνειν τὴν ἀγανάκτησιν; 45. εἰ δὲ καὶ μὴ ταῦτα φρονῶν ἔγραφεν, ἀλλ' ὄντως ἀλλότριόν με καταστῆσαι τοῦ κλήρου βουλόμενος, οὐκ ἦν μοι λυσιτελέστερον ζῆν ἢ τεθνάναι καὶ δι' αὐτὸ τοῦτο τὸν ἐμαυτοῦ πατέρα; περιόντος μὲν γὰρ ἐλπὶς ἦν καὶ μεταβολὴν γενέσθαι τῆς προαιρέσεως καὶ πρὸς τὴν φύσιν πάλιν ἐπανελθεῖν καὶ λῦσαι μὲν ἃ πρότερον ἀπατηθεὶς διεπράξατο, προτιμοτέραν δὲ ποιήσασθαι τῶν διαβολῶν τὴν ἀλήθειαν καὶ βελτίονι κρίσει τὴν μὴ προσήκουσαν διορθώσασθαι· τελευτήσαντος δὲ παντελὴς μὲν ἀπώλεια, προσδοκία δὲ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς πανταχόθεν ἀνῄρητο μηδεμιᾶς ἔτι λειπομένης ἐλπίδος. ἃ γὰρ εἰκὸς ἦν πράξειν,

---

14 Arist. eth. Nic. I 4 p. 1096ᵃ 16. [Quintil.] decl. II § 15 p. 33, 3—14 ed. Lehn.

---

8 *λύσις* (om *MᵐMa³*) *κατὰ ἀντιπαράστασιν MᵐMa³* Mor *ἐργασία ἀπὸ τοῦ ἐναντίου Bʳᵘᵇʳ* 12 *ἐνθύμημα ἀπὸ πράγματος Bʳᵘᵇʳ*

---

1 *τότε* om *HV* 3 *διαταῦτα ViMaB* 7 *ἐκτίνειν M* 8 signum interrogationis posui punctum (colon *Ath*) libri edd | *καὶ* om *M* 9 *ὄντος Vi* | *τοῦ κλήρου καταστῆσαι ViBVa* | *βουλόμενος* scripsi ex *HVViMaClAth* cum Iacobsio Lect *βουλευόμενος BM* edd *βουλευσάμενος Va* 10 *μοι* om *HV* 11 *διὰ Va* sed *ὰ* in *αὐτὸ* corr m² | *προϊόντος Vi* sed *περιόντος* in marg m² 12 *καὶ* om *MaVa* 13 *λῦσαι Ma* sed *γρ κωλύσαι* suprascr m³ *λύσαι HAth* *κωλύσαι BVaM* Mor 14 *προτιμότερον Ath* 17 *παντελὴς Vi* sed *πάντα* in marg m² 19 *ἔτι* om *Vi* | *ὑπολειπομένης Vi* sed *ἐπι* in marg m²

εἰ περιῆν, ἀδύνατον ὑπάρχειν ἀπολωλότος. 46. ἵν' οὖν αὐτὸς μὲν ἐκπέσω τοῦ κλήρου παντάπασι, ταύτῃ δὲ βεβαίαν τῆς τῶν ὑπαρχόντων περιουσίας τὴν κτῆσιν παρασκευάσω, τὸν πατέρα διεχρησάμην καὶ τοσαύτην μιαιφονίαν ἀνεδεξάμην; εἰ γὰρ τοὐναντίον ἀπροσδόκητον ἦν ζῶντος μὲν τὸν κλῆρον κομίσασθαι, τεθνεῶτος δὲ παραχρῆμα τὸ λαβεῖν πρόχειρον, πρὸς τοσοῦτον ἂν R IV 756 ἦλθον ἀπανθρωπίας | ὡς χρημάτων ἕνεκεν φόνον ἐργάσασθαι καὶ τοῦτον πατρῷον; καὶ τῆς μὲν ἐμαυτοῦ σωτηρίας τὴν τοῦ πατρὸς προετίμησα, δι' ἣν δὲ κινδυνεύειν προθύμως καὶ τεθνάναι δεῖν ὑπελάμβανον, ταύτην ἂν προηκάμην τὴν τοῦ κλήρου γεγενημένην ἡμῶν ἀλλοτρίωσιν αἰτιώμενος; 47. ἀγανακτεῖ δέ τις οὕτως ἐπὶ τοιούτοις ἐγκλήμασι καὶ μηδὲν ἀνήκεστον πεπονθὼς πρὸς τὴν τοῦ πάτρὸς ἀναίρεσιν παροξύνεται; πολλά τις ἂν εἴποι πρὸς ἑαυτὸν πρίν τι τῶν δεινῶν διαπράξασθαι, πλείω δ' ἐμοὶ περιῆν τῶν ἄλλων λογιζομένῳ ῥαδίως φέρειν τὴν ἀγανάκτησιν. 48. νῦν

---

5 ἐργασία ἀπὸ (ἐκ $M^m Ma^3$) τοῦ ἐναντίου $HB^{rubr} M^m Ma^3$

---

1 εἴπερ ἦν *HV* | ἵνα *VaM* edd 3 βεβαίαν *Ma* sed ´αν in ras m[3] | γρ ἐργασία in marg Mor quod fuit scholion ad l. 5 „*vide num vocabula* τῶν ὑπαρχόντων *e scholio sint, quae idem dicant atque* τῆς περιουσίας" Re at cf. p. 677, 13 | κρίσιν *BVa* et γρ in marg Ma^3 4 καὶ — 5 ἀνεδεξάμην om *Vi* | ἐνεδεξάμην (ἀ supra) *Ma* 6 ἦν om *M* | κομίσασθαι *Ma* sed ο in ras m[3] 7 δὲ om *Vi* | πρόχειρον scripsi ex *HV* sed in hoc δηλον supra χειρον m[2], *M* πρόδηλον *ViMa* sed in hoc γρ πρόχειρον suprascr m[3], *ClAthBVa* edd 10 τὴν om *Vi* | προετίμησα *Vi* sed προσετίμησα in marg m[2] 11 καὶ τεθνάναι προθύμως *BVaM* Mor 13 ἡμῖν *Vi* | δὲ τίς *Vi* 15 τοῦ inser Vi^2 | ἀφαίρεσιν *Vi* sed ἀναίρεσιν in marg m[2] 16 πολλὰ τίς *H* | εἴποι *Va* sed οι in ras m[2] εἴπῃ *HV* εἰπεῖν *MaCl* | αὑτὸν *Vi* | ἔχοι post ἑαυτὸν *MaCl*, ἔχει *Vi* sed οι supra ει m[2] 17 δέ μοι *HVMaClAth*

εἰς ἡμᾶς ὁ πατὴρ ἐξήμαρτεν, ἀλλ' εὖ πεποίηκεν ἤδη πολλάκις. τῶν ὑπαρχόντων ἀμοίρους κατέστησεν, ἀλλὰ τῆς γενέσεως γέγονεν αἴτιος. τὰ μείζω δὲ τῶν καταδεεστέρων καὶ τὰ πλείω τῶν ἐλαττόνων καὶ τῶν ὕστερον γεγενημένων τὰ πρεσβύτερα τιμιώτερα. κἂν νῦν ὀργίζηται, προϊὼν ἔσται φιλανθρωπότερος. ἐπὶ τοῦ παρόντος κεκίνηται, μικρὸν ὕστερον πατὴρ ὢν ἐπιγνώσεται. 49. *ταῦτα καὶ τὰ τούτοις ὅμοια πρὸς ἐμαυτὸν ἔφην ἄν, εἰ δυσμεναίνων ἐτύγχανε καὶ μὴ τοῦ συμφέροντος ἕνεκεν οὕτω βεβούλευτο. τὴν δὲ τῶν πεπραγμένων διάνοιαν ἀκριβῶς ἐπιστάμενος τίνα τῆς πρὸς ἐκεῖνον ὀργῆς εἶχον τὴν πρόφασιν;* 50. *χωρὶς δὲ τούτων οὐκ εὔηθες δοκεῖν μὲν ἀμύνεσθαι, πολλῷ δὲ δήπουθεν ἐμαυτὸν ἀδικεῖν χαλεπώτερα, καὶ δι' ὧν τις τιμωρίαν λαμβάνει, διὰ τούτων ἑαυτῷ βλάβην προσ-*

---

10 cf. p. 692, 4; 340, 19. Dem. cor. p. 300, 24

---

13 *ἐπιχείρημα ἀπὸ τῆς αἰτίας M*^{m}*Ma*^{3}

---

1 *πρὸς Vi* sed *εἰς* in marg m^{2} | *ἐξήμαρτεν Cl* sed *εν* corr m^{2} 2 *τῶν — κατέστησεν* om *HV* | *πεποίηκεν BVa* sed in hoc *κατέστησεν* in marg m^{2} 3 *γεννήσεως HV* | *τὰ μείζω* — 6 *τιμιώτερα* praemissis verbis *ἐκ τῶν μελετῶν* laudat auctor excerpt. Neapol. II C 32 fol. 284^{v} 9 *ἑαυτὸν Ma* sed *ἑ* in *ἐμ* corr m^{3}, *ClAth* 10 *δυσμενὴς HV δυσμενὴς ὢν Vi* | *μὴ Vi* sed *μὴν* in marg m^{2} 11 *ἕνεκα Ma* 12 *τί Vi* sed *τίνα* in marg m^{2} 14 *δήπουθεν ἐμαυτὸν ἀδικεῖν* scripsi ex *HVVi* sed in hoc *ἀδικεῖν* ante *ἐμαυτόν*, *Ma* sed in hoc *δεινότερον* post *δήπουθεν* inser m^{3}, *ClAth δήπου δεινότερον ἀδικεῖν ἐμαυτὸν BVa* sed in hoc *τερον ἀδικεῖν* in ras minore m^{2}, *M* edd
15 *χαλεπώτερον Vi* sed *α* supra *ον* m^{2} | *ἄν* ante *τις M* edd delevi | *τίς HViMaAth* 16 *τιμωρίας Vi* | *λαμβάνει* scripsi ex *HVViMa* sed in hoc *γρ ἐπάγει* in marg m^{3}, *ClBVa ἐπάγει Ath* sed *γρ λαμβάνει* in marg *λαμβάνῃ M* edd | *διατούτων Ma* | *ἑαυτὸν* (*ῶ* supra *ὸν*) *Ath ἑαυτὸν Vi* sed *ἑαυτῶ* in marg | *βλάβην* in marg *Vi*^{2}

ἄγειν ἀνήκεστον; τί γὰρ ἀνδροφόνου τῶν ὄντων ἀνοσιώτερον; ὅταν δὲ καὶ πατέρα τις διαχρήσηται καὶ τὸ δεινὸν ἐκεῖνο καὶ παρὰ πᾶσιν ἀπιστούμενον ἔργον R IV 757 *τολμήσῃ τις, Ἡράκλεις, τοῦ δυσσεβήματος.* | *οὐδὲ τὴν μίμησιν τοῦ τοιούτου δράματος ἐπὶ σκηνῆς ἰδεῖν εὖ φρονῶν ἄν τις ἀνάσχοιτο.*

51. *Πρὸς δὲ τούτοις κἀκεῖνο πρὸς ὑμᾶς εἰπεῖν βούλομαι. πολλὰ μὲν καὶ μεγάλα τῶν τοῦ βλέπειν ἐστερημένων τὰ δυστυχήματα, τὸ δὲ δὴ μέγιστον, αὐτοὶ μὲν οὐκ ἂν λάθοιέν τι διαπραττόμενοι, πάντες δὲ τούτοις ἀκινδύνως ἐπιβουλεύουσι. πῶς ἂν οὖν τὸν φόνον ἐτόλμησα δεδιὼς μή τις θεάσηται καὶ ταύτην μάλιστα συγκαθεύδουσαν φυλαττόμενος; πῶς δ' ἂν αὐτὸν ἐκεῖνον ἐπέγνων ὃν ἀνελεῖν ἐσπούδαζον ὁ πάντως χειραγωγούμενος;* 52. *οὐχ οὕτω ταῦτ' ἔχει. πόθεν; σὸν ὡς γυναικὸς καὶ ταύτης μητρυιᾶς τὸ δυσσέβημα προγόνῳ μὲν ἐπιβουλεύειν προῃρημένης, τοῦ δὲ κλή-*

4 cf. t. V 540, 9; VI 597, 4 17 cf. p. 678, 17; 681, 3; 687, 16; 690, 4; 691, 5. Poll. III 27

1 *ἐνθύμημα ἀπὸ προσώπου B*^{rubr} 7 *εἰσβολὴ τῆς* (om *Ma*^{3}) *δυνάμεως M*^{m}*Ma*^{3} *ἡ δύναμις ῆ* (*ῆ* cod.) *ὡς φεύγων κέχρηται ὁ λέγων B* 11 *ἡ δύναμις M*^{rubr}*Ma*^{3} *ἡ βούλησις η* (*ῆ* cod.) *ὡς κατήγορος κέχρηται ὁ πηρός B* 15 *ἐπιχείρημα ἀπὸ τοῦ* (om *Ma*^{3}) *προσώπου τῆς μητρυιᾶς καὶ τῆς αἰτίας M*^{m}*Ma*^{3}

2 *καὶ* om *V* | *τίς HViMaAth* 3 *παρὰ* inserui ex *HVVi MaClAthBVa* om *M* edd 4 *τολμήσει ViCl* | *τίς HVi* 6 *ἄν* om *ViBVaM* Mor 7 *ἐκεῖνο Vi* 8 *τῶν Va* sed *ὧν* in ras m^{2} | *τοῦ* om *BVaM* Mor 10 *λάθοιεν τί Ma* 11 *οὖν ἂν MaCl* | *ἂν* om *HV* | *οὖν* om *Vi* 13 *δὲ V* edd 14 *πάντοσε HV* *πάντα Vi* „*fortasse voluit πανταχῆ*" Re 15 *οὕτως Ath* | *ταῦτα AthBVa* | *ὅθεν Vi* sed *πόθεν* in marg m^{2} 16 *γυναικὸς Ma* sed *ὸς* in ras m^{3} | *ταῦτα H* 17 *προγόνων* (*οις* supra) *Ath* *προγόνοις ViVaM* Mor | *μὲν* om *Va* | *προειρημένης H*

ρου παντὸς ἐφιεμένης, δυσμενέστερον δὲ καὶ πρὸς τὸν ἄνδρα διακειμένης, ὅτι τοῦ παιδὸς ἑώρας κηδόμενον καὶ ἃς καθ᾽ ἡμῶν ἐκίνεις ἐπιβουλὰς ἀνοήτους παρασκευάζοντα καὶ φύλακα διαπαντὸς ἀήττητον καὶ γήρᾳ μὲν ἤδη κατειλημμένον, παιδοποιήσασθαι δὲ μηκέτι δυνάμενον. 53. *ταῦτα σέ, πάτερ, κακῶς ἀπολώλεκεν, ἡ πολλὴ περὶ ἡμᾶς εὔνοια, τὸ τῆς κηδεμονίας ἡμῶν ἀνυπέρβλητον, ἡ τῆς γυναικὸς τῶν χρημάτων ἐπιθυμία δι᾽ ἣν καὶ πάλαι μὲν ἡμῖν ἐπεβούλευε, νῦν δὲ τὴν ἀνήκεστον ταύτην ἐπιβουλὴν ἀθρόως ἐπήνεγκε.*

54. *Καίτοι τί βουλομένη, φησίν, ἀπέκτεινα τοῦ κλήρου κυρία γενομένη; τὴν κτῆσιν τούτου βεβαιοτέραν καὶ ἀσφαλέστερον ἑλεῖν τὴν τῶν χρημάτων περιουσίαν καὶ μηδεμίαν ὕστερον τοῦ πατρὸς δεδιέναι μεταβολήν. ᾔδεις γάρ, ᾔδεις* | R IV 758 *τὴν ἐκείνου διάνοιαν καὶ τὴν περὶ ἡμᾶς εὔνοιαν ὅση τις ἦν ἀφ᾽ ὧν σοι πολλάκις ὑπὲρ ἡμῶν συνεβούλευεν, ἀφ᾽ ὧν θεραπεύειν ἠξίου καὶ τοῦ μὲν ἐπιβουλεύειν ἀφίστασθαι, μητρὸς δὲ μᾶλλον ἢ μητρυιᾶς ἐπιδεικνύειν προαίρεσιν.* 55. *τούτοις τεκμηρίοις χρωμένη τὴν διαθήκην ὑπώ-*

---

6 *ἀποστροφή HB* 11 *ἡ ἑτέρα βούλησις* M^{rubr} Ma^{3} 12 *ἐπιχείρημα ἀπὸ τῆς αἰτίας* M^{m} Ma^{3}

---

1 *καὶ* om *M* 2 *ἑώρας Ma* sed *ας* in ras m^{3} *ἑώρακας AthCl* 3 *ἡμᾶς Va* sed *ῶν* supra *ᾶς* m^{2} 5 *καὶ ἀποστροφῇ* ante *κατειλημμένον BM* edd, *ἀποστροφῇ Va* delevi ut e scholio sequenti ortum 6 *ταυτά σε H* 8 *χρημάτων Vi* sed *χρηστῶν* in marg m^{2} 9 *ἐν ἡμῖν* in ras Va^{2} | *ἡμῖν* om *M* | *ἐπεβούλευεν ἡμῖν Vi* | *ἐπεβούλευσε HV* | *νῦν δὲ*] *καὶ νῦν Vi* 10 *ἀθρόον Ath* | *ἐπήνεγκεν Ma* 11 *Καίτοι*] *καὶ Vi* 12 *γεγενημένη H V* 13 „*post βεβαιοτέραν videtur deesse ποιεῖσθαι tibi facere scil. βουλομένη*“ Re | *καὶ* om *HVMaClAthBVa* | *ἀσφαλεστέραν Vi* | „*malim ἔχειν*“ Re 14 *μὴ δὲ μίαν H* *μὴ μίαν M* 17 *περὶ Vi* | *συνεβούλευσεν HV* 20 *τούτου Vi* | *χρωμένης Vi*

πτευες, ὑπενόεις. σαφῶς ἐγίνωσκες τὸ περὶ τοῦ κλήρου τοῦ πατρὸς διανόημα. διὰ τοῦτο τὸν φόνον εἰργάσω, διὰ τοῦτο τοὐμοῦ πατρὸς αὐτόχειρ ἐγένου βουλομένη μὲν ἀκίνητον διαμεῖναι τὴν περὶ τοῦ κλήρου προαίρεσιν, ὑποτεμνομένη δὲ τῷ θανάτῳ τὴν ἐπὶ τὸ βέλτιον ἐκείνου μεταβολὴν καὶ τὸν χρόνον παραιρουμένη τῆς μεταγνώσεως. 56. οὐ γὰρ ἠγνόεις ὡς ζῶντος μὲν τοῦ πατρὸς τῷ μὲν δοκεῖν τὸν κλῆρον ἐκέκτησο, δεσπότης δὲ τῶν ἑαυτοῦ περιὼν ἐκεῖνος ἦν ἀληθέστερος καὶ ὡς πρὸς τῷ πεπρωμένῳ τέλει τοῦ βίου γενόμενος τῷ παιδὶ τὸν κλῆρον ἐάσει καλὸν ἅμα καὶ δίκαιον λογισάμενος, ἀναιρεθέντος δὲ φόβος μὲν οὐδεὶς μεταγνώσεως, τῶν δὲ χρημάτων ἡ κτῆσις βεβαιοτέρα καὶ λοιπὸν ὁ κλῆρος ἀκίνδυνος τοῦ δυνηθέντος ἂν ἀφελέσθαι πάλιν ἀνῃρημένου καὶ διὰ τῆς αὐτῆς πράξεως ὑπάρξει μὲν τυχεῖν ὧν ἐσπούδαζες, ὑπάρξει δὲ συμφοραῖς ἀνηκέστοις περιβαλεῖν τὸν πρόγονον ὀρφανόν, ἔρημον, τῶν ἀναγκαίων ἐνδεᾶ καταστήσασα.

57. Ῥᾳδίαν δὲ τὴν ἀναίρεσιν ἔσεσθαι τοῦ πατρὸς

---

16 ἡ δύναμις *B* 19 ἡ ἑτέρα δύναμις ἤτοι ἡ τῆς μητρυιᾶς *M*rubr *Ma*[3]

---

1 „*aut* ὑπενόεις *delendum est, ut schol. vocabuli* ὑπώπτευες, *aut eo servato sic est leg.* ὑπώπτευες. *tum nova init sententia:* ὑπενόεις, μᾶλλον δὲ σαφῶς ἐγίνωσκες“ Re 2 τοῦ om *HV* | et 3 διατοῦτο *HViMaAthB* 3 τοῦ ἐμοῦ *MaCl* 4 εἶναι *H V* | περὶ — 5 προαίρεσιν in ras *Va*[2] et in marg *Va*[3] 6 παραιρουμένη *Va* sed αρ in ras m[2] προίαιρουμένη *Ma* προαιρουμένη *Cl* προορωμένη *Vi* γρ περιαιρουμένη in marg Mor 8 ἐκέκτητο *Ath* sed σο in marg 9 αὐτοῦ *BVaM* edd 11 καλὸν om *AthBVaM* πρέπον *MaCl* et γρ in marg Mor 12 εἶναι καὶ πρέπον post λογισάμενος *M* 13 κτημάτων *Vi* 16 ἐσπούδαζεν *V* 18 καταστήσασθαι *Vi* sed σασα supra σασθαι m[2] 19 τοῦ πατρὸς τὴν ἀναίρεσιν ἔσεσθαι *Vi* sed τὴν ἀναίρεσιν ἔσεσθαι in marg m[2], *MaCl*

κατανοήσασα προχειρότερον ἐπὶ τὸν φόνον ἐχώρησεν. ὁ μὲν υἱός, ἔφη πρὸς ἑαυτήν, εὐνούστατος μὲν περὶ τὸν πατέρα καὶ πρόθυμος, τυφλὸς δὲ καὶ τοῦ φυλάξοντος μᾶλλον δεόμενος ἢ βοηθεῖν ἄλλῳ δυνάμενος. οὐδεὶς δ' ἕτερος κωλύσει διαχρωμένην, οὐδεὶς ἐπιβουλεύουσαν ἐκείνῳ φωράσει. νῦν μὲν οὐ καιρὸς ἔσται τῆς ἀναιρέσεως, καθεύδοντος δὲ ῥᾳδίως αὐτόχειρ γενέσθαι δυνήσομαι. | 58. *κἂν τὸν φόνον ἐργάσωμαι, δια-* R IV 759 *φεύξομαι καὶ τὸ ἔγκλημα. τίς μὲν γὰρ ἐγκαλέσει, τίς δὲ ἑλκύσει προθύμως εἰς δικαστήριον; ἂν μὲν ἀλλότριος ᾖ, μάλιστα μὲν ὀκνήσει τὸν κίνδυνον, προελόμενος δὲ καὶ τῶν καθ' ἡμᾶς μηδὲν ἀκριβῶς ἐπιστάμενος ἁλώσεται μάτην συκοφαντῶν· ἐὰν δὲ τὴν γραφὴν ὁ παῖς ἀναδέξηται, τὸν φόνον ἀντεγκαλέσω καὶ καταστήσω ῥᾳδίως εἰς κίνδυνον ἄπιστον μὲν ἔγκλημα παιδὶ σπουδαίῳ πατρῷον φόνον ἐπάγουσα, πολλοῖς*

---

16 Dem. Boeot. dot. p. 1012, 17

---

1 *ἐπιχείρημα ἀπὸ τοῦ προσώπου MᵐMa³* *ἐπιχείρημα ἀπὸ προσώπου οἰκείου τῆς μητρυιᾶς B* 7 *ἀπὸ τοῦ καιροῦ MᵐMa³*

---

1 *προχειρότατον HV* 2 *μὲν περὶ*] *περὶ Vi* sed *δὲ πρὸς* in marg m² 4 *φυλάξαντος Cl* sed *α*(2) in *ο* corr, *AthM* | *ἢ* — 5 *δυνάμενος* om *B* 5 *δὲ HV* | *διαχρωμένη Vi* 6 *ἐπιβουλεύσασαν Vi* | *φωράσει Ma* sed *γρ καὶ φράσει* in marg m³ *φράσει Vi* 7 *οὐ* scripsi e *ViB* *ὁ* reliqui libri sed *οὐ* supra *ὁ Va*, edd 8 *γενέσθαι δυνήσομαι* scripsi ex *HVViMaClAth* *γενήσομαι BVaM* edd 10 *μὲν* om *Ma* | *γὰρ* om *B* | *ἐγκαλέσει* scripsi ex *HVViMaClAthVa* *καλέσει B* *ἂν καλέσῃ M* *ἂν καλέσει* edd sed *γρ ἐγκαλέσῃ* in marg Mor 11 *τίς δὲ ἑλκύσει* inserui ex *HV* om reliqui libri edd | *τὸ* ante *δικαστήριον* *Vi* 12 *ᾖ Vi* sed *ἦν* in marg m² 14 *μηδὲν ἀκριβῶς* scripsi ex *HVViMaClAth* *ἀκριβῶς οὐδὲν VaM* edd *οὐδὲν B* 18 *πατρῶον HVi*

δὲ δυναμένη πρὸς τὸν ἔλεγχον χρήσασθαι τεκμηρίοις. οἷς γὰρ αὐτὴ διεπραξάμην ἐπιβουλεύουσα, τούτοις κατὰ τοῦ παιδὸς χρήσομαι. καὶ διὰ τῶν αὐτῶν ὁμοῦ μὲν ἐκεῖνον ἔνοχον ἐπιδείξομεν, ὁμοῦ δὲ τὴν δίκην διαφευξόμεθα.

59. Τούτων οὖν οὕτω βεβουλευμένων τὰ μὲν ἤδη κατώρθωσε, τὰ δὲ προσθήσειν ὑπείληφε. φάρμακον γοῦν ἔχων ἐφωράθης, φησί, καὶ οἷς ἂν κατ' αὐτῆς τις χρήσαιτο, ταῦτα καθ' ἡμῶν προφέρειν οἴεται δεῖν. τὸ μὲν οὖν δεδέσθαι φάρμακον ἐν τοῖς ἱματίοις οὐκ ἂν ἀρνηθείην, ὅτι δ' ἐκ ταύτης γέγονε τὸ σκευώρημα, πρόδηλον. ἡ μὲν γὰρ τοῦτο τῷ πατρὶ κατεμήνυσεν, ὁ δὲ παραχρῆμα τὴν ἐπιβουλὴν ὑπενόησε καὶ ὡς ἐρωτήσαντος πόθεν εἴη τὸ φάρμακον ἐσιώπησα διὰ τούτου

14 [Quintil.] decl. II § 5 p. 24, 12

8 τὰ εἰκότα τῶν ἀπ' ἀρχῆς (ἀπαρχῆς *Ma*[3]) ἄχρι τέλους *M*[rubr] *Ma*[3] τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξ ἀντιθέσεως *B* 9 ἡ λύσις τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξ ἀντιθέσεως διὰ μεταθέσεως τῆς αἰτίας *B*

1 χρήσασθαι scripsi e *MaClAth* διαχρήσασθαι *HV* sed in hoc δια eras χρῆσθαι *ViBVaM* edd | τοῖς ante τεκμηρίοις inser *Ma*[2] 2 ἐπιβουλεύσασα *Vi* 3 χρήσομαι (sed ομ in ras m[3]) κατὰ τοῦ (sed τ in ras m[3]) παιδός *Ma* 4 ἐπιδείξομαι (εν supra αι) *Ma* ἐπιδείξομαι *Cl* ὑποδείξομεν *BVa* ἀποδείξω *Vi* sed ὑποδείξομεν in marg m[2] 5 φεύξομαι *Vi* sed διαφευξόμεθα in marg m[2] 6 μὲν *Vi* sed οὖν in marg m[2] | οὕτως *HVViMaClAth* 8 οὖν *HV* | κατ' αὐτῆς ἄν τις *Vi* ἄν τις κατ' αὐτῆς *HVAth* Re 9 προσφέρειν *Ma* sed σ eras 10 τὸ ante φάρμακον *M* 11 ὅτι — 12 πρόδηλον praemissis verbis σκευώρημα ἡ ἐπιβουλή. Λιβάνιος citat Andr. Lopad. lex. Vindob. s. v. σκευωρῶ p. 164, 15 ed. Nauck | δὲ *HVVi* Lopad | ἐκ om *HV* | σκαιώρημα *Ma* sed ευ supra αι m[3], *Cl* cf. p. 663, 7; 664, 10; 681, 2 et 9; 683, 13; 686, 6; 687, 9 et 14; 691, 15 et ad p. 325, 15 12 δῆλον Lopad | τούτω *Vi* 13 τὴν om *H* inser *V*[2] | ἐπενόησε *Vi MaClAth* 14 διατούτου *B*

τὴν καθ' ἡμῶν ἐπήρειαν ἐνδειξάμενος, συνῆκε τὸν τρόπον τοῦ σκευωρήματος καὶ τὴν ταύτης πονηρίαν εἰκότως ἐμίσησε τοιαῦτα κατὰ τοῦ προγόνου μηχανωμένης. 60. *τὴν γὰρ τυφλότητα τὴν ἐμὴν ἀφορμὴν αὐτάρκη πρὸς ἅπασαν ἐπιβουλὴν εὐτυχήσασα συνεχῶς ἐχρῆτο τούτῳ καθ' ἡμῶν τῷ πλεονεκτήματι. καὶ τὸ φάρμακον ἐκεῖνο θοιματίῳ τῷ ἐμῷ φέρουσα ἐγκατέδησε.* | *τίς γὰρ οὐκ ἂν λάθοι τυφλὸν πάντα κατ'* R IV 760 *αὐτοῦ σκευωρούμενος καὶ παρόντος πράττων ἃ βούλοιτο καὶ μετὰ πλείστης ἀδείας τὰ χείρω προφανῶς μηχανώμενος;* 61. *ἤ, πρὸς θεῶν, οὕτως ὑπῆρχον ἀνόητος ὡς τυφλοὺς εἶναι καὶ τοὺς ἄλλους ὑπολαμβάνειν καὶ παρασκευάζειν μὲν δηλητήριον, δῆλον δὲ τούτῳ ποιεῖν ὡς ἐπεβούλευον; τίνα δὲ τούτῳ διαφθεῖραι προῃρημένος περιῄειν τοῖς ὁρῶσιν ἐπιδεικνύμενος; πότερον ταύτην ἢ τὸν πατέρα; καθ' ἑκάτερον γὰρ αὐτὴν*

---

13 cf. p. 682, 13; 683, 8; 684, 12; 685, 3; t. IV 441, 7

---

7 *ἡ πιθανὴ ἀπολογία Brubr*   11 *διλήμματον B*

---

1 *ἡμᾶς B* | *ἐπιδειξάμενος HV* „*malim ἐκδεξάμενος intelligens, colligens*“ Re   2 *σκευωρήματος Cl* sed *ευ* in *αι* corr m[3] *σκευωρήματος* (*αι* supra *ευ*) *Ma* | *τιμωρίαν BVa*   3 *τοιαῦτα* scripsi *ταῦτα* libri edd   5 *τὴν* ante *ἐπιβουλὴν Vi*   6 *ἐπιβουλεύματι Vi* sed *πλεονεκτήματι* in marg m[2]   7 *ἐκείνω M* | *τῷ ἱματίῳ MaCl* | *ἐγκατέδησε* scripsi auctore Cobeto Coll 293 *συγκατέδησε* libri edd   8 *οὐκ ἂν*] *ἂν οὐκ ἂν HV* *οὐ ViMa* sed in hoc *οὐκ ἂν* suprascr m[3] *ἂν οὐ Cl* | *λάθοι* reposui ex *HVMaClAth BVa* cum Iacobsio Anth. Pal. III 110 *λάθῃ ViM* edd | *τὰ* ante *κατ' HV*   9 *σκαιωρούμενος MaCl* sed in hoc *αι* ex *ευ* corr m[3] | *πράττειν Vi* sed *ων* supra *ειν* m[2]   12 *τοὺς* om *H* inser *V*[2]   13 *τούτῳ* scripsi auctore Re *τοῦτο* libri edd   14 *ἐπιβουλεύων Ma* sed *ἐπεβούλευον* suprascr m[3], *Cl* | *τοῦτο Vi* | *διαφθείρειν BVa*   16 *διλήμματον* post *πατέρα Ath* sed in textu circumductum et in marg deletum cf. schol. *B* ad l. 11 | *γὰρ* om *Vi*

συκοφαντοῦσαν ἐπιδείξομεν. 62. *εἰ μὲν τὸν πατέρα φήσειεν, ἀνθ' ὅτου λεγέτω. καὶ τὴν πρόφασιν αὐτὴν ἐρωτήσατε. τοῦ γὰρ κλήρου μηδέπω ταύτῃ δεδωρημένου δι' ὅν, ὥς φησιν, ἠγανάκτησα, τίνα τις ἂν εἴποι ἄλλην αἰτίαν ἣν προλαβὼν ἐπεβούλευον; εἰ δὲ κατ' αὐτῆς ηὐτρέπιστό μοι τὸ φάρμακον, πῶς ταύτην μὲν ἀνελεῖν ἐσπούδαζον, ἀντὶ δὲ ταύτης τὸν πατέρα διεχρησάμην;* 63. *εἶτα πῶς οὐκ ἄλογον ἐγκαλεῖν μὲν ὡς ἐπιβουλεύοντι τῷ πατρί, τεκμήριον δὲ τούτων ἀπαιτουμένην προφέρειν τὸ δηλητήριον, ὃ τὴν κατὰ τοῦ πατρὸς ἐπιβουλὴν οὐδαμῶς ἐπιδείκνυσιν;* 64. *ἡδέως δ' ἂν αὐτὴν κἀκεῖνο μεθ' ὑμῶν ἐρωτήσαιμι, πότερόν ποτε τοῦτο τὸ δηλητήριον οὕτως ἦν πρόδηλον ὡς εἶναι καταφανὲς ἢ τοὺς ἄλλους ἅπαντας ἐλάνθανεν; εἰ μὲν γὰρ πρόδηλον, πρῶτον μὲν μανία δήπουθεν ἄντικρυς ἐπιβουλεύειν μὲν τῶν ἀνηκέστων λάθρα τι διαπράξα-*

---

11 Dem. cor. p. 300, 21 15 cf. t. VI 596, 2

---

11 *διλήμματον Ath*

---

1 *συκοφαντοῦσθαι* Re 2 *καὶ* inser *Ma* om *M* 3 *ταύτην Vi* sed *ταύτῃ* in marg m² 4 *ἂν* ante *ἠγανάκτησα HV MaCl* Re post *ViBVaM* Mor delevi cum Iacobsio Lect | *τίς HMaBM* | „*locum hunc non intelligo. num ἵνα τις ἂν εἴποι καλὴν αἰτίαν; δῆλον γάρ, ὅτι οὐχ ἕνεκα χρημάτων, οὐ προλαβὼν* (id est *ὅτι αὐτὰ οὐ προέλαβον*) *ἐπεβούλευον. verum ne hoc quidem satis facit*“ Re | *εἴπῃ Vi* sed *οι* supra *η* m² 5 *πάλιν H V* | *αἰτίαν* om *HV* | *ἣν* scripsi ex *Ath* cum Iacobsio Lect *ὧν ViMaClBVaM* edd *ᾧ HV* 6 *ηὐτρεπίσθη Vi* | *δηλητήριον HVMaCl* | *ὡς* Mor 8 *μὲν* om *HVMaClAth* 9 *τὸν πατέρα BVa* | *τοῦτον Vi* | *ἀπητούμην Ath* 12 *ὑμῶν B* sed *ὑ* in ras *ἡμῶν ViVa* | *πότε V* 15 *πρῶτον* — 683, 1 *καταμηνύειν* praemissis verbis *ἄντικρυς ἀντὶ τοῦ σχεδόν. Λιβάνιος* citat Andr. Lopad. lex. Vindob. s. v. p. 22, 18 ed. Nauck 16 *τί λάθρα HV* | *λάθρα* om Lopad | *τί* libri Lopad edd

σθαι, προφανῶς δὲ τοῦτο καταμηνύειν ὥσπερ δεδιὼς μὴ λάθω τὴν ἐπιβουλὴν μηχανώμενος. ἔπειτα δὲ τῶν μὲν ἄλλων ἁπάντων τοσούτων ὄντων ἐπὶ | τῆς R IV 761 *πατρῴας ἑστίας οὐδεὶς οὐδεπώποτε θεασάμενος τοῦτο διήλεγξε, μόνη δὲ τὸ πρόδηλον ἅπασιν εἶδεν ἡ μητρυιά; καὶ τίς ἂν ταῦτα κακουργίας ἐκτὸς γεγενῆσθαι πιστεύσειεν;* 65. *εἰ δὲ τοὐναντίον λανθάνειν λέγει τὸ δηλητήριον, πῶς μὲν ἐξήτησε; πῶς δὲ τὸ λανθάνον διηρευνήσατο; πόθεν δὲ ταύτῃ περιεργάσασθαι τὰ καθ' ἡμᾶς ἐπελήλυθεν; ἐγὼ μὲν οἶμαι καὶ τοῦτο μέγιστον εἶναι τῆς καθ' ἡμῶν ἐπιβουλῆς δήπου τεκμήριον, ὅμως δὲ λανθάνον μὲν οὐκ ἐξήτησεν, ὅπερ δὲ σαφῶς ἐγίνωσκε σκευωρήσασα, τοῦτο καὶ τῷ πατρὶ πεπεισμένῃ δεδήλωκεν. οὔτε γὰρ ἂν ἔδειξεν ὅ τι περ ἦν ἀγνοοῦσα τὸ δεδεμένον οὔτ' ἂν ἀκριβῶς οὕτως ἐγίνωσκεν, εἰ μὴ τὸ φάρμακον δήσασα προετύγχανε.* 66. *παραχρῆμα*

---

1 *τούτω Vi* | *δεδιὼς* scripsi ex *HVViMaClAthBVa* edd *δεδιότα M* edd cf. ad p. 406, 21; t. I 480, 15 sq. 3 *μὲν* om *Vi* 4 *μητρώας M* Mor | *οὐδέποτε HV* *οὐδὲ πώποτε* reliqui libri edd | *οὕτως Vi* sed *τοῦτο* in marg m^2 5 *ἤλεγξε Ma* sed *διή* supra *ἤ* m^3, *Cl* | *τὸ* om *HV* *τοῦτο B* | *ἅπασιν* inserui ex *HVVi* *πᾶσιν MaCl* om *AthBVaM* edd 6 *εἶναι Vi* sed *γεγενῆσθαι* in marg m^2 7 *λανθάνειν* scripsi ex *HMaClAthVa* *λανθάνεις Vi* sed *ειν* supra *εις* m^2 *λανθάνον VBM* edd | *λέγει* scripsi ex *HVMaCl* *λέγοι AthBM* edd *λέγειν Vi* sed *ειν* del et *ει* suprascr m^2 *λέγω Va* 8 *λανθάνειν Vi* sed *ον* supra *ειν* m^2 9 *περιεργάζεσθαι M* | *τὰ* scripsi ex *HVViMaClAth* *τὸ BVaM* edd 10 *οὖν* post *μὲν M* edd delevi | *ἡγοῦμαι Ma* 11 *δήπουθεν MaCl* *τὸ Vi* sed *δήπου* in marg m^2 12 *λανθάνον μὲν V* sed e *λανθάνομεν* corr m^2 *λανθανομένη H* | *ἐξήτησε Ma* edd | *σαφὲς HCl* sed in hoc *ὲς* in *ῶς* corr m^3, *Ath* | *ἐγίγνωσκε BM* edd 13 *σκευωρήσασα* in marg *Vi*^{2} *σκαιωρήσασα MaCl* sed in hoc *αι* ex *ευ* corr m^3 14 *ὅ τι περ* scripsi ex *HV* cum Iacobsio Ach. T 908 App. Pors. 327 Lect *εἴπερ* reliqui libri edd 15 *ὃν* post *δεδεμένον HV* | *οὔτε V* Re | *ἐγίγνωσκεν B* edd 16 „*malim ἐνδήσασα*“ Re at cf. p. 647, 5; 680, 10

γοῦν ὁ πατὴρ ἔγνω τὴν ταύτης καθ' ἡμῶν ἐνέδραν γεγενημένην καὶ συνεὶς ἤρετο μὲν πόθεν τὸ φάρμακον, εἰδὼς δὲ καὶ ταῦτά μου σιωπήσαντος τὴν περὶ τοῦ κλήρου διάνοιαν ἐβουλεύσατο. παύσειν γὰρ οὕτως ἐνόμιζε ταύτην ἐπιβουλεύουσαν. ἐλελήθει δὲ ἄρα καθ' ἑαυτοῦ σοφιζόμενος. δι' ὧν γὰρ τῆς καθ' ἡμῶν προαιρέσεως κωλύειν ἐνόμιζε, διὰ τούτων τὴν καθ' ἑαυτοῦ πληγὴν καιριωτέραν ἤνεγκε. 67. *πρὸς δὲ τούτοις, εἰ μὲν φαρμάκοις ἀνῄρητο, παρῆν μὲν ἂν καὶ τότε διελέγχειν τὴν κακουργίαν, τάχα δ' ἄν τις μᾶλλον ὑπώπτευσεν· ὅπου δὲ σιδήρῳ τὸν φόνον ἐτόλμησε, τί τὸ δηλητήριον ἐνταῦθα προφέρει καὶ τῆς ἀναιρέσεως λέγει τὸ φάρμακον εἶναι σημεῖον; ὥσπερ ἂν εἴ τις* R IV 762 *φαρμακείας ἐπάγων ἔγκλημα | τούτου μὲν μηδὲν ἔχοι λέγειν τεκμήριον, ὅτι δὲ σίδηρον εἶδεν ἔχοντα*

---

3 [Quintil.] decl. II § 5 p. 24, 23 sq.

---

13 *ἐργασία ἀπὸ παραβολῆς B*

---

1 *οὖν Vi* | *ἔνεδραν HVViMa* sed in hoc in *ἐνέδραν* corr m[3], *ClVaM* edd 2 *συνιεὶς ViBVa* | *εἴρετο Vi* 3 *καὶ* om *Va* | *τοῦ*] *τὴν M* 4 *ταύτην Ma* | *ἐνόμιζεν ἐπιβουλεύουσαν ταύτην BVaM* Mor 6 *ἑαυτὸν Vi* sed *ἑαυτοῦ* in marg m[2] | *τὴν* et *προαίρεσιν Vi* 7 *κωλύειν V* sed *ειν*. in ras m[2] *κωλύσειν H* | *διὰ* — 8 *ἤνεγκε* praemissis verbis *καιριωτάτη πληγὴ ἡ θανατηφόρος. Λιβάνιος* citat Andr. Lopad. lex. Vindob. s. v. p. 107, 4 ed. Nauck | *διὰ τούτου HV* *διατοῦτο* Lopad 8 *πληγὴν* in marg *Vi*[2] | *καιριωτάτην* Lopad | „*malim ἐπήνεγκε*" Re | *τούτοις δὲ MaCl* 9 *φαρμάκοις Va* sed ´ et in ras *οις* m[2] | *ἂν* in marg *Vi*[2] 10 *δὲ Vi* edd 12 *ἐντεῦθεν Ma* sed *αῦθα* supra *εῦθεν* m[3], *Cl* 13 *σημεῖον εἶναι τὸ φάρμακον M* 14 *μὲν* eras *Ma* inser *Va*[2] 15 *ἔχοι λέγειν* scripsi ex *Ath* coll p. 565, 14 *ἔχειν λέγοι HV* et Iacobs Lect *λέγειν ἔχει Ma* sed *ει* in *η* corr m[3], *Cl* *ἔχει ViVa* sed in hoc *οι* supra *ει* *ἔχῃ B* *ἔχοι M* edd sed „*videtur dare voluisse μηδὲν ἔχῃ vel ἔχοι λέγειν*" Re | *δὲ* om *Vi* inser *Va*[2]

τὸν κρινόμενον λέγοι. τί οὖν εἴποι τις ἂν πρὸς ἐκεῖνον; ἐμβρόντητε, τοῦτο οὐ σημαίνει τὸ ἔγκλημα. φαρμακείαν μὲν γὰρ ἐλέγχει τὸ δηλητήριον, σιδήρῳ δέ τις οὐ τοῦτον διαφθείρει τὸν τρόπον.

68. Καὶ περὶ μὲν τούτων ἱκανῶς, οἶμαι, δεδήλωται. ταύτης τε γὰρ ἦν ἡ τῶν φαρμάκων ἐπιβουλὴ καὶ παραχρῆμα τοῦτο λογισάμενος ὁ πατήρ, μικροῦ δέω λέγειν, ἐδάκρυσεν, ἐφ' οἷς ἐρωτηθεὶς ἐσιώπησα βαρέως ἐκείνῳ τὴν ἐπιβουλὴν αἰνιττόμενος. τῇ γὰρ σιωπῇ τὴν μητρυιὰν ἐδήλωσα μήτε διελέγχειν αὐτὴν προφανῶς τότε δυνάμενος μήτε τι ψεύδεσθαι προσήκειν ὑπολαμβάνων. 69. περὶ δὲ τοῦ ξίφους, τοῦτο γὰρ καὶ νῦν ἡμῖν ἐπανατείνεται καὶ προφέρει πολλάκις, ἐγὼ δὲ τοσοῦτον ἂν εἴποιμι· τὸ μὲν ξίφος ἡμέτερον ξίφος, ἐφ' ἑτέραις ἐλπίσιν ὑπὲρ πατρίδος, ὑπὲρ γονέων, ἂν δέῃ, κατὰ τῶν πολεμίων ἐκείνῳ χρήσομαι, κοινὸν δὲ προὔθηκε τοῖς ὑφαιρεῖσθαι βουλομένοις ἡ τύχη. καί τις ἂν τῶν ἐπὶ τῆς οἰκίας προελόμενος κἀμὲ ῥᾳδίως αὐτῷ διεχρή-

2 Isocr. or. XVIII § 243 p. 308, 5 5 Dem. cor. § 110 p. 263, 12 8 [Quintil.] decl. II § 5 p. 24, 12 12 [Quintil.] l. l. § 22 p. 38, 26

12 *ἡ μετάθεσις τῆς αἰτίας M^rubr Ma³* *ἑτέρα μετάθεσις αἰτίας B*

1 *λέγει ViMaCl* | *τίς HViAth* | *ἂν Ath* | signum interrogationis post *ἐκεῖνον* posui, comma *Ath* edd colon reliqui libri comma post *ἐμβρόντητε* posui colon Mor signum interrogationis Re om libri 4 *δὲ τίς H* | *φθείρει HV* 6 *τε* om *H VVi* 12 *καὶ νῦν* om *B* | *ἡμῖν* om *Vi* | *ἐπιτείνεται Ma* sed *γρ ἐπανατείνεται* suprascr m³ *ἐπανατείνει τε?* Iacobs Lect 13 *καὶ* in ras *Ma³* | *νῦν* post *καὶ BVaM* Mor et inser *Ma³* del Re | *οὐ* ante *τοσοῦτον H* 14 *ξίφος*(2) delendum censet Re | *ἀλλ'* ante *ἐφ' HV* et inserendum censet Re 15 „*malim ἐλπίσιν, ἵν' — 16 χρήσωμαι*“ Re | *κἂν MaCl* 16 *τῶν* om *Ma ClBVaM* | *προὔθηκα Vi* 17 *ἡ τύχη*] *εἰ τύχοι Vi* | *κἂν HVi MaAthVa* | *ἂν* om *Ma* del *Cl* 18 *προελόμενος* scripsi ex

σατο μήτε κωλύειν ὑφαιρουμένου μήτε φυλάττεσθαι δήπου δυνάμενον. πιστεύει δέ τις ὡς ἐγὼ τοὐμοῦ πατρὸς αὐτόχειρ γενέσθαι προῃρημένος τὴν ἀναίρεσιν ἂν τὠμῷ ξίφει διεπραττόμην ἢ τούτῳ διαχρησάμενος κατέλιπον ἂν φώριον τοῦ φόνου;

70. *Ταύτης, ὦ ἄνδρες δικασταί, γέγονε τὸ σκευώρημα. τῆς μητρυιᾶς ἐκεῖνο τὸ διανόημα δι' οὗ κατορθώσειν ἀμφότερα προσεδόκησε, καὶ τὸ λαθεῖν αὐτόχειρ*
R IV 763 *γεγενημένη καὶ τὸ | καθ' ἡμῶν ἑλεῖν συκοφαντίας ἐφόδιον. ἀλλ' ἔοικε γὰρ τὸ δαιμόνιον ἐφορᾶν ὀξέως τὰ δρώμενα, καὶ δι' ὧν ἄν τις ἐπιβουλεύῃ ἑτέροις καὶ κακουργῶν λανθάνειν ὑπολαμβάνῃ, διὰ τούτων ἐλέγχειν ὑπεύθυνον αὐτὸν ὑπάρχοντα τοῖς ἐγκλήμασιν.* 71. *οὕτω γοῦν οἷς καθ' ἡμῶν ἐπεχείρησεν ἑαυτὴν κατεμήνυσε. τὸ γὰρ ἐκείνῳ τῷ ξίφει τολμῆσαι τὸν*

7 cf. p. 660, 10   10 cf. ad p. 657, 4

5 *φώριον*] *τὸ* (om Mor) *κλέμμα* suprascr *Ma*[3] et in marg Mor   10 *ἐφόδιον*] *ἀφορμὴν Ma*[3] Mor

HViMaClAthBVa *ελόμενος* cum ras 3 litt ante *ε V* *ὑφελόμενος M* edd | *διαχρήσαιτο Vi*

1 *ὑφαιρουμένου* scripsi ex *HCl* sed in hoc *ου* in *ους* corr m[3], *AthBVa* et *γρ* in marg Mor *ὑφαιρομένου M* *ὑφαιρουμένους Ma* sed *ου* supra *ους* m[3] *ὑφαιρούμενον V* edd *ἀφαιρούμενον Vi*   2 *δήπουθεν Ma* | *δυναμένου Ma* sed in *δυνάμενον* corr m[3], *Cl* | *δ' ἄν Ma* | *τοῦ ἐμοῦ HV* *τοῦ μοῦ Ath*   4 *ἂν* om *Vi* | *τῶ ἐμῶ HV* *τῶ 'μῷ Vi* *τῶ μῶ ClAth* | *διεπραξάμην Vi* | *τοῦτον HV* | *διαχρησάμενος Ma* sed *γρ διαπραξάμενος* suprascr m[3] *γρ τοῦτο διαπραξάμενος* in marg Mor   6 *σκαιώρημα B*   8 *προσεδόκησεν* edd   9 *ἑλεῖν* — 10 *δαιμόνιον* inser *Ma*[2] et in marg *Cl*[2]   10 *γὰρ τὸ* scripsi e *Vi* coll p. 572, 14 *γάρ τοι τὸ Ma*[2] *γάρ τι* reliqui libri sed *ρ τι* abscissum *Cl*[2], edd   11 *ἑτέροις ἐπιβουλεύῃ B* | *ἐπιβουλεύων Vi* sed *ἐπιβουλεύῃ* in marg m[2]   12 *ὑπολαμβάνει* (*η* suprascr.) *AthVa* sed in hoc *η* suprascr m[2]   13 *ἐλέγχει VaAth* | *αὐτὸν Ma* *ἑαυτὸν Vi* *αὐτὸν* reliqui libri edd   15 *τ*¨ ?

φόνον καὶ καταλιπεῖν πρόδηλον ἱκανὸν ἕξειν κατ' ἐμοῦ τεκμήριον προσδοκήσασα τοὐναντίον ἐδήλωσεν ὡς οὔτ' ἂν αὐτὸς διαχρησάμενος οὕτως ἀλογίστως ἐβουλευσάμην οὔτ' ἄν τις ἕτερος κατ' ἐμοῦ ταῦτα συνέθηκεν. ἀλλ' ὁ τῆς ἐπιβουλῆς τρόπος τὴν τῆς μητρυιᾶς διελέγχει προαίρεσιν. τίς γὰρ ἀνδροφόνος καθ' ἑαυτοῦ καταλείπει γνώρισμα; τίς κλέπτης; τίς ἱερόσυλος; τίς κακουργήσας δι' ὧν ἐλεγχθήσεται διαπράττεται;

72. Σοφόν γέ σου τὸ διανόημα, καλά γε τὰ σκευωρήματα, φονεύειν, ἀντεγκαλεῖν· ἐπιβουλεύειν, προφέρειν ἑτέροις ἃ δέδρακας. ἀπεχρήσω τἠμῇ τυφλότητι πρὸς δυσσέβειαν, τῇ συμφορᾷ πρὸς πᾶσαν ἐπιβουλήν. ἐὰν ἐμπλήσω τὴν ἐσθῆτα φαρμάκων, τυφλὸς ὤν, ἔφη πρὸς ἑαυτήν, οὐκ ὄψεται ταῦτα σκευωρουμένην. τὸ ξίφος ἐὰν ὑφέλω, τίς μου καταμηνύσει τὸν φόνον ἐργασαμένης; συκοφαντήσω τὸν πρόγονον, κἂν ἀπαιτῶμαι τεκμήριον, προβαλοῦμαι τὸ ξίφος. 73. ταῦτά σου τὰ σοφίσματα, ταῦτα τὰ μηχανήματα πᾶσαν ὑπεραίροντα πονηρίαν. ἐμὸν μέν, ὦ

---

19 τὸ σημεῖον δι' οὗ ἐλέγχει τὴν μητρυιὰν τὸν φόνον ἐργασαμένην ἤτοι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους *HB*

---

1 καὶ om *Vi* 2 προσεδόκησα in ras *Ma*[3] | οὔτ' ἂν *Ma* sed γρ ὅταν suprascr m[3] 3 διεχρησάμην *Vi* 4 συνέθηκεν *Ma* sed γρ προσέθηκεν suprascr m[3] 5 τῆς μητρυιᾶς διελέγχει τὴν *HV* Re 7 καταλίπη *HV* 9 δέ *Vi* | σου *Vi* sed που in marg m[2] | γέ σου *HV* 10 προσφέρειν *ViCl* sed in hoc σ del m[3], *Va* 11 τῇ ἐμῇ *HV* τῇ 'μῇ *MaAthB* τῇ μῇ *ViCl* | χρηστότητι *Vi* 12 ἂν *HV* 14 „*malim* ἔφης, *et tum* ἑαυτὴν *erit idem atque* σεαυτήν" Re | αὐτὴν *ViMaAth* αὑτὴν *Cl* | ὄψομαι *Vi* | σκευωρουμένης *Vi* sed σκευωρουμένην suprascr m[2] 15 ἂν *BVa* | καὶ ante τίς *HVMaClAthBVa* 16 τὸν φόνον καταμηνύσει *BVaM* Mor | τὸν φόνον ἐργασαμένης om *Ma* | ἐργασαμένης *V* sed γα inser m[2], *Cl* sed ης ex η corr m[2] 17 ἀπαιτῶσι *Vi* 18 σοι *Vi* 19 μέν inserui ex *HVViMa ClB* sed in hoc inser rubr om *AthVaM* edd

γύναι, τὸ ξίφος, σὸν δὲ τὸ τόλμημα. συγκαθεύδειν ἐκείνῳ προσποιουμένη διέφθειρας τὸν καιρὸν αὐτόθεν τοῦ φόνου κατανοήσασα ᾧ διεχρήσω τὸν δυστυχέστατον. καὶ ὁ μὲν μηδὲν ἀνήκεστον προσδοκῶν ἀνεπαύετο, σὺ δὲ λοιπὸν ὕπνῳ κατειλημμένον θεασαμένη ῥᾳδίως ἀπέκτεινας. 74. εἰ δὲ μὴ τοῦτον ἐπράχθη τὸν τρόπον ὁ φόνος, πῶς μὲν οὐκ ᾔσθου τῆς ἀναιρέσεως; πῶς δέ R IV 764 σέ τις ἔλαθε διαχρώμενος; | πῶς τὴν πληγὴν ἐπιφέρων καὶ τοσοῦτον ἔργον διαπραττόμενος; σὺ δὲ τὴν καιρίαν ἐκείνου λαβόντος καὶ φωνὴν ἀφιέντος οἵαν εἰκὸς ἀφιέναι τοὺς οὕτως ἀναιρουμένους οὐκ ἔγνως τὸν φόνον; οὐχ αἵματος αἴσθησις παραχρῆμα διήγειρεν ὁμοῦ μὲν τὴν κοίτην ἅπασαν ἐμπλήσαντος, ὁμοῦ δὲ σοῦ τῷ σώματι πλησιάζοντος; οὐ τὰ τελευταῖα, ταραχὴ καὶ θόρυβος καὶ πᾶς μὲν ὁ οἶκος κεκινημένος, πολὺς δὲ θρῆνος ἀναβοώμενος; 75. ἀλλ' ἐγὼ μὲν πόρρω που τοῦ πατρὸς ἐν ἑτέροις οἴκοις ἀναπαυόμενος ᾐσθόμην εὐθέως καὶ διεγερθεὶς εἱστήκειν ἐπὶ τῶν εἰσόδων τῆς οἰκίας ἣν κατοικεῖν με συνέβαινεν ἐκπλήξει μὲν καὶ φόβῳ κατειλημμένος, περαιτέρω δὲ προελθεῖν μὴ δυνάμενος, σὲ δὲ πλησίον τοῦ σώματος καθεύδουσαν οὐκ

4 [Quintil.] decl. II § 8 p. 27, 1   14 cf. t. II 139, 6

1 δὲ om *H*   2 τὸν om *Vi*   3 κατενόησα *HV* | ὃν *HV Ma* sed in hoc in ᾧ corr m[2], *ClAth* | εὐτυχέστατον *Vi* sed δυστυχέστατον in marg m[2]   6 τὸν τρόπον ὁ φόνος ἐπράχθη *B Va*   8 σέ inserui e *Par* ut coni Re om reliqui libri edd | τίς *M* | ἐλάνθανε *MaCl*   9 δὲ om *VMaCl*   11 τοῖς *Vi* | ἀνηρημένους *HVM* ἀνηρημένοις *Vi*   12 „*fort.* αἵματός σε“ Re | διήγειρεν om *Vi*   13 ἅπασαν τὴν κοίτην *HV* Re   14 σοῦ om *Vi* ἅπασαν *HV* | τὸ σῶμα *Vi* | τατελευταῖα *Ath*   15 ὁ inserui ex *HVViMaClAth* om *BVaM* edd   16 που om *HClB* inser *Ma*[3] et in marg *Vi*[2]   18 τὴν εἴσοδον *Vi* sed τῶν εἰσόδων in marg m[2]

ἂν τὸ πένθος διήγειρε; καὶ οἱ μὲν ἐκ γειτόνων οἰκοῦντες αἰσθόμενοι τοῦ συμβεβηκότος ἀπήντησαν καὶ καθεύδοντες διηγέρθησαν, αὕτη δὲ μόνη καίτοι τῷ κειμένῳ παρακαθεύδουσα τοῦ πτώματος οὐδὲν ἄρα διενηνόχει; ποῖος μὲν ὕπνος, ποῖον δὲ φάρμακον ἀναισθησίας τοσοῦτον πάλιν κατεδυνάστευσεν; 76. *ἀλλ', οἶμαι, προσποίησις ἦν τὸ γιγνόμενον καὶ τοὺς καθεύδοντας ἐμιμεῖτο μηδενὸς ὕπνου κατειληφότος ἀνύποπτον διὰ τούτου κατασκευάζουσα ἑαυτὴν καὶ τὴν ἐπὶ τοῖς γεγενημένοις ὑπόνοιαν διαφεύγειν σπουδάζουσα. ᾤετο γὰρ ὅτι διεγερθεῖσα μὲν καὶ προσώπῳ καὶ συνειδότι καὶ πολλοῖς ἑτέροις τεκμηρίοις ἑαυτὴν καταστήσει κατάφωρον, εἰ δὲ καθεύδουσαν αὐτὴν ὕστερον καταλάβοι τις, ὡς μηδὲν τῶν γεγενημένων ἐπισταμένη τὴν ἐπὶ τούτοις ὑπόνοιαν διαφεύξεται. Δίκη δέ τις τῶν ἀνθρωπίνων πραγμάτων ἔφορος τὴν | τῆς* R IV 765 *κακουργίας ἐπίνοιαν εἰς τοὐναντίον μετέστησεν. ἃ γὰρ*

---

1 Lyc. Leocr. § 21 p. 150, 33. Arist. Plut. 435 4 cf. p. 695, 6 15 cf. p. 657, 4; 694, 2; t. IV 169, 13. Eur. El. 771. Dionys. Hal. ant. XI 27, 1

---

1 *πεπονθὸς HV* | *διήγειρεν Ma* | *καὶ* om *Vi* | *ἐκ γειτόνων*] *ἐγγειτόνων ViVa ἐν γειτόνων Par* 3017 (Schaefer Greg. Cor. p. 47) at cf. ll. ll. 2 *αἰσθόμενοι V* sed *ο*(1) in ras 3 litt m² *αἰσθανόμενοι H* 3 *αὕτη* scripsi ex *HViAth αὐτὴ VMaCl BVaM* edd sed „*αὐτὴ si bene habet, διενηνόχεις erit leg. cum B(avar.) aut si διενηνόχει servatur, leg αὕτη*" Re | *καὶ* ante *μόνη HV* 5 *διενηνόχεις HVi* sed in hoc *χει* supra *χεις* m² 6 *πάλιν*] „*malim πάσης σοῦ*" Re at cf. p. 690, 6; 693, 4 7 *γινόμενον H* 9 *ἑαυτὴν διὰ τούτου κατασκευάζουσα H V* | *δὴ τούτω MaCl* 10 *γενομένοις Vi* 11 *μὲν* ante *γὰρ H V* | *καὶ* om *Ath* 13 *κατάφορον VVi* | *εἰ* — 14 *τις* in marg inser *Cl²* 14 *καταλάβῃ VVi* sed in hoc *οι* supra *η* m², *MaCl²* | *τίς HMa* | *ἐπισταμένη Vi* sed *νην* suprascr m², *Ma* sed *η* in *ην* corr m³, *Cl* sed *ν* post *η* eras, *Ath* sed *ν* supra *η* add 16 *τῶν ἀνθρωπίνων Ma* sed *γρ τῶν ἀφορήτων* suprascr m³

λαθεῖν πειρωμένη διεβουλεύσατο, ταῦτα φανερωτέραν δήπου κατέστησεν.

77. *Ἀλλ' εἰ, φησί, μιαιφόνος τις ἦν καὶ τὸν τρόπον οὕτως ἀνήμερος, οὐκ ἂν τοῦ προγόνου παντάπασι φεισαμένη τὸν ἐμαυτῆς ἄνδρα διεχρησάμην. εἶτα σοφιζομένης αὐτῆς πάλιν ἀνέξεσθε καὶ τοῖς πράγμασιν αὐτοῖς ἀπιστήσαντες τοῖς πρὸς ἀπάτην μεμηχανημένοις προσέξετε; δεῖ δὲ ὅμως καὶ τοῦτον αὐτῆς διελέγξαι τὸν λόγον.* 78. *πολλὰ τὴν ἐμὴν ἀναίρεσιν διεκώλυε· πρῶτον μὲν ἁπάντων καὶ μέγιστον, ὁ πατὴρ εὐνοῶν, φυλάττων, κηδόμενος· ἔπειτα δὲ τῆς ὑποψίας ὁ φόβος καὶ τῆς τιμωρίας ὁ κίνδυνος καὶ τὸ δυσχερὲς μὲν τῆς ἀναιρέσεως, ῥᾴδιον δὲ τῶν ἀποδείξεων. οὔτε γὰρ ὁ πατὴρ καιρὸν ἐνεδίδου ταύτῃ πρὸς τὴν ἀναίρεσιν οὔτε μὴν ἐγὼ δεδιὼς ἀεὶ καὶ φυλαττόμενος οὔτ' ἂν τολμήσασα τὸν φόνον διέλαθεν οὔτ' ἂν ἑτέροις ὥσπερ νῦν ἀντεγκαλεῖν ἐπεχείρησεν, ἀλλὰ διήλεγξεν ἂν ὁ πατὴρ ῥᾳδίως τὸν φόνον καὶ*

---

3 *πιθανὴ ἀπολογία M*rubr *Ma*³ *ἀντίθεσις B*rubr 6 *λύσις B* 9 *ἐπιχείρημα ἀπὸ τῆς αἰτίας B*

---

3 *φησί Cl* sed *η* ex *ο* corr m³ | *τίς ViMaAth* 4 *οὕτως* inser *Va*² 5 *ἐμαυτῆς Vi* sed *ἐμαυτοῦ* in marg m² 6 *αὐτῆς* in marg *Vi*² 7 *καὶ* om *Vi* | *ἀπιστήσαντες Va* sed *ἀπι* in ras maiore m² *ἐπιστήσαντες M* Mor qui *οὐκ* anteponendum coni Not 8 *μεμηχανευμένοις Vi* *μεμηχανωμένης Va* sed *η* supra *ω* et *ης* in *οις* corr m² 9 *αὐτῆς καὶ τοῦτον BVa* *αὐτῆς Vi* *λόγον* *αὐτοῖς* Mor | *τρόπον Ath* 10 *διεκώλυσε HV* *ἐκώλυε Va* 12 *κίνδυνος* in ras *Va*² 13 *ἀναιρέσεως Va* sed *αι* in ras m² | *δὲ καὶ* ante *τῶν Vi* sed *διὰ* in marg m² 14 *ἐνεδίδου* scripsi ex *HVMaClAth* *ἐδίδου Vi* sed *ἐνεδίδου* in marg m², *BVaM* edd 15 *ῥαδίως Cl* sed in *δεδιὼς* corr m² | *καὶ* inser *Cl*² 16 *οὔτ' ἂν*] *οὔτε Vi* | *τὸν φόνον* — 691, 1 *πικρότατος* in marg inser *Cl*² | *διέλαθε Va* edd 17 *οὔτ'* in ras *Ma*⁴ | *ἐπεχείρησεν Ma* sed *γρ εἶχεν* suprascr m³ *εἶχεν M*

πικρότατος ἂν ἐπέστη ταύτῃ κατήγορος νῦν μὲν αὐτῆς τὰς πρότερον ἐπιβουλὰς διηγούμενος καὶ δι' ἐκείνων τὰ παρόντα πιστούμενος, αὖθις δὲ τοῖς τῆς ἀναιρέσεως τεκμηρίοις πρὸς ἔλεγχον χρώμενος. εἰ δὲ τούτων ἠπόρει, μητρυιᾶς τὸ περὶ τοὺς προγόνους φύσει πολέμιον ἐβεβαίου τὴν ὑποψίαν. 79. πρὸς δὲ τοῖς εἰρημένοις, εἰ καὶ τὴν γραφὴν τοῦ φόνου διαφεύξεσθαι προσεδόκα, τοῦ κλήρου στερησομένη σαφῶς ἐγίνωσκε. ταύτην γὰρ ἂν ὁ πατὴρ παρ' αὐτῆς ἔλαβε τιμωρίαν τῆς οἰκίας ἀποπεμψάμενος καὶ τὸν κλῆρον αὐτῆς ἀφελόμενος. καὶ νῦν μὲν τὸ ξίφος, τὰ φάρμακα δέδωκε πρόφασιν καθ' ἡμῶν ταύτῃ συκοφαντίας, σαθρὰ μέν, ὡς ἤδη δεδήλωται, συναιρόμενα δὲ ὅμως πρὸς συκοφαντίαν εὐφώρατον· τότε δ' ἂν ποῖα μὲν φάρμακα, | ποῖον δὲ ξίφος, R IV 766 ποίαν δ' ἐπιβουλὴν σκευωρήσασα τὴν τῆς ἀναιρέσεως ἐφ' ἕτερον ἂν μετέστησεν ὑποψίαν; 80. καὶ τοῦ μὲν πατρὸς τελευτήσαντος κἀμὲ ῥᾳδίως ἀναιρήσειν ὕστερον προσεδόκησεν ἢ λάθρα μηδενὸς ὁμοίως ἔτι φυλάττον-

---

2 προτέρας *HVB* | καὶ — 3 πιστούμενος om *HV* 3 τῆς *Va* sed ἧς corr m² 4 πρὸς ἔλεγχον om *Vi* | τούτου *HV* 5 μητρυιὰ *HVViClAthVa* | τὸ inser *BMa*³ om *HVViClAthVa* | πολέμιος *Vi* sed πολέμιον in marg m² 6 ἐδήλου *HV* | εἰς *Vi* sed εἰ καὶ in marg m² 7 διαφεύξεσθαι *Cl* sed e δὴ φεύξασθαι corr m³ 8 σαφῶς στερησαμένη *BVa* στερησομένου *Ma* | ἐγίγνωσκε *M* edd 9 παρ' αὐτῆς ὁ πατὴρ *B* | ἔλαβε παρ' αὐτῆς *Vi* 10 αὐτὸν *Vi* sed αὐτῆς in marg m² 11 πρόφασιν δέδωκε *Vi* 12 ταῦτα *Vi* | σαθρὰν *HV* | δὲ *Vi* | λέλεκται *Ath* 13 ὅμως δὲ συναιρόμενον *Vi* | συνειρόμενα Iacobs Add 220 | δ' *Ma* | εὐφώρατον *Ath* (ἀ supra) ἀφώρατον *Cl* 14 δὲ *Va* edd | μὲν et δὲ om *Vi* 15 δ' ἂν *HVViMa* sed in hoc ἂν inser δὲ *VaM* edd | σκευωρήσασαν *Vi* | ἐπὶ ante τῆς *ViBM* Mor 16 ἑτέραν *ViCl* sed in hoc in ἕτερον corr m³, *AthBVa* | μὲν om *HV* 17 ἀναιρεθέντος *BVa* | ὕστερον ἀναιρήσειν *B Va* 18 προσεδόκησε *Ma* | μηδὲν *Vi* | ἔτι φυλάττοντος ὁμοίως *Ma* | φυλαττόμενον *Vi*

τος ἢ τηλικούτων ἀδικημάτων γραφὴν ἐπάγουσα καὶ τὸν περὶ τοῦ παντὸς ἐπιστήσασα κίνδυνον· ἀναιρεθέντος δ' ἐμοῦ συμβήσεσθαι δυοῖν θάτερον, ἢ τιμωρίαν αὐτὴν ὑποσχεῖν ἢ τοῦ πατρὸς αὐτῇ δυσμεναίνοντος μήτε δύνασθαι κἀκεῖνον προσανελεῖν παντελῶς αὐτὴν φυλαττόμενον μήτε τοῦ κλήρου λοιπὸν εἶναι κυρίαν. διὰ ταῦτα τὴν μὲν ἡμετέραν ἀναίρεσιν εἰς καιρὸν ἕτερον ὑπερέθετο, καὶ γέγονε τὸ μὲν τῆς μιαιφονίας προοίμιον, ἐμὲ δὲ δευτέροις ἀγῶσιν ἐταμιεύσατο.

81. *Τεθνάναι μὲν οὖν ἔσται μοι κεχαρισμένον, θάνατον δὲ δυστυχεῖ μᾶλλον ἢ κακούργῳ προσήκοντα, καὶ καταλῦσαι μὲν ἤδη τὸν βίον, πρότερον δὲ τὴν ὑπὲρ τοῦ πατρὸς τιμωρίαν εἰσπράξασθαι. δρᾶμα γὰρ παραδέδωκε δράματι τοῖς μὲν ἀκούουσιν ἀπιστούμενον, τοῖς δρῶσι δὲ φοβερώτατον. οὐκ ἦν ἄρα μοι διὰ πάντων δυστυχὴς ἡ τυφλότης, οὐκ ἦν παντάπασιν ἀλυσιτελὴς ἡμῖν ἡ συμφορά. φέρει τι καὶ κέρδος πολλάκις δυστυχία τις ἀνυπέρβλητος. εὐτύχημα γοῦν ἔναγχος*

10 *κοινὴ ποιότης Mrubr*

2 *καταστήσασα BVa* 3 *δέ μου HVMaClAth* | *συμβήσεσθαι* inser *Va*[2] | *δυεῖν Ath* 5 *προσανελεῖν Cl* sed *σ* inser m[3] | *αὐτὸν ViMaClVa* 7 *διαταῦτα ViB* | *μὲν* om *Vi* 8 *ποιήσασθαι HV* sed in hoc *ὑπερέθετο* suprascr m[2] | *γέγονε τὸ* scripsi *γέγονεν ὃ* (*ὁ HAthVaM* *ὅ V*) libri edd | *μιαιφονίας προοίμιον Ma* sed *ς προοίμ* in ras m[4] et *προοίμιον* in marg m[3] 11 *δυστυχῇ Vi* sed *δυστυχεῖ* in marg m[2], *MaCl* | *προσήκοντι B* 12 *καταλῦσαι Vi* *καταλύσαι* reliqui libri edd cf. ad t. V 330, 9 | „*malim ἡδὺ*" Re | *τὴν* om *Vi* Mor 14 *παραδέδωκε* scripsi ex *HVMa* sed in hoc *παρέδωκε* suprascr m[3], *Cl* *παρέδωκε ViAthBVaM* edd | *δρᾶμα ViMa* sed in hoc e *δράματι* corr m[3] 16 signa interrogationis post *τυφλότης* et *συμφορά Vi* | *παντάπασι λυσιτελὴς Va* sed *ἀ* ante *λυ* inser rubr 17 *φέρει* — 18 *ἀνυπέρβλητος* laudat excerpt. Neapol. II C 32 fol. 284v *γὰρ* post *φέρει* Neapol. | *τί* libri Neapol. edd | *καὶ* om *HVViB Va* 18 *τίς* libri Neapol. edd | *ἀτύχημα Vi*

ἔσχον τὴν συμφοράν. οὐκ εἶδον θέαμα φρικωδέστατον, οὐκ εἶδον πάθος ἀνήμερον. 82. εἴθε καὶ τῶν ἀκοῶν ἡ δύναμις συναφῄρητο καὶ πεπηρώμην τὸ συναμφότερον. οὕτω γὰρ ἂν ὁμοῦ μὲν ἀθέατος, ὁμοῦ δὲ πάλιν ἀνήκοος ἤμην τοῦ πάθους. νῦν δὲ κερδάνας τὴν θέαν ταῖς ἀκοαῖς ἔγνων τὴν συμφοράν. ποίαν γὰρ ἡμῖν, ὦ Ἥλιε, δραματουργίαν | R IV 767 ἀπήγγειλαν; ποίας μιαιφονίας ἐπίδειξιν; 83. ὁ μὲν δυστυχέστατος ἐκεῖνος πατὴρ ἐφ' οὗ καθεύδων ἐτύγχανε σχήματος, ἐπὶ τούτου καὶ νεκρὸς ἔκειτο πληγῇ μὲν ἀπανθρώπῳ ἀνῃρημένος, οἰκείῳ δὲ πανταχόθεν αἵματι καὶ λύθρῳ περιρρεόμενος. ἡ δὲ παντὸς θηρίου μιαρωτέρα τὸν φόνον ἐργασαμένη πλησίον τοῦ πτώματος ἀνεπαύετο. καὶ ξίφος ἐκεῖνο τὸ δυστυχὲς φρικωδεστέραν ἐποίει τὴν θέαν, ὅτι μὲν τοῦ παιδὸς ἦν, γνωριζόμενον, ὅτι δὲ τούτῳ τὸ δρᾶμα τετόλμητο, φοβερωτέραν ἀποφαῖνον τὴν συμφοράν. 84. ταῦτα μανθάνων καὶ διηγούμενος πῶς μὲν οἴεσθε διετέθην; πῶς δὲ καὶ φέρω διανοούμενος; αὐτὸς ἀναιρεῖσθαι νομίζω τῷ ξίφει καὶ κατ'

3 cf. p. 650, 16 5 cf. ad p. 668, 10 7 cf. p. 629, 9; 656, 10; 697, 10

1 *φρικωδέστατον Vi* sed *ερον* supra *ατον* m² 2 *οὕτως* ante *ἀνήμερον* inserendum coni Mor | *ἀνηρημένον Va* 3 *ἐπεπηρώμην Vi πεπηρωμένος ἦν HV* 5 *δὲ* om *Vi* 6 *ἡμῖν, ὦ Ἥλιε, δραματουργίαν* scripsi ex *HVMaClAth ὦ ἥλιε δραματουργίαν ἡμῖν ViBVaM* edd 7 *ἀπήγγειλας MaCl* | *ποίαν μιαιφονίαν Ma* 9 *ἀφ' B* sed *α* in *ε* corr, *Va* | *τούτοις ViB τούτω MaCl* 10 *ἀπανθρώπῳ* scripsi ex *HVViClAth* cum Iacobsio Ach T 736 *ἀπανθρώπου Ma ἀνθρώπου BVaM* edd 11 *περιρραινόμενος Vi* 12 *παντὸς θηρίου* scripsi ex *HVViMaClAth θηρίου παντὸς BVaM* edd | *μιαρωτέρους Vi* sed *ρα* supra *ρους* m² 13 *εἰργασμένη* Iacobs Lect 14 *ἔκεῖνο Va* sed *˜νο* in ras m² 16 *τοῦτο Vi* | *τετόλμηκε Vi* 17 *πάντα Vi* | *καὶ διηγούμενος*] *διηγουμένων* ut p. 698, 10? 18 *μὲν* om *Vi* | *διετίθην Ma* | *καὶ* om *Vi*

ἐμαυτοῦ φέρεσθαι τὴν πληγήν. νῦν ἡσυχάζουσιν Ἐριννύες, νῦν οὔτε τιμωροὶ δαίμονες οὔτε Ποιναί τινες τὴν μιαιφόνον ἐλαύνουσιν. ἀλλὰ ταύτας μέν φασι κατὰ τῶν παίδων ὁπλίζεσθαι καὶ τιμωρεῖν πατράσιν ὑπὸ τῶν παίδων ἀνῃρημένοις, ἐπὶ τοιούτοις δὲ δυσσεβήμασιν οὐ κεκίνηνται γυναικὸς τὸν ἑαυτῆς ἄνδρα παρ' αὐτὸν τὸν τῆς πίστεως καὶ κοινωνίας καιρὸν διαχρησαμένης.

85. Ἐγώ σε, πάτερ, ὄντως ἀνῄρηκα. δι' ἐμὲ ταύτην ὑπέσχες τὴν τιμωρίαν. τί με γὰρ γνησίως ἠγάπας; τί δὲ προθύμως ἡμᾶς ἐθεράπευες; τί προφανῆ τὴν ὑπερβάλλουσαν κηδεμονίαν ἐποίεις καὶ τὴν γυναῖκα διὰ τούτων δυσμενεστέραν οὐδὲ προσποιούμενος τὸν παῖδα μισεῖν ἐλάνθανες οὕτω κηδόμενος οὐδὲ δοκῶν ἡμῖν ὀργίζεσθαι τὴν ὑπόκρισιν τῆς ὀργῆς διεφύλαττες; 86. ἔνδηλος ἦς καὶ τότε τῷ μὲν δοκεῖν ὀργιζόμενος,

2 cf. p. 698, 6

1 Ἐριννύες θεαὶ τρεῖς παρ' Ἕλλησιν ἔφοροι φόνου καὶ τιμωρούμεναι τοὺς φονεῖς. καλοῦνται δὲ Ἀληκτώ, Μέγαιρα καὶ Τισιφόνη *Ma*³ cf. Harpocr. s. v. Εὐμενίδες. [Apollod.] bibl. I 1, 4

1 ἐμοῦ *Vi* | νομίζω ante τὴν *Vi* 2 οὔτε(1)] οὕτω *Vi* 3 ταῦτα *HV* τὰς *ViMa* 5 τῶν inserui ex *HVMaClAthVa* om *ViBM* edd | δὲ τοῖς τοιούτοις *HV* et Iacobs App Pors Adv 283 Lect | δὲ inser *Ath* 6 τὸν — 7 διαχρησαμένης praemissis verbis πίστις ἡ στοργή citat Andr. Lopad. lex. Vindob. s. v. πίστις 141, 14 ed. Nauck | παρ' αὐτὸν τὸν scripsi ex *HVViMa Cl* Lopad cum Iacobsio Lect παρὰ τὸν *Ath* περὶ τὸν *BVaM* edd sed διαχρησαμένης ἄνδρα περὶ τὸν τῆς in marg Mor 7 καὶ κοινωνίας om *Vi* Lopad | καιρὸν καὶ κοινωνίας *BVa* 8 signum interrogationis edd 9 οὕτως *HV* ὄντας Mor sed ὄντως corr Not 10 ὑπέστης *Vi* | γάρ με *HV* Re | ἠγάπησας *M* Mor 13 δυστυχεστέραν *HV* 14 οὕτως *HVMa* sed in hoc ς eras, *Cl* 15 ὑπόκρισιν *Ma* sed χείρισιν supra κρισιν m³ | εὐνῆς *Vi* sed ὀργῆς in marg m² 16 ἔκδηλος *Vi* δῆλος *HV* | ἦς *Ma* sed ν supra ς m³ cf. p. 640 not. 2 | τὸ *Vi*

τὴν εὔνοιαν δὲ μᾶλλον ἐπιδεικνύμενος. οὐκ ἠδυνήθης, ὦ πάτερ, δυσμένειαν πρὸς ἡμᾶς ὑποκρίνασθαι. κατενόησε τὴν σὴν προαίρεσιν ἡ πασῶν αὕτη κακουργοτάτη. δι' ἀμφοτέρων οὖν ὦσε | τὸ ξίφος, κἀμὲ R IV 768 γὰρ ἔτρωσε καιριωτέραν, καὶ τῆς αὐτῆς πληγῆς ἔργον ἀμφότεροι γεγενήμεθα. τί γὰρ ἀναισθήτου σώματος διενήνοχα; τί δέ μοι τοῖς ζῶσι πρόσεστι παραπλήσιον; 87. μόνην τὴν αἴσθησιν ἔχω τῶν οἰκείων ἀτυχημάτων καὶ τὴν γνῶσιν τῶν καλλίστων ἀφῃρημένος οἶδα τὰ ἐμὰ δυστυχήματα. τὴν μητέρα πυρὶ δαπανωμένην ἐθεασάμην καὶ πρὸ τῆς θέας ἐκείνης τῶν ὀφθαλμῶν ἐκπεσεῖν δέον παραχρῆμα θεασάμενος κἀκείνων προσαφῃρέθην. τυφλὸς γενόμενος τὴν τοῦ πατρὸς σωτηρίαν ἱκανὴν εἶχον παραμυθίαν. εἷς ἦν μοι λοιπὸν ὀφθαλμὸς καὶ κάλλιστος ὁ πατήρ. καὶ τοῦτον πεπήρωμαι. 88. περίειμι δὲ συμφορῶν ὑπόμνημα, μεγέθους ἀτυχημάτων. τὸν δυστυχέστατον ἂν εἴποι τις. τὸν πηρὸν ἅπαντες ὀνομάζουσι. τὸν πηρὸν εἰ λέγοι τις, δηλώσει τὸν βαρυδαίμονα. τὸ τῶν συμφορῶν ἀνυπέρβλητον ὄνομά μοι τοῦ πρόσθεν γεγένηται κυριώτερον. ἐπώνυμον γὰρ ἀτυχημάτων πεποίηνται. 89. καὶ συναλ-

---

2 πατὴρ *Vi* | ὑποκρίνεσθαι *MaCl* 3 πανουργοτάτη *Ath* 4 καὶ ante δι' *Ath* | οὖν om *MaCl* γοῦν *AthM* Mor 5 ἔργον om *BVa* 7 προσέσται *Ma* sed πρόσεστι suprascr m[3], *Cl* 8 οἰκείων *Vi* sed ἐκείνων in marg m[2] 9 τἀμὰ *MaAth* 10 δαπανωμένην πυρὶ *Vi* 12 κἀκείνους (sed ων supra ους m[3]) προσαφηρέθην παραχρῆμα θεασάμενος *Vi* 14 λοιπὸς *BVaM* Mor 15 τούτου Mor 16 μεγέθους scripsi μέγεθος libri edd „*malim* ὦ μέγεθος" Re 17 εἴποι scripsi ex *HV ViMaClAthBVa* εἴπῃ *M* edd | τίς *HMaAth* | πονηρὸν ὀνομάζουσιν ἅπαντες *HV* 18 πονηρὸν *HV* | δ' εἰ *BVa* | λέγει *Ma Cl* λέγει (οι suprascr) *Va* λέγοις *HV* | τίς *Ath* om *HV* | δηλώσεις *HV* 21 πεποίηται? | τἀτύχημα τῷ ἀτυχήσαντι πεποίηνται coni Re

γοῦσι μὲν ἡμῖν μικροῦ δεῖν ἅπαντες κατὰ τὴν πόλιν, γελᾷ δὲ τὴν ἐμὴν δυστυχίαν ἡ μητρυιὰ καὶ τοῖς κακοῖς ἐπεμβαίνει τοῖς ἡμετέροις. καὶ θρηνεῖν μὲν ὑποκρίνεται τὸν πατέρα, μεμελέτηκε γὰρ ὑποκρίνεσθαι ποτὲ μὲν ὕπνον, ποτὲ δὲ θρῆνον καὶ δάκρυα, γάμον δὲ πάλιν ἤδη περινοεῖ τὸν κλῆρον προτείνουσα καὶ τοῖς ἡμετέροις χρήμασι πολλοὺς δελεάζουσα.

90. Νῦν δακρύεις, ὦ γύναι, νῦν ὀδύρῃ καὶ προσδοκᾷς ὑπὸ τούτων ἐλεηθήσεσθαι. καιρὸς ἦν ποτε δακρύων, καιρὸς οἴκτου καὶ φιλανθρωπίας, ὅτε γαμηλίοις μὲν δαίμοσι καὶ νόμῳ τῆς κοινωνίας πιστεύων ὁ πατὴρ ἀνεπαύετο, σὺ δὲ φόνον ὠμότατον εἰργάσω τοῦ βαρυδαίμονος μήτε γῆρας ἐλεεινὸν μήτε βίου συνήθειαν
R IV 769 | ἐννοήσασα. 91. τοιαῦτα τολμήσασα παρ' ὑμᾶς ἕστηκεν, ἀπὸ τοιούτων ἐλθοῦσα δυσσεβημάτων μιαίνει τὸ δικαστήριον. καθαρσίων ὑμῖν δεῖ, μᾶλλον δὲ πάσῃ τῇ πόλει τηλικούτου μιάσματος. καθάρσιον δὲ πρεπωδέστατον ἔσται ταύτης ἡ κόλασις. ἐγὼ δὲ πυρὶ καθαρσίῳ τὸ λειπόμενον δώσω τοῦ σώματος. πρότερον μὲν γὰρ τὴν μητέρα καὶ τοὺς ὀφθαλμοὺς αὐτόματον ἐπελ-

---

3 cf. p. 541, 8

---

4 μεμελέτηκε γὰρ ὑποκρίνεσθαι om *B* 5 ὕπνον *Va* sed ον in ras m² | προτείνουσα post ὕπνον *B* | ποτὲ(2) — 6 κλῆρον in marg *Va*² 6 ἤδη πάλιν *M* | προτείνουσα om *B* 8 δὲ post νῦν *HV* 9 καιρὸς — δακρύων om *HV* 11 θεοῖς *Vi* sed δαίμοσι in marg m² 12 ἐργασαμένη *HV* 13 καὶ ante μή-τε(1) *Vi* | βίου scripsi cum Iacobsio Lect βίον ἢ *ViMaClAthB VaM* edd om *HV* „*recte quidem omittit B(avaricus) videtur tamen in his epithetum aliquid cuius accusativus in ῆ exit, latere, quod nunc non exputo*" Re | τὴν ante συνήθειαν inserendum coni Iacobs 15 τῶν ante τοιούτων *B Va* | ἀσεβημάτων *HV* 16 τε Mor | ἡμῖν *HV ViMaCl* 18 δὲ om *HV* 19 λοιπὸν *MaCl* 20 ἐπελθὼν *B Va*

θὸν συνανάλωσε, νυνὶ δὲ τὴν μιαιφόνον τιμωρησάμενος χειροποιήτῳ πυρὶ προσθήσω καὶ τὸ λειπόμενον. 92. *ἐπὶ ποίαις γὰρ ἔτι βιώσομαι ταῖς ἐλπίσι; τίς θεραπεύσει; τίς προνοήσεται; ποῖος μὲν πατήρ, τίς δὲ καὶ μήτηρ φιλοφρονήσεται; τίς ἑστία πατρῴα, τίς οἶκος προγονικὸς ὑποδέξεται; πόθεν τῶν ἀναγκαίων ἐπικουρία; καὶ ταῦτα γὰρ τῷ πατρὶ συνανῄρηται. καὶ γέγονεν ὁμοῦ πάντα τῆς μητρυιᾶς, ὁ κλῆρος, ὁ φόνος, ἡ παντελὴς ἡμῶν ἀπώλεια. μόλις ἐνταφίων ἔτυχεν ὁ πατήρ, μόλις, ὦ Γῆ καὶ Ἥλιε, τῶν νομιζομένων ἱκανὸν κλῆρον καταλιπών.* 93. *διὰ ταῦτα τεθνάναι καλόν, διὰ ταῦτα καταλῦσαι τὸν βίον λυσιτελέστερον τῷ πατρὶ τιμωρήσαντα. τιμωρὸν γὰρ ἔχεις, ὦ πάτερ, τιμωρὸν τοῦ φόνου, μόνον, ὡς ἔοικεν, εὐτυχέστατον, ὅταν ὑπὲρ σοῦ τι διαγωνίζεσθαι δέῃ. τοῦ τε γὰρ πυρὸς ἐκείνου τοῦ πολεμίου κεκράτηκα τῆς σῆς ἕνεκεν μαχόμενος σωτηρίας.* 94. *καὶ νῦν δεινότερον μὲν ἀγῶνα τοῦτον ἀνεδεξάμην, πολὺ γὰρ τοῦ πυρὸς αὕτη χαλεπωτέρα, κρατήσειν δ' ὅμως πεπίστευκα. παραμυθήσονται γάρ με δικασταὶ φιλοικτίρμονες κολάζειν μὲν τοὺς* | R IV 770 *πονηροὺς καὶ μισεῖν, τοὺς δὲ δυστυχεῖς οἰκτείρειν μεμαθηκότες.*

---

2 Thuc. II 77, 3 10 cf. ad p. 406, 9; IV 144, 4; VI 273, 3

---

1 *νῦν M* edd 2 *λειπόμενον Ma* sed *ει* in ras m[4] 4 *καὶ* om *HV* 5 *πατρώα HViAth* 6 *ὑποδέχεται Vi* 8 *ὁ κλῆρος*] *ὁλόκληρος HV* | *ἡ* om Mor 9 *παντελὴς Vi* sed *πάντα* in marg m[2] 11 *καταλιπὼν Va* sed ʹ*ν* in ras m[2] et ʹ supra *ι* eras | *διὰ ταῦτα* (1 et 2) *ViMaAthB* | *τεθνάναι καλὸν διαταῦτα* in marg *Ath* 12 *καταλύσαι HAth* cf p. 692, 12 | *τὸν βίον Ma* sed *τὸν βι* in ras m[4] 13 *τιμωρί σαντι HV* *τιμωρήσασθαι Vi* | *γὰρ* om *Vi* 14 *εὐτυχέστερον Ma* sed *ατ* supra *ερ* m[3] 15 *δοίη Vi* sed *δέῃ* in marg m[2] 16 *ἕνεκα Ma* | *σωτηρίας μαχόμενος BVaM* Mor 19 *δὲ H* 20 *με* om *Vi* 21 *τοὺς* om *Va* Re

95. *Δεήσομαι δὲ πάντων ὑμῶν δέησιν ἴσως ἀλυποτάτην· τούτῳ τῷ ξίφει διαχρησάσθω ταύτην ὁ δήμιος. τῷ ταύτης αἵματι τὸν ἐπικείμενον λύθρον ἀποκαθάρωμεν. κἂν ὑμῖν τοῦτο δοκῇ, τῷ τοῦ πατρὸς τάφῳ ταύτην ἐπαποκτείνωμεν, σφάγιον εὐσεβές τε καὶ δικαιότατον. οὕτω γάρ, οἶμαι, τοὺς ἐκείνου δαίμονας εὐμενεστέρους ἑαυτοῖς καταστήσομεν.* 96. *οὐκ ὄψομαι μὲν οὖν τὴν μιαιφόνον δικαίως* ⟨*ἀποκτεινομένην*⟩ *οὐδὲ θεατὴς γενέσθαι δυνήσομαι τῆς τιμωρίας, ὅμως δὲ καὶ ταῦτα διηγουμένων ἀκούων δόξω κολαζομένην ἑωρακέναι. τοῦτό μοι τὸ διήγημα τὸ πρώην ἐπὶ τῷ τοῦ πατρὸς πάθει γεγενημένον παραμυθήσεται, τοῦτο τὴν ἀκοὴν ἐκείνην ἐξίτηλον γενέσθαι παρασκευάσει καὶ κουφοτέραν ποιήσει τὴν συμφοράν.*

97. *Ἐγὼ μὲν οὖν, ὦ πατρῷοι δαίμονες, καὶ ζῶντι καὶ τελευτήσαντι τῷ πατρὶ βεβοήθηκα κατὰ δύναμιν πάντα διαπραξάμενος, ἐμὲ δὲ τίς θεραπεύσει; τίς κηδεύσει καὶ τελευτήσαντα παντελῶς ἔρημον ὄντα καὶ δυστυχέστατον; τοσοῦτον δὲ μόνον εἰπὼν καταβήσομαι·*

---

13 cf. t. IV 250, 12. Her. I 1, 1; V 39, 2. Isocr. Areop. § 47 p. 149 b. Plat. Criti. p. 121 A

---

1 *δὲ γάρ. δεήσομαι γὰρ* sed *δὲ* et *γὰρ* inser *Va* | *ἴσως* om *HVB* 2 *διαχρησάσθω AthVa* sed *δια* antepos *AthVa*[2] *χρησάσθω HV* | *καὶ* ante *ταύτην HV* 3 *τὸ HVViM* | *ἀποκαθαίρωμεν Ma* 5 *ἀποκτείνωμεν Vi* | *δικαιότατον* scripsi ex *HVViMaClAth* coll l. 19 *δίκαιον BVaM* edd 6 *οἶμαι* om *Vi* | *ἐκεῖ Vi* sed *ἐκείνου* in marg m[2] 7 *μὲν* om *HVVi* 8 *δικαίως* om Mor sed *γρ* in marg | *ἀποκτεινομένην* inserui om libri *φονευομένην* edd | *οὐ M* 9 *τῆς τιμωρίας δυνήσομαι HV* | *καὶ* om *ViMaCl* 11 *πρώην* in marg inser *Vi*[2] | *σοῦ* ante *τῷ* inser *Ma*[3] | *πατρὶ πάθος Vi* sed *τοῦ πατρὸς πάθει* in marg m[2] 13 *ἐκείνην* in marg inser *Ma*[3] 15 *ζῶντι Vi* sed *ζῶν* in marg m[2] 18 *τελευτήσαντι B* 19 *καταβοήσομαι Ma Cl* sed *o* del *Ma*[2]*Cl*[2]

γένοιτο μέν, ὦ ἄνδρες δικασταί, μὴ πειραθῆναι μητρυιᾶς· εἰ δὲ ἄρα τοῦτο συμβαίνοι, μηδεὶς πιστευέτω, κἂν εὔνοιαν ὑποκρίνηται. τοσούτῳ γὰρ ἔσται χαλεπωτέρα καὶ κακουργήσει δεινότερον, ὅσῳπερ ἂν λανθάνῃ τὰ χείρω κατὰ τῶν πιστευόντων μηχανωμένη. τοῦτο γὰρ τῇ πείρᾳ μεμαθηκώς, ὡς μήποτε ὤφελον, σύμβουλος ἂν εἴην, ὡς ἔοικεν, ἀξιόχρεως καὶ τοῖς ἀκούουσιν ἢ ἐμαυτῷ μᾶλλον λυσιτελέστερος.

---

1 *τῆς* ante *μητρυιᾶς Vi*   2 *συμβαίνει HV*   *συμβαίνειν Vi* sed *οι* supra *ειν* m^2 *συμβαίη MaCl* sed in hoc *η* ex *ν* .. corr m^2 3 *καὶ H*   4 *δεινότερ^{α}ον Ath*   *δεινότερα BVa*   5 *τοῦτο γὰρ* inser *Ath*   6 *μὴ Vi* | *ὄφελον AthVaM*   7 *καὶ* ante *ἀκούουσιν ClVa* Re   8 *ἢ* in marg inser Vi^2

L.

Declamatio inscripta Ἐγράψατό τις τὸν ἑαυτοῦ παῖδα βουλεύσεως. ὁ παῖς ἀκρίτως ἀποθανεῖν ἀξιοῖ κατὰ τὸν περὶ τῶν ἀκρίτων νόμον qua filius a patre insidiarum crimine in ius vocatus a iudicibus petit ut patri sine iudicio interficiendus tradatur, non ita multorum gratiam iniit et in paucas eclogas recepta est. Neque codicis neque testimonii ullius aetas saeculum decimum quartum excedit. Et parvus est numerus codicum quibus ad hanc aetatem pervenit.

Sunt autem hi undecim:

Incipio a 'corporalibus'.

1. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 429. Vide t. I p. 24 sq. Leo Allatius in margine lectiones codicis Vaticani gr. 82 posuit. Contuli.

2. Laurentianus LVII 21 saec. XIV/XV fol. 219ᵛ. Vide t. V p. 158 sq.

Transeo ad 'eclogarios'.

3. Escurialensis T-II-15 (151 in catalogo Milleriano) saec. XVI fol. 64ᵛ e Barberino ipso vel huius exemplari descriptus. Vide t. V p. 7 sq.

4. Monacensis gr. 96 (= Mon) saec. XVI fol. 121ᵛ. Vide t. V p. 364 sq. Paucis locis correctus est manu Ignatii de Hardt. Descriptus est a Reiskia, collatus anno 1816 a Fr. Iacobsio, denique a me ipso.

Ex eodem quo hic exemplari fluxit

5. Matritensis N-130 saec. XVI fol. 120ᵛ. Vide t. I p. 428 sq. et t. V p. 364.

Similis originis est codex

6. Vaticanus Ottobonianus gr. 46 saec. XVI/XVII fol. 43. Vide t. VI p. 2 sq.

7. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 51ᵛ. Correctus est manu secunda. In fine declamationis [ὠ]ρθώθη manu librarii scriptum est. Lectiones codicis Barberini in margine ab Allatio positae sunt. Vide t. I p. 48 sq.

8. Ambrosianus L 64 (485 in catalogo Martinii et Bassii) (= A) saec. XIV fol. 30. Correctus est manu secunda. Vide t. I p. 426 sq. Contuli.

9. Matritensis 4679, olim N-49 (= Ma) saec. XIV fol. 22ʳ. Correctus est e *Mon* vel codice cum hoc cognato manibus secunda et tertia. Vide t. I p. 362 sq. et t. IV p. 417. Contulit meum in usum Henricus Schenkl.

10. Bodleianus Miscellaneus 208 (= Cl) olim collegii Claromontani Parisiensis saec. XIV fol. 85ᵛ (206ᵛ). Vide supra p. 261. Ad manus tres correctrices quas ibi notavi raro in hac declamatione accedit manus quarta. Contulit meum in usum Th. Thalheim.

11. Mosquensis bibliothecae synodalis 489 (olim 317) saec. XV fol. 63. Vide t. V p. 180 sq.

Ex his quos in censum vocandos esse duxi codices sex *MonVaAMaClB* rursus in duas discedunt familias quarum prior codice *Mon*, altera codicibus *VaAMaClB* continetur, ita tamen ut *Va* etiam vim codicis prioris familiae expertus sit. Rationem quae inter singulos codices intercedit hoc tibi reddet stemma



e quo simul disces *Va* et *A* esse codices mixtos. Nam uterque quidem ad *d* redit, sed in *Va* lectiones non solum e *b*

sed etiam ex *e* transierunt et *A* etiam vim codicis *f* expertus est.

Hic quoque in universum quidem, etsi *Mon* multis locis labem contraxit, pretium prioris familiae paulo maius est quam alterius.

Testimonia non exstant nisi Macarii Chrysocephali[1]) qui quinque locos laudavit.

Postquam titulum initiumque declamationis Allatius in praefatione Excerptorum Variorum, Romae MDCXLI p. 4 e codice Barberino protulit Villoisonusque Anecd. II 11 eumque secuta Reiskia Lib. t. I p. XXV quinque locos a Macario laudatos publici iuris fecerunt, declamatio integra ut a Reiskia in usum mariti e codice Monacensi descripta erat in Libanii vol. IV p. 841—852 (= Re) in lucem prodiit. Facillima tantum ac ne haec quidem semper feliciter correcta sunt, interpunctio vero falsissima et monstra lectionum codicis retenta sunt, ut permulta ne intellegi quidem queant. Pauca ex hoc codice denuo collato correxit Fr. Iacobsius, ex ingenio plurima idem cum alibi tum 'Lectionum' libro (= Lect) et 'Brevi annotatione ad quinque Libanii Declamationes' annalibus quae inscribuntur Allgemeine Schulzeitung 1832 Abt. II Nr. 8 col. 61—63 (= Schul) inserta atque Carolus Sintenis[2]), nonnulla Cobetus. Sed vel sic larga messis emendationi relicta imprimisque alteri codicum familiae ius suum reddendum erat.

---

1) Cf. t. I p. 351 sq.
2) Cf. t. I p. 78.

L.

'Εγράψατό τις τὸν ἑαυτοῦ παῖδα βουλεύσεως. ὁ παῖς ἀκρίτως ἀποθανεῖν ἀξιοῖ κατὰ τὸν περὶ τῶν ἀκρίτων νόμον.

1. Τὸ μὲν οὖν εὐτυχέστερον, ὦ πολῖται, μὴ R IV 841
πρὶν εἶναί μοι καιρὸν ἐπὶ τοῦτ' ἀναβῆναι τὸ βῆμα μηδ' αὖ περὶ τούτων ὁποίων νῦν ἐρῶν ἀφῖγμαι μηδέποτε λόγους ἐν ὑμῖν ποιήσασθαι· ἐπεὶ δὲ εὔξασθαι μὲν ἅ τις βούλεται ῥᾴδιον, πράττεται δὲ τὰ τῆς ἀνάγκης καὶ ταύτην οὐκ ἔνι διαφυγεῖν οὔτε νέοις οὔτε γέρουσιν, ἥκω δεησόμενος ὑμῶν ἄνθρωπος οὐδ' ἱκανῶς

Mon = Codex Monacensis gr. 96
Va = Vaticanus gr. 82
A = Ambrosianus L 64
Ma = Matritensis 4679, olim N-49
Cl = Bodleianus Miscellaneus 208, olim Claromontanus
B = Barberinus II 41 (Vatic. Barb. 220)

---

1 Harpocr. s. v. *βουλεύσεως*

---

1 *'Εγράψατο* — 3 *νόμον* spatio relicto om *Va* | *παῖδα Ma* sed *αιδ* supra ras 2 litt m² 2 *ἄκριτος AB* 3 $\overset{o}{\text{τῶν}}$ *Mon*
4 *οὖν* inser *Va*² | *εὐτυχέστερον Ma* sed in ras minore m² om *VaAClB* | *ὦ ἄνδρες Ma* sed in ras minore m² 6 *μὴ δ'* libri Re 7 *ποιήσασθαι, φανερὸν. ἐπεὶ B* | *εὔξασθαι* — 9 *διαφυγεῖν* praemissis verbis *τῆς μελέτης ἐν ᾗ παῖς παρὰ πατρὸς γραφεὶς βουλεύσεως ἀκρίτως ἀποθανεῖν ἀξιοῖ* citat Macarius Chrysoc. fol. 78 (Villoison Anecd. II 11; Reisk. Lib. t. I p. XXV)
8 *δὲ* om *A* 10 *ἄνθρωπος* in lac 6—7 litt om *A* | *ἱκανὸς MonA*

εἰς ὑμᾶς βλέψαι δυνάμενος, τῷ μὲν ἥττων εἶναι τῶν ἐν ταῖς ἐκκλησίαις θορύβων καὶ τῇ τῶν ἐνταυθοῖ πραγμάτων ἀπειρίᾳ νομίζων οὐδαμῶς ἂν ὧν ἐσπούδακα τυχεῖν, τῷ δ' ὑμᾶς εἶναι φιλανθρώπους καὶ τῷ πεπαιδεῦσθαι τοὺς ἀτυχοῦντας ἐλεεῖν ἐλπίζων ὅτι με τῆς κρίσεως ἐξελόμενοι τῷ πατρὶ παραδώσετε πρὸς φόνον. 2. *εἰ μὲν οὖν ἠξίουν ὑμᾶς διαλλάξαι μοι τὸν πατέρα καὶ ποιῆσαι πρᾷον καὶ πεῖσαι τὴν οὐδὲ μέχρι ῥήματος ἐμοὶ φορητὴν ταύτην δόξαν ἀποθέσθαι, τάχα μὲν οὐδ' οὕτως ἂν οὔτε τῶν ὑμετέρων ἀλλότρια τρόπων ἐζήτουν οὔτ' ἐναντία τῇ φύσει τῇ παῖδας καὶ γονέας οἰκείως ἔχειν ἀλλήλοις ἐθελούσῃ, ἴσως δ' ἄν τις ἠγανάκτησε τῶν οὐδ' ἐν τοῖς πολλοῖς ὑμῖν ἐοικότων, εἰ τοιαύτην αἰτίαν ἐγὼ λαβὼν ὅπως μήτε λόγον μηδένα μήτε δίκην μηδεμίαν τῷ πατρὶ δοίην διεπραττόμην· ἐπεὶ δέ, ὃ τῆς κρίσεώς ἐστιν, ἂν ἁλῶ, πέρας, τοῦτ' ἂν βουλοίμην ὑπομεῖναι σιωπῇ τοῦ πατρὸς αὐτοῦ τὰ τῆς ψήφου ποιοῦντος, οὐκ οἶδα εἰς τί τις βλέπων ἢ τί τῶν ἁπάντων ὑφορώμενος οὐκ ἂν δοίη τὴν χάριν.* 3. *εἰ μὲν οὖν ἑώρων καὶ [illegible]ν τὸν πατέρα ἐφεστηκότα καὶ τοὺς ἐναντίους ἐμοὶ παρεσκευασμένον πρὸς ὑμᾶς εἰπεῖν λό-*
R IV 842 *γους, οὐδὲν ἂν ὧν διανοοῦμαι φράσας εὐθὺς* | *ἂν ἀποπηδήσας ᾠχόμην εὖ τοῦτο εἰδώς, ὡς ἅπαντα ἂν*

---

1 *εἰς ὑμᾶς* om *VaA* | *εἰς* inser *Ma*[2] *εἰ Mon* | *ἥττον A* 2 *ἐν* inser Re om libri 3 *ὧν ἐσπούδακα τυχεῖν* scripsi e *VaAMaClB* cum Iacobsio Lect 157 Schul *ὧν ἐπούδα κατατυχεῖν Mon ὧν ἐσπούδακατα τυχεῖν* Re 6 *ἐξελόμενον A* | *παραδώσεται VaB παραδόσετε Ma* 8 *πρᾶον MonAB* 12 *ἠγανάκτησε τις Ma* 15 *δοίην* scripsi e *B* *δοῖεν* reliqui libri Re 17 *ὑπομεῖναι Ma* sed *ὑπο* inser m[3] | *σιωπῇ* scripsi e *VaAMaClB* cum Cobeto Coll 303 *σιωπεῖν Mon* Re *σιωπῶν* Iacobs Lect Schul 18 *εἰ ετί Mon* 20 *ὑφεστηκότα Ma* sed
οὺς *ους*
υ in ras m[3] | *τοισ εναντίοισ A*

ἐλέγετο μάτην ἀντιλέγοντός τε καὶ χαλεπαίνοντος ἐκείνου· ἐπεὶ δέ, εἰ μηδὲν ἄλλο, τοῦτό γε ἡμῖν ἡ Τύχη κεχάρισται τὸ τὸν μὲν ἀπεῖναι τῆς ἐκκλησίας ἐπ' ἄλλοις διατρίβοντα, τῶν δ' ἄλλων τινάς, ὧν οὐδ' αὐτῶν μὲν ἔνι μοι καταφρονεῖν, οὐ τοσοῦτος δὲ ὅσος ἐκείνου φόβος, τοὺς ἐναντιωσομένους εἶναι, ἔχω τινὰς ἐλπίδας πλέον οἴσεσθαι τῆς τούτων φιλονεικίας τὰς τοῦ τοιαῦτα ἀτυχοῦντος ἐμοῦ δεήσεις.

4. Ἀνάγκη μὲν οὖν μετὰ δακρύων, ὦ πολῖται, γίγνεσθαί μοι τοὺς λόγους, ἐπεὶ καὶ ὅλως νῦν ἐν δάκρυσι διάγω καὶ οὔτε ἡμέρα οὔτε νὺξ οὔτε τῶν οἰκείων οὔτε τῶν φίλων οὐδεὶς ἐπεῖδέ με μετὰ τὴν ὀργὴν τοῦ πατρὸς ἢ φθεγξάμενον ἢ σιγήσαντα ἀδακρυτί. 5. καὶ τί θαυμαστὸν εἰ αὐτὸς ἠνάγκασμαι πενθεῖν, ὅπου γε καὶ τοὺς ἐμοὶ συνήθεις ἴδοι τις ἂν ταὐτὸν ἐμοὶ ποιοῦντας; ὁ γὰρ δὴ πονηρότατος ἐγὼ περὶ τοὺς ἐμαυτοῦ τοὺς ἐκ παλαίστρας καὶ διδασκαλείων ἑταίρους ἅπαντας ἔχω συμπενθοῦντας καὶ οὐδὲν τῇ λύπῃ τοῦ κινδυνεύοντος ἐμοῦ διαφέροντας. οἶμαι δὲ καὶ ὑμῶν πολλοὺς εἰς δάκρυα πεσεῖσθαι τῶν κακῶν τῶν ἡμετέρων ἀκούοντας. ἔστω οὖν τις κἀμοὶ συγγνώμη μὴ συνεχῶς ἅπαντα δυναμένῳ λέγειν.

6. Ἔγημεν ὁ πατὴρ τὴν μητέρα τὴν ἐμήν, ὡς οὐκ

---

7 Her. VII 168, 3; 211, 1; VIII 29. [Andoc.] Alc. § 4 p. 29, 18

---

1 *τε* om *MaClB* 4 *αὐτὸν Va* | *μὲν* om *Va* 7 *οἴσεσθαι* scripsi cum Sinteni coll. ll. ll. *οἴεσθαι* libri Re | *τοῦ* om *A* 10 *γίνεσθαί B* 11 *ἡ* ante *νὺξ MonVa* delevi cum Sinteni 12 *οὐδεὶς* inser *Ma*[3] om *VaAClB* | *με* om *VaMaClB* | *ὀργὴν* inser *Ma*[3] om *VaAClB* 15 *ἐμοὺς ClB* | *τίς Mon* | *ταυτὸ AMa* 16 *ἐμοὶ* in ras *Ma*[3] 17 *ἑτέρους A* 19 *διαφέροντος A* 21 *μὴ* inser *Ma*[2]

ἔδει. γενόμενος ηὐξόμην. οὐδὲ τοῦτο ἔδει. καὶ διέφυγον πολλὰς νόσους, ὑφ' ὧν ἔδει με τεθνάναι. ἐφιλούμην ὑπὸ τοῦ πατρός, ἠγαπώμην. πάντα ἦν ὁ παῖς ἐκείνῳ. καὶ σπουδῆς οὐδὲν ἀπῆν, ἀλλὰ παιδαγωγοί, διδάσκαλοι, μισθοί, φροντίδες, εὐχαὶ πρὸς θεούς, πλῆθος θυσιῶν, ἔπαινοι πρὸς ἑτέρους πατέρας. 7. εἴ τι προσπέσοι δυσχερές, τοῦτ' ἐκ τῶν ἐλπίδων τῶν παρ' ἐμοῦ τὴν παραμυθίαν ἐλάμβανε κἂν τοῖς διδασκαλείοις οὐκ οἶδα μᾶλλον ἑτέρους εὐδαιμονίσας ἢ μακαρισθεὶς ὑπ' ἄλλων. ὁρῶν δὲ τὸν πατέρα τῆς οὐσίας ἐπιμελούμενον καὶ πλείω τὰ ὄντα ποιούμενον καὶ ὅπως εὖ πράττοντά μοι παραδοίη τὸν οἶκον, πάντας ὑπομένοντα πόνους καὶ οὐκ ὄντα χαλεπὸν οὐδ' ἀκριβολογούμενον, [illegible] τι φανείην ἀναλίσκων, ἔχαιρον καὶ εἰς ἱερὰ βαδίζων ἀπὸ
R IV 843 τοῦ πατρὸς ἠρχόμην τῶν εὐχῶν. 8. οὕτω δὲ | ἡμῖν τῶν πραγμάτων χωρούντων, εἴπω τὰ λοιπὰ μετὰ παρρησίας; ἀλλ' οὐκ ἐβουλόμην μὲν οὐδὲν δυσχερὲς περὶ οὐδενὸς λέγειν νέος τε ὢν ἔτι καὶ εἴπερ τις ἄλλος τῶν ἡλικιωτῶν εὐφημεῖν περὶ ἁπάντων, καὶ πολιτῶν καὶ μετοίκων καὶ ξένων, μεμελετηκώς, καρτερεῖν δὲ οὐκ ἔστιν ἀδικούμενον. 9. εἰσί τινες, ὦ πολῖται, τοῖς ἑτέρων ἀγαθοῖς ἀχθόμενοι καὶ νομίζοντες ἐν ταῖς τῶν

---

16 cf. p. 615, 17 21 cf. p. 615, 20 sq.

---

1 *γενόμενος ηὐξήμην* post prius *ἔδει* del et post alterum in marg inser *Ma*² | *ηὐξόμην* scripsi e *VaClB* *ηὐξήμην AMa* Re *οὐξήμην Mon* 3 *ὑπὸ* reposui e libris sed *παρὰ ὑπὸ Mon* *παρὰ* Re | *πάντη Cl* 6 *ἔτι Mon* 7 *παρ' ἐμοῦ*] *ἐμῶν A* 8 *κἂν AB* | *διδασκάλοις MaCl* 9 *ἑταίρους A* 11 *ποιοῦντα AMaClB* 13 *οὐδὲ A* 14 *ἀναλίσκειν A* *ἁλίσκων Va* | *εἰς τὰ ἱερὰ* coni Iacobs Schul | *ἀπὸ τοῦ πατρὸς* inser *Ma*³ 17 signum interrogationis posui coll. p. 615, 11 comma *B* punctum reliqui libri Re 19 *ἐνηλικιωτῶν A* 21 *τοῖς Ma* sed *οἷς* suprascr m³

πολλῶν εὐτυχίαις αὐτοὶ δυστυχεῖν. καὶ τούτων οἱ μὲν ἡσυχῇ στένουσιν, οἱ δὲ καταρῶνται καὶ διαμέμφονται τὴν Τύχην, οἱ δ' αὖ τούτων ἀνδρειότεροι εἰ μὴ μεταστήσαιεν ἐπὶ τἀναντία τὰς οὕτως ἐχούσας οἰκίας οὐ φέρουσι καὶ ποιοῦσι δὴ τὰ τῶν πολεμίων λόγοις ψευδέσι καὶ πεπλασμέναις αἰτίαις ἀνθ' ὅπλων καὶ μηχανημάτων χρώμενοι. 10. καὶ νῦν μὲν ἄνδρα πρὸς γυναῖκα, νῦν δὲ θεῖον πρὸς ἀδελφιδοῦν, νῦν δὲ ἀδελφοὺς πρὸς ἀλλήλους, νῦν δέ, οἷόν τι τὸ παρόν, πατέρα πρὸς υἱὸν ἐξεπολέμωσαν κἂν λάβωσί τινα χρηστὸν καὶ οὐδὲν ἑαυτοῖς ἐοικότα, διεπράξαντο ῥᾳδίως. ὁ γὰρ ἥκιστ' ἂν αὐτὸς τοιαῦτα ἑτέροις ἐπιβουλεύσας ῥᾷστα ἂν ὑπὸ τῶν τὰ τοιαῦτα μηχανωμένων διαπραχθείη. 11. ἆρα ἄν μοι δοίητε εἰπεῖν ὅτι τούτων εἷς ὑπὸ τῶν τοιούτων ἠπατημένων καὶ ὁ πατήρ μοι γεγένηται καὶ νῦν ἐγὼ θανατῶ διὰ τὴν ἐκείνου χρηστότητα; εἰ γὰρ ἃ συνῄδει μοι παρὰ πάντα τὸν χρόνον ἰσχυρότερα ὧν χθὲς ὡς εἰπεῖν ἤκουσεν ἐπεποίητο, τῶν παρόντων οὐδὲν ἂν ἡμᾶς ἤλαυνε. νῦν δ' ὁ πατὴρ πατὴρ ἡμῖν οἴκοθεν ἐξελθὼν ἐπανῆλθεν ἐξαίφνης πολέμιος

6 Isocr. Panath. § 25 p. 238 b 10 cf. p. 563, 6; 388, 10

3 δυνατώτεροι *A* 4 καὶ post μὴ *Mon* Re et inser *Ma*[3] delevi 6 πεπλησμέναις *A* 9 πρὸς om *A* 10 ἐξεπολέμωσαν scripsi ex *AMaClB* ἐξεπολέμησαν *MonVa* Re 11 αὐτοῖς *Ma* sed ex ἑαυτοῖς corr m[3], *B* | ῥᾳδίως διεπράξαντο *A* 12 ἑτέροις *MaClB* 13 τὰ om *AMaCl* | πραχθείη *A* 14 ἄρα *A* 17 παρὰ scripsi ex *AMaClB* περὶ *Mon Va* Re 18 εἶπεν Sintenis | ἐπεποίηντο *A* sed ν eras | comma post ἐπεποίητο inserui om libri Re 19 comma post παρόντων *Mon VaCl* Re delevi τῶν παρόντων οὐδέν, οὐδ' ἂν ἡμᾶς coni Iacobs Add 310 Schul | δὲ *A* | πατὴρ(2) inserui e *ClB* om *MonVaA Ma* Re 20 ἐπανῆλθεν ἐξαίφνης πολέμιος scripsi ex *AMaCl B* ἐπανῆλθε πολέμιος ἐξαίφνης *Mon Va* Re

καὶ δεινὸν ἔβλεπε καὶ τὸν μηρὸν ἔπληττε καὶ βοῆς ἐνεπίμπλα τὴν οἰκίαν τότε πρῶτον τοιαῦτα ποιῶν. 12. *ἐρωτῶντος δέ μου τί τὸ ταῦτα ἀναγκάζον καὶ ποιεῖν καὶ λέγειν; σύ, φησίν, ὃν ἐμαυτοῦ φονέα βόσκων οὐκ ᾔδειν. ἀνεβόησα, ὦ πολῖται, καὶ ταῖν χεροῖν τὸ πρόσωπον ἔτυπτον καὶ θεοὺς καὶ δαίμονας ἐκάλουν καὶ μὴ τοιαῦτα ἀσεβεῖν ἐδεόμην.* 13. *τοῦ δὲ καὶ σφόδρα ταῦτα πεπεῖσθαι λέγοντος καὶ οὐδένα ἂν αὐτὸν μεταπεῖσαι ῥήτορα προσπεσὼν πρὸς τὰ γόνατα λαμβάνειν ἠξίουν δίκην παρ' ἐμοῦ τὴν ἐσχάτην. οὗτος, ἔφην, αὐχήν σοι γυμνός, αὕτη κλείς, τουτὶ στῆθος,*
R IV 844 *πάντα | ἕτοιμα δέχεσθαι ξίφος. μὴ μέλλε χεῖρα ἔχων καὶ νόμον.* 14. *ὁ δὲ τὸ μὲν αὐτὸς κατεργάσασθαι τὸν υἱὸν ὤκνει, δικαστηρίου δὲ ἐμέμνητο καὶ γραφῆς καὶ ἑτέρου νόμου τοῦ τῆς βουλεύσεως. καὶ ᾤμην γε αὐτὸν ἐνταυθοῖ λήξειν καὶ ὧν εἶπεν ἐπιλήσεσθαι, ἀλλ' οἱ τὸν σπινθῆρα, ὡς ἔοικεν, ἐμβαλόντες τὸ πρῶτον ἐρρίπιζον τὸν θυμόν. ὁ γὰρ μισθὸς οὐ*

---

1 Il. *μ* 162; *ο* 397; *π* 125. Philostr. vit. soph. I 21 t. II p. 32, 32 K 2 Ach. T. VIII 1, 5 15 Arist. rep. Ath. 57, 3; 59, 3. Harpocr. s. v. *βουλεύσεως*. Meier-Schoemann-Lipsius, Att. Proceß p. 384 sq. 17 Chor. p. 209, 24; 211, 1 ed. Boiss. 18 cf. t. I 143, 18

---

1 *τὸν μηρὸν* scripsi ex *AMa* cum Iacobsio Add Ach T 925 Lect App Pors 331 Schul *τολμηρὸν MonVaClB* Re 2 *ἐνεμπίπλα Mon ἀνεπίμπλα A* 5 *ταῖν χεροῖν* scripsi e *VaAMa* *ταῖς χεροῖν MonCl* *ταῖς χερσὶ* (*χερσὶν* Re) *B* Re 8 *ταυτὰ VaA* sed in hoc ˜ supra *υ* eras | *οὐδένα* scripsi ex *AMaClB* *οὐδὲν MonVa* Re 15 *τοῦ* om *A* 16 *εἶπεν* scripsi auctoribus Iacobsio Schul — ad calumniatores *εἶπον* rettulit Lect — et Sinteni *εἶπον* libri Re 17 *ἔοικε B* | *ἐμβ$\overset{\alpha}{\varepsilon}$λόντες Mon* *ἐμβαλόντος A* 18 *τοπρῶτον B* om *A* | *ἐρίπιζον MonVa* Re *ἐ$\overset{\rho}{\rho}$ίπιζον A* | *μὲν* ante *γὰρ A*

μικρὸς ἀνθ' ἡμῶν τὰ ἡμέτερα ἔχειν. τί δεῖ τὰ πολλὰ λέγειν; διώκει τὸν παῖδα βουλεύσεως ὁ πατήρ. 15. οὐ μὴν ἔγωγε ἀποδρὰς ᾠχόμην καίτοι τῶν οἰκείων παραινούντων ὡς τοῦ χρόνου παύσοντος τὴν ὀργὴν καὶ οὐ διὰ τέλους τῶν κακουργούντων ἡμῖν τὴν οἰκίαν κλεισόντων. ἀλλ' οὐκ ἔγωγε ἠνεσχόμην αἰσχρῶς σωθῆναι οὐδὲ ἐλθὼν μετὰ τοιαύτης αἰτίας παρ' ἑτέροις οἰκεῖν οὐδὲ παρασχεῖν τοῖς ἅπαν τὸ πρᾶγμα κατεσκευακόσι λέγειν ἃ μάλιστα ἦν βουλομένοις, ἀλλὰ μένω καὶ δίδωμι τῆς ὑποψίας δίκην καὶ φέρω κατ' ἐμαυτοῦ τὴν ψῆφον. καὶ τί ἂν δέοι δικαστήριον ἀνοίγειν καὶ ὕδωρ μετρεῖν ἐμοῦ τὸ ξίφος ἐπισπωμένου καὶ δεομένου τὸν πατέρα με παρ' ὑμῶν λαβόντα ἀποκτεῖναι;

16. Ἀλλ' οὐκ εἰωθότα, φησί, ζητεῖς τὸν κρῖναι βουλόμενον ἀναγκάζων ἄκριτον τὸν αὑτοῦ σφάττειν. οὐδὲ γὰρ εἰωθότα, ὦ πολῖται, ἐγκέκλημαι, οἷον πίνειν τοῦ μετρίου πλέον, διάγειν ἐν κώμοις, προσκεῖσθαι κύβοις, ἑταίραν λελύσθαι, ταῦτα δὴ τὰ πολλοὺς τῶν νέων καταδεδουλωμένα. ἀλλ' ἐκεῖνα δια-

1 cf. t. VI 214, 6; 270, 16 18 Dem. Phorm. p. 958, 13; Olymp. p. 1182, 14. Arist. vesp. 1353

1 ὑμέτερα *Va* 2 τὸν παῖδα om *B* 5 διατέλους *AB* | λησόντων *MaClB* 7 ἐλθεῖν *A* οὐδ' ἐθέλων coni Iacobs Schul 8 κατεσκευακόσι scripsi ex *AMaClB* παρεσκευακόσι *MonVa* Re 9 βουμένοις *Mon* sed βουλομένοις in marg Hardt 11 δέη *Ma* 13 με om *A* 14 ζητεῖ *Va* 15 αὐτοῦ *Mon VaMaClB* Re 16 οὐ *VaMa* sed in hoc οὐδὲ suprascr m², *ClB* 17 μετρίου scripsi e *MaB* μέτρον *MonVaACl* Re | κώμαις *Mon* 18 κύμαις *A* | ἑταίραν scripsi e *B* ἑταῖραν *Mon* sed ἑταῖρες in marg, *VaAMa* sed in hoc αν in αις corr m² ἑταίραις *ACl* Re ἑταίρας Cobet Coll 303 | λελύσθαι scripsi e *VaCl* cum Cobeto λελῦσθαι *A* κελύσθαι *MonMa* Re in lac 6 litt. om *B* κεκτῆσθαι ἔστι τὸ ὀρθὸν ὥς μοι δοκεῖ in marg *Va* Allatius ἑταίραις κολλᾶσθαι Iacobs Schul 9 νέων om *A*

φυγὼν ἃ μὴ ῥᾴδιον μόνος ἐγκέκλημαι ταῦτα ἃ μηδεὶς ἄλλος νέων. τί οὖν θαυμαστὸν εἰ ὑπὸ καινῶν ἐγκλημάτων ἐπὶ καινοὺς προῆγμαι λόγους; 17. χωρὶς δὲ τούτων οὐκ ἐπιτάττω τῷ πατρὶ τήμερον οὐδὲ ἐφεστηκὼς λέγω· τοῦτο μὲν οὐδ᾽ εἰ βούλει, ποιήσεις, ἐκεῖνο δέ, κἂν εἰ μὴ βούλοιο, καὶ κρῖναι μὲν οὐκ ἐπιτρέψω, κτεῖναι δὲ ἐπαναγκάσω, ἀλλ᾽ ἐφ᾽ ὑμᾶς ἥκω τὸν δῆμον τὸν φιλάνθρωπον, τὸν κοινὸν πατέρα τῶν νέων. καὶ τὸ μὲν ἐμόν ἐστιν ἱκετεία, τὸ δὲ παρ᾽ ὑμῶν ἐσόμενον πειθώ. 18. διαφέρει δὲ πολὺ πεισθέντα δοῦναι χάριν ἢ μὴ βουλόμενον βιασθῆναι. καὶ τὸ μέν ἐστι δημοκρατίᾳ πρέπον, τὸ δὲ εἰς τυράννους ἔρχεται. οὐδὲ γάρ, εἰ τῶν συγγενῶν τινας τῷ
R IV 845 πατρὶ προσέπεμπον ὑπὲρ τούτων διαλεξομένους, | ἀνάγκη τοῦτ᾽ ἂν ἦν. ὅπου γὰρ ἦν ἅψασθαι γενείου καὶ γονάτων καὶ δακρύσαι καὶ εἰπεῖν· εἶξον, ἐλέησον, αὐτὸς ἀπόκτεινον, πρὸς θεῶν, πρὸς ἑστίας, τίς ἐνταῦθα χώρα τῷ τῆς ἀνάγκης ὀνόματι; 19. εἰ μὲν οὖν ἐκείνους ἀποχρήσειν ἡγούμην, οὐκ ἂν ὑμῖν ἠνώχλουν οὐδ᾽ ἂν φορτίον μεῖζον ἢ κατ᾽ ἐμαυτὸν ἀνῃρούμην δήμῳ διαλεγόμενος· ἐπεὶ δὲ ἐλάττους εἰσὶ τοῦ πράγματος, ὑμᾶς ὁ καιρὸς ζητεῖ τοὺς τῶν ὅλων κυρίους, ὑφ᾽ ὧν εὔξαιτο ἄν τις αἰτηθῆναι χάριν.

20. Γραφὴν οὖν, φησίν, ἀπενεχθεῖσαν διαγράψεις; οὐκ ἐγώ. πόθεν; οὐδ᾽ αὖ ὁ δῆμος. ἀλλ᾽

---

22 cf. t. III 161, 21 23 cf. p. 724, 9

---

6 *μὲν*] *με Va* 9 *ἱκετεύω Va* 10 *πείθω VaMa* sed in hoc in *πειθώ* corr m², *ClB* | *πολὺ* om *A* 11 *δεηθέντα A* 15 *τοῦτο MonVaA* Re 16 *δακρῦσαι MonA* fortasse recte at cf. ad t. II 355, 17 17 *αὐτὸν Mon*

ὅσπερ ἀπήνεγκεν, εἰ πείθοιτο τῷ δήμῳ. πείσεται δὲ παρ' οὗπερ οὐκ ὀλιγάκις τετίμηται. τίς οὖν αὕτη τοῦ πατρὸς ἀτιμία, εἰ ἄκοντος μὲν οὐδεὶς λύσει τἀκείνου, τὰ αὐτοῦ δὲ αὐτὸς ἑκών; οὐδὲ γὰρ χαίρειν εἰπόντες ἐκείνῳ τὸν ἄρχοντα καλέσαντες μὴ ἐξέστω δὲ τῷ πατρὶ τὸν παῖδα διώκειν ἐροῦσιν, ἀλλ' αὐτὸν τὸν πατέρα καλέσαντες τοιαῦτα πρὸς ἐκεῖνον ἐροῦσιν· ὦ φίλτατε, ἐπειδὴ μόνος οἴει πατέρων ὑπὸ τοῦ παιδὸς μεμισῆσθαι καὶ τὸ μῖσος εἰς βουλὴν φόνου προβεβηκέναι καὶ τοῦτο ἐδυνήθης πεισθῆναι, λάμβανε μὲν τὴν δίκην, οὐ παραιτούμεθα, λάμβανε δὲ κατὰ τὸν νόμον, ὃς ποιεῖ σε κύριον τοῦ 'κείνου σώματος. ταῦτα γάρ, ταῦτα ὁ παῖς ἱκετεύει πραγμάτων σε πολλῶν ἀπαλλάττων καὶ τούτων τῶν λογογράφων. 21. ἂν ταῦτα ὁ πατὴρ προσέμενος ἀποστῇ τῆς κρίσεως, τίς ἠδίκηται νόμος; τίς ἀνθρώπων ὕβρισται; τίς βεβίασται τῶν πολιτῶν; οὐδείς. ἀλλ' εἷς οὗτος βεβαιοῦται νόμος τήμερον ὁ περὶ τῶν ἀκρίτων φόνων. 22. εἰ μὲν οὖν ἢ μηδεμίαν ἢ μικρὰν ἀντὶ μείζονος ὑποσχεῖν ἠξίουν δίκην, οἷον

---

1 ὅσπερ scripsi ex *AMaClB* ὥσπερ *MonVa* Re ὃς ἂν Sintenis | ἀπήνεγκεν scripsi ἀνήνεγκεν libri Re 2 αὕτη scripsi ex *AClB* ἀναστῇ *Mon* sed αὕτη in marg, *VaMa* Re 3 τἀκείνου, τὰ αὐτοῦ scripsi τὰ κινοῦντα αὐτοῦ (αὐτοῦ *B*) libri Re τἀκείνου ὄντα (vel τἀκείνῳ δοκοῦντα), αὐτοῦ Iacobs Schul
5 δὲ delendum censet Iacobs Lect, in δὴ mutandum Schul
6 διώκειν — 7 πατέρα om *B* | ἀλλ' — 7 ἐροῦσιν om *VaA*
8 εἴη in οἴει corr Cl^4 10 προβεβηκέναι scripsi ex *AMaClB* cum Iacobsio Schul προβεβληκέναι *MonVa* Re | ἐδυνήθη προσθεῖναι *A* 13 τοῦ 'κείνου scripsi e *VaAClB* cum Iacobsio Ach T 912 (τοῦ ἐκείνου Lect) τοὐκείνου *MonMa* τ' ἐκείνου Re
15 τῶν *A* sed ὧν ex ε corr m^2 | τούτοις *A* 16 προσέμενος scripsi e *MaCl* sed σ inser Ma^2Cl^4 προέμενος *MonVaB* Re προσθέμενος *A* 19 ἢ] εἰ *Va* 20 μικρὸν *A* | ἀξιῶν ἠξίουν coni Iacobs Lect | οἱονεὶ *MonVaAMaCl* Re

εἰ ταῦτα ἔλεγον παρελθών· ἄνδρες πολῖται, πονηρῶν καὶ κακοήθων ἀνδρῶν συμμορία τὴν οἰκίαν ἡμῖν κεκύκλωκε καὶ πολιορκεῖ. βοηθήσατε, πρὶν αὐτὴν ἐξέλωσιν. ὁ πατὴρ ἀναπέπεισται. διανενόηταί με τὴν ψυχὴν αὐτὸς ἀφελέσθαι, ὃ οὔτε ἐγένετο μήτε γένοιτο. πῶς γὰρ ἂν ἐγὼ γεγονὼς ἐξ ἐκείνου καὶ τοῦτο ἀκριβῶς εἰδὼς καὶ τραφεὶς οὐδενὸς φαυλότερον καὶ παιδείας μετασχών, ἣ τοὺς ἀναισθήτους ἀμείνους ποιεῖν δύναται καὶ δικαίους καὶ καλῶν ἔργων ἐπιθυμη-
R IV 846 τάς, | πῶς οὖν ἐγὼ τὸν πατέρα εἶναί μοι δεινὸν ἡγησάμην τῆς ὀρφανίας μεγίστης εἶναι συμφορᾶς ὁμολογουμένης; ἢ οὐχ ἡδὺ πατέρα γηραιὸν ὥσπερ τινὰ δαίμονα θεραπεύειν κἀν ταῖς εἰς ἐκεῖνον ἐπιμελείαις κτᾶσθαι τὰς ἀμείνους ἐλπίδας; οὐκ ἂν ἔδεισα τοὺς ἐνταῦθα νόμους; οὐκ ἂν ἔδεισα τοὺς ἐν Ἅιδου φόβους; ποιήσατε τοίνυν ἥμερόν μοι τὸν πατέρα καὶ κρατήσατε τῶν διασειόντων ἡμῖν τὸ γένος. εἰ ταῦτα ἐδεόμην, εἰκότως ἂν ἠγανάκτεις. 23. ἠγανάκτεις

